καθαρὸν ῥέον ἐποίει κρήνας. αἱ δὲ ποταμηδὸν ὑπερχεόμεναι ἐπότιζον ἅπαντα τὸν 8
χῶρον, πλούσια παρέχουσαι νάματα. δένδρα γὰρ ἦν διάφορα νεαραῖς ὀπώραις πλη-
θύνοντα ἐκεῖ, εἰς ἓν κάλλος τῶν καρπῶν ἀπαιωρουμένων ἱλαρῶς, καὶ λειμῶνες ἀειθαλεῖς,
εὐπνόοις ἄνθεσι καὶ ποικίλοις κατεστρωμένοι, ἀφ' ὧν προσέβαλεν ἠπίως πνεῦμα
πολλὴν εὐωδίαν φέρον. ἦν δὲ ἐγγὺς ἄγνος δένδρον ὑψηλόν, ὑφ' ᾧ ἀνεπαυόμεθα διὰ
τὸ λίαν ἀμφιλαφὲς αὐτὸ καὶ σύσκιον τυγχάνειν.

ΕΥΒΟΥΛ. Δεύτερον δοκεῖς μοι καταγώγιον, ὦ μακαρία, τοῦ παραδείσου χρη-
σμῳδεῖν.

ΓΡΗΓΟΡ. Ἀληθῶς προμηθεῖ. ὡς οὖν δαιτός τε παντοδαπῆς ἤδη καὶ εὐφρο-
σύνης ποικίλης ἐτυγχάνομεν, ὡς μηδενὸς εἶναι τῶν τερπνῶν ἐπιδεεῖς, ἔφη τὸ μετὰ 9
ταῦτα εἰςελθοῦσαν εἰςηγήσασθαι τὴν Ἀρετὴν τάδε· Ὦ νεάνιδες, ἐμῆς αὐχήματα μεγα-
λοφροσύνης, ὦ καλλιπάρθενοι τοὺς ἀκηράτους Χριστοῦ γεωργοῦσαι λειμῶνας ἀνυμφεύ-
τοις χερσί, τροφῆς μὲν ἅλις ἤδη καὶ εὐωχίας· πάντα γὰρ πλήρη καὶ ἄφθονα τὰ
παρ' ἡμῶν. τί οὖν ἐστιν, ὃ θέλω λοιπὸν ἤδη, καὶ τί προςδοκῶ; λόγον ἑκάστην
ὑμῶν ἐγκωμιαστικὸν περὶ παρθενίας εἰπεῖν. καταρχέτω δὲ Μαρκέλλα, ἐπειδὴ καὶ
πρώτη ἀνάκειται καὶ ἔστιν ἅμα πρεσβυτέρα. τὴν μέντοι καλῶς ἀγωνισαμένην, αἰσχυ-
νοίμην ἂν ἐμαυτήν, ἐὰν μὴ ποιήσαιμι ζηλωτήν, τοῖς ἀμιάντοις τῆς σοφίας ἀναδή-
σασα πετάλοις. 10

Λόγος α΄.

Μαρκέλλα.

1. Τὴν μὲν οὖν Μαρκέλλαν ἐντεῦθεν, ὡς οἶμαι, ἀρξαμένην εὐθέως ἔλεγεν εἰπεῖν
ὅτι Μεγάλη τίς ἐστιν ὑπερφυῶς καὶ θαυμαστὴ καὶ ἔνδοξος ἡ παρθενία, καὶ εἰ χρὴ
φανερῶς εἰπεῖν ἑπομένην ταῖς ἁγίαις γραφαῖς, τὸ οὖθαρ τῆς ἀφθαρσίας καὶ τὸ ἄν-
θος καὶ ἡ ἀπαρχὴ αὐτῆς τοῦτο τὸ ἄριστον καὶ κάλλιστον ἐπιτήδευμα μόνον τυγχάνει.
καὶ διὰ ταῦτα καὶ ὁ κύριος εἰς τὴν βασιλείαν εἰςελάσαι τῶν οὐρανῶν τοὺς ἀποπαρθε-
νεύσαντας σφᾶς αὐτοὺς ἐπαγγέλλεται, ἔνθα περὶ διαφορᾶς εὐνουχισμῶν ἐν εὐαγγελίοις Matth. 19, 12.
παρεγγυᾷ. σπάνιον γὰρ πάνυ καὶ δυςεπίτευκτον ἀνθρώποις ἁγνεία, καὶ ὅσῳ κορυ- 11
φαιότατον καὶ μεγαλοπρεπές, τοσούτῳ καὶ τοὺς κινδύνους μείζονας ἔχον. δεῖται οὖν
ἐῤῥωμένων καὶ γενναίων φύσεων, αἵτινες ἀθρόως τῆς ἡδυπαθείας τὸ ῥεῦμα ὑπερπτά-
μεναι ἄνω μετέωρον ἀπευθύνουσι τὸ ὄχημα τῆς ψυχῆς, μὴ ἀπολήγουσαι τοῦ σκο-
ποῦ, ἔστ' ἂν ὑπερπηδήσασαι κούφως τὸν κόσμον ὀξυτάτῳ διανοίας τάχει, καὶ ἐπὶ
τὴν οὐράνιον ἀληθῶς ἀψῖδα σταθεῖσαι, αὐτὴν εἰλικρινῶς θεάσωνται τὴν ἀφθαρσίαν,
ἀπὸ τῶν ἀμιάντων τοῦ παντοκράτορος ἀναπηδῶσαν κόλπων. τοῦτο τὸ πόμα γεννᾶν
οὐκ ἐχώρησε γῆ· μόνος αὐτὸ πηγάζειν οἶδεν ὁ οὐρανός. παρθενίαν γὰρ βαίνειν μὲν
ἐπὶ γῆς, ἐπιψαύειν δὲ τῶν οὐρανῶν ἡγητέον· ἧς δὴ ἐφιέμενοι καὶ πρὸς μόνον τὸ 12
τέλος αὐτῆς ἀφορῶντές τινες, ἀνίπτοις ποσὶν ἀτελεῖς ὑπὸ βαναυσίας προςελθόντες,
ἐκ μέσης ἀνέκαμψαν ὁδοῦ, οὐδὲν ἄξιον φρόνημα τοῦ ἐπιτηδεύματος ἐπανῃρημένοι.
οὐ γὰρ μόνον ἄφθορα τὰ σώματα τηρεῖσθαι δεῖ, ὥςπερ οὐδὲ τοὺς ναοὺς κρείττονας
ἀποφαίνεσθαι τῶν ἀγαλμάτων, ἀλλὰ τὰς ψυχὰς ἀγάλματα τῶν σωμάτων οὔσας θερα-
πεύεσθαι χρὴ κοσμουμένας δικαιοσύνῃ. θεραπεύονται δὲ καὶ ἀποσμήχονται τότε
μᾶλλον, ὁπόταν ἀόκνως κατακούειν τῶν θείων ἁμιλλώμεναι λόγων μὴ ἀπολήγωσι,

πρὶν αὐτοῦ ἐφάψασθαι ὅ ἐστιν ἀληθές, ἐπὶ σοφῶν ἀφικνούμεναι θύρας. ὥςπερ γὰρ
13 ἅλατι τῶν κρεῶν οἱ ἰχῶρες ἐκτήκονται καὶ αἱ σηπεδόνες καὶ πάντα τὰ φθοροποιά,
τὸν αὐτὸν δὴ τρόπον καὶ τῆς παρθένου αἱ ἄλογοι πᾶσαι τοῖς μαθήμασιν ἀποστύφον-
ται τοῦ σώματος ἐπιθυμίαι. ἀνάγκη γὰρ τὴν μὴ πασσομένην δίκην ἅλατος τοῦ Χρι-
Ps. 37, 5. στοῦ ταῖς φωναῖς ψυχὴν ἐπόζειν καὶ σκώληκας γεννᾶν, ὥςπερ ἀμέλει „ἐπώζεσαν καὶ
ἐσάπησαν οἱ μώλωπές μου“ μετὰ δακρύων ἐξομολογούμενος ὁ Δαβὶδ ἐν τοῖς ὄρεσιν
ἔκραζεν ὁ βασιλεύς, ὅτι μὴ ἀπέστυψεν ἁλίσας τοῖς σωφρονισμοῖς ἑαυτόν, ἀλλὰ ῥα-
Levit. 2, 13. θυμήσας εἰς οἶστρον ὑπεσύρη καὶ ἐξώζεσε μοιχείαν. ταύτῃ πᾶν δῶρον ἐν τῷ Λευϊ-
14 τικῷ, ἐὰν μὴ ἅλατι ἁλισθῇ, ἀπαγορεύεται εἰς ὁλοκάρπωμα προσφέρεσθαι κυρίῳ τῷ
θεῷ. ἅλας δὲ ἡμῖν τὸ δηκτικὸν πρὸς ὠφέλειαν ἀποστῦφον ἡ πνευματικὴ πᾶσα τῶν
γραφῶν ἐδόθη μελέτη, ἧς δὴ χωρὶς ἀδύνατον τῷ παντοκράτορι διὰ τοῦ λόγου προς-
Matth. 5, 13. ενεχθῆναι ψυχήν· „ὑμεῖς“ γὰρ „ἐστε τὸ ἅλας τῆς γῆς“ ὁ κύριος ἔφη τοῖς ἀποστό-
λοις. χρὴ οὖν τὴν παρθένον ἀεὶ τῶν καλῶν ἐρᾶν καὶ τοῖς πρωτεύουσιν εἰς σοφίαν
ἐμπρέπειν, καὶ μηδὲν ῥάθυμον μηδὲ μαλθακὸν ἔχειν, ἀλλ᾽ ἀριστεύειν καὶ ἄξια τῆς
παρθενίας φρονεῖν, ἀποσμήχουσαν τῷ λόγῳ τοὺς ἰχῶρας ἀεὶ τῆς ἡδυπαθείας, μή πως
1 Cor. 7, 34. λαθοῦσα βραχεῖα σηπεδὼν γεννήσῃ τὸν σκώληκα τῆς ἀκολασίας· „ἡ“ γάρ „ἄγαμος
15 μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσῃ τῷ κυρίῳ, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι“,
φησὶν ὁ μακάριος Παῦλος. πολλαὶ δὲ πάρεργον ἡγούμεναι τὴν ἀκρόασιν νομίζουσι
χαρίζεσθαι μεγάλα, ἐὰν κἂν τὸ βραχὺ παράσχωσι τὰς ἀκοάς· ἃς ἐκκριτέον· μικρολόγῳ
γὰρ φύσει καὶ ταπεινῇ καὶ ἐπιμορφαζομένῃ σοφίαν οὐ χρὴ μαθημάτων θείων κοινω-
νεῖν. ἢ γὰρ οὐ γελοῖον ἐκείναις ἀδολεσχεῖν, αἵτινες ἐπὶ μὲν τοῖς μικροῦ ἀξίοις
πάντα ποιεῖν συντείνονται, ὅπως ἀκριβέστατα ἕξουσι τὰ τελεσιουργούμενα, ἐπὶ δὲ
τῶν ἀναγκαίων, δι᾽ ὧν μᾶλλον αὐταῖς ὁ τῆς σωφροσύνης ἔρως αὔξεται, μὴ μεγίστας
16 ἡγεῖσθαι τὰς ἀκριβείας;

II. *Μεγάλῃ γὰρ ἀληθῶς ὑπερβολῇ* τὸ τῆς παρθενίας ἀνθρώποις ἀπ᾽ οὐρανῶν
κατεπέμφθη φυτόν, καὶ διὰ τοῦτο ταῖς πρώταις οὐκ ἀπεκαλύφθη γενεαῖς. ἔτι γὰρ ὁ
ἄνθρωπος ὀλιγοστὸς ἦν, καὶ ἐχρῆν αὐτὸν εἰς πλῆθος πρῶτον αὐξήσαντα τελειωθῆναι.
διὸ δὴ καὶ τὰς σφετέρας ἀδελφὰς οἱ παλαιοὶ λαμβάνοντες γυναῖκας οὐδὲν ἠσχημόνουν,
μέχρι νόμος ἐλθὼν διεστείλατο καὶ τὸ πρῶτον δοκοῦν εἶναι καλὸν ἀπαγορεύσας
Levit. 18, 9. 20, 17. ἁμαρτίαν ἀπεφήνατο, „ἐπικατάρατον“ καλῶν „τὸν ἀποκαλύπτοντα τὴν ἀσχημοσύνην
τῆς ἀδελφῆς αὐτοῦ“, τοῦ θεοῦ κατὰ καιρὸν τὴν ἁρμόζουσαν ἡμῶν τῷ γένει σπου-
17 δαίως προσφέροντος βοήθειαν, ὥςπερ δὴ καὶ οἱ πατέρες τοῖς υἱοῖς. οὐ γὰρ εὐθέως
ἄνωθεν ἐπιστατοῦσι τοὺς παιδαγωγούς, ἀλλὰ τὴν παιδικὴν ἡλικίαν ἐάσαντες ἀθύρε-
σθαι μοσχαρίων δίκην, πρῶτον εἰς διδασκάλων συμψελλιζόντων ἀποστέλλουσιν, ἔστ᾽
ἂν ἀποβαλόντες τὴν μειρακιώδη τρίχα τοῦ νοῦ εἰς τὴν τῶν μειζόνων ἄσκησιν παρα-
πεμφθῶσι κἀκεῖθεν αὖθις εἰς τὴν τῶν ἔτι μειζόνων. ταύτῃ γὰρ καὶ τὸν θεὸν καὶ
πατέρα τῶν ὅλων ἡγητέον προσηνέχθαι τοῖς πρὸ ἡμῶν. ἔτι γὰρ ὁ κόσμος ἀνθρώ-
πων ἀπλήρωτος ὢν ὡς νήπιος ἦν, καὶ ἐχρῆν αὐτὸν εἰς πλῆθος πρότερον ἐκ τούτων
ἀνδρωθέντα πληθυνθῆναι. ἀλλ᾽ ὅτε λοιπὸν ἀπὸ περάτων ἐπὶ πέρατα κατῳκίσθη
τῆς ἀνθρωπότητος εἰς ἄπειρον κεχυμένης, οὐκ ἔτι τοῖς αὐτοῖς ἐπιμένειν τὸν ἄνθρω-
18 πον ἐπέτρεπεν ὁ θεός, σκοπῶν ὅπως ἀπὸ τῶνδε εἰς τάδε μεταβαίνοντες πλησιαίτερον
προκόπτωσιν ἔρχεσθαι τῶν οὐρανῶν, μέχρις ἂν εἰς αὐτὸ τὸ μέγιστον μάθημα καὶ
κορυφαιότατον τῆς παρθενίας φθάσαντες τελειωθῶσιν, ἀπὸ τῆς ἀδελφομιξίας ὁδεύ-
σαντες πρῶτον εἰς τὸ ὀθνείας ἐπάγεσθαι γαμετάς, κἀκεῖθεν εἰς τὸ μηκέτι πολλαῖς
ἐπιβαίνειν τετραπόδων νόμῳ, καθάπερ εἰς ὀχείαν γεγονότας, κἀντεῦθεν εἰς τὸ μὴ
μοιχοὺς γεγονέναι, καὶ αὖ πάλιν εἰς σωφροσύνην, καὶ ἀπὸ σωφροσύνης εἰς παρθε-
νίαν, ἔνθα μελετήσαντες τῆς σαρκὸς ὑπερφρονεῖν εἰς τὸν τῆς ἀφθαρσίας εὔδιον ἀφό-
βως ἐνορμίζονται χῶρον.

19 III. *Εἰ δέ τις* ὡς ἀμάρτυρον τῶν γραφῶν αἰτιάσασθαι τολμήσοι τὸν λόγον, φέρε
δὴ παραθέντες καὶ τὰ τῶν προφητῶν ἀληθέστερα μᾶλλον ἀποδείξωμεν τὰ προειρη-
μένα. [1]ὁ γοῦν Ἀβραὰμ πρῶτος ἐν διαθήκῃ τὴν περιτομὴν λαβὼν οὐδὲν ἕτερον
αἰνίττεσθαι δοκεῖ, τὸ οἰκεῖον περιτεμνόμενος τῆς σαρκὸς αὐτοῦ μέλος, ἢ τοῦτο, τὸ
μηκέτι εἰς τὴν ἐκ τοῦ αὐτοῦ αἵματος σάρκα δημιουργηθεῖσαν παιδοσπορεῖν, ἀπὸ τῆς ἰδίας
ἕκαστον διδάσκων ἀδελφῆς οἷα σαρκὸς ἀποτέμνειν τὴν κατὰ συνουσίαν ἡδονήν. ὥςτε
τὸ πλησιάζειν καὶ ὁμεύνοις χρῆσθαι ταῖς σφῶν ἀδελφαῖς ἀπὸ τῶν τοῦ Ἀβραὰμ πέ-
20 παυται καιρῶν· τὸ δὲ πλειόνων συναλλαγαῖς ἁρμόζεσθαι γυναικῶν ἀπὸ τῶν προφη-
Sir. 18, 30. τικῶν ἀνῄρηται χρόνων. „ὀπίσω“ γὰρ „σου τῶν ἐπιθυμιῶν μὴ πορευθῇς, καὶ ἀπο
Sir. 19, 2. τῶν ὀρέξεών σου κωλύου“· „οἶνος“ γὰρ „καὶ γυναῖκες ἀποστήσουσι συνετούς“. καὶ
Prov. 5, 18. ἐν ἑτέρῳ „ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς

1) *Ὁ γοῦν Ἀβραὰμ ... τὴν κατὰ συνουσίαν ἡδονήν.* Conf. Excerpta ap. Phot. Biblioth. cod. 237. p. 308, a. 8—14. Bekk. ubi haec fere ad verbum expressa sunt.

τῆς ἐκ νεότητός σου“, δηλονότι παραιτούμενος τὰς πολλάς. ὁ δὲ Ἱερεμίας „ἵππους Jer. 5, 8.
θηλυμανεῖς“ ἀναφανδὸν τοὺς εἰς διαφόρους μαργῶντας γυναῖκας καλεῖ· „πολύγονον“ Sap. 4, 3.
γάρ φησιν „ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει, καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει
ῥίζαν εἰς βάθος.“ ἀλλὰ γὰρ ἵνα μὴ μακρηγορῶμεν ἐπὶ πολὺ τὰς προφητικὰς ἀναλε-
γόμενοι φωνάς, φέρε δὴ συστήσωμεν πάλιν ὅπως διαδέχεται τὴν ἐπὶ μιᾷ γυναικὶ 21
συναλλαγὴν ἡ σωφροσύνη, μέχρις ἂν ἐκλύσῃ τελείως τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν συνου-
σίαν καταφοράν, πρὸς ὀλίγον ἀφαιρουμένη τὰς τῆς σαρκὸς ἡδυπαθείας. αὐτίκα γοῦν
εἰσάγεταί τις ἐμφανῶς ἤδη λοιπὸν παραιτούμενος τουτονὶ τὸν περισπασμόν, „κύριε“
λέγων „πάτερ καὶ δέσποτα τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν· μετεω- Sir. 23, 4. 6.
ρισμὸν ὀφθαλμῶν ἄφελε ἀπ' ἐμοῦ· καρδίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτω-
σάν με“. καὶ ἐν τῇ παναρέτῳ δὲ Σοφίᾳ γυμνῶς ἤδη τοὺς ἀκροατὰς εἰς ἐγκράτειαν
ἐφελκόμενον καὶ σωφροσύνην τὸ πνεῦμα τὸ ἅγιον τοιαῦτα μελῳδεῖ, „κρεῖσσον ἀτε- Sap. 4, 1. 2.
κνία μετ' ἀρετῆς“ κεκραγός· „ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς, ὅτι καὶ παρὰ θεῷ 22
γινώσκεται καὶ παρὰ ἀνθρώποις, παροῦσάν τε τιμῶσιν αὐτὴν καὶ ποθοῦσιν ἀπελθοῦ-
σαν, καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα
νικήσασα“.

IV. *Περὶ μὲν οὖν τῶν καιρῶν τῆς ἀνθρωπότητος*, ὅπως ἀρξαμένη ἀπὸ τῆς ἀδελ-
φομιξίας ὥδευσεν ἐπὶ τὴν ἐγκράτειαν, εἴρηται· περὶ δὲ παρθενίας λείπεται. ὅσον οὖν
δυνατόν, πειρατέον φράσαι. καὶ πρῶτον ἐξεταστέον δι' ἣν αἰτίαν πολλῶν πατριαρ-
χῶν καὶ πολλῶν προφητῶν καὶ δικαίων πολλὰ καὶ καλὰ διδαξάντων καὶ ἐργασαμένων
παρθενίαν οὐδεὶς οὔτε ἐνεκωμίασεν οὔτε εἵλετο. μόνῳ γὰρ ἄρα ἐφυλάσσετο τοῦτο 23
πρεσβεῦσαι τὸ μάθημα τῷ κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον ἐδίδαξε χωρεῖν
εἰς θεόν. ἔπρεπε γὰρ τῷ ἀρχιερεῖ καὶ ἀρχιπροφήτῃ καὶ ἀρχαγγέλῳ τούτῳ καὶ ἀρχι-
παρθένῳ προςαγορευθῆναι. τὸ δὲ παλαιὸν οὐδέπω τέλειος ὁ ἄνθρωπος ἦν, καὶ διὰ
τοῦτο τὸ τέλειον οὐδέπω χωρῆσαι, τὴν παρθενίαν, ἴσχυεν. ἔτι γὰρ ἔχρῃζε, κατ' εἰκόνα
θεοῦ γεγονώς, καὶ τὸ καθ' ὁμοίωσιν ἀπολαβεῖν· ὅπερ τελεσιουργῆσαι καταπεμφθεὶς
ὁ λόγος εἰς τὸν κόσμον, τὴν ἡμετέραν μορφὴν πρότερον ἀνέλαβε πολλοῖς ἁμαρτήμασι
κατεστιγμένην, ἵνα δὴ τὴν θείαν ἡμεῖς, δι' οὓς αὐτὸς ἐφόρεσε, πάλιν χωρῆσαι δυνη- 24
θῶμεν. καθ' ὁμοίωσιν γὰρ ἀκριβωθῆναι τότε πάρεστι θεοῦ, ὁπότε δὴ τοὺς αὐτοῦ
χαρακτῆρας τῆς κατὰ ἄνθρωπον πολιτείας ζωγράφων δίκην ἐπιστημόνων ἐν ἑαυτοῖς
ὥςπερ σανίσιν ἐκτυπωσάμενοι ἀσινεῖς κατέχωμεν, ἣν αὐτὸς ἐφανέρωσε μαθητεύοντες
τρίβον. ταύτῃ γὰρ ᾑρετίσατο τὴν ἀνθρωπίνην ἐνδύσασθαι σάρκα θεὸς ὤν, ὅπως ὥσπερ
ἐν πίνακι θεῖον ἐκτύπωμα βίου βλέποντες ἔχωμεν καὶ ἡμεῖς τὸν γράψαντα μιμεῖσθαι.
οὐ γὰρ ἕτερα φρονῶν ἕτερα ἐποίει· οὐδὲ μὴν ἕτερα νομίζων εἶναι τὰ καλὰ ἐδίδασκεν
ἕτερα· ἀλλ' ἅπερ ἦν ἀληθῶς ὠφέλιμα καὶ καλά, ταῦτα καὶ ἐδίδασκε καὶ ἐποίει.

V. *Τί οὖν ὁ κύριος*, ἡ ἀλήθεια, τὸ φῶς, ἐπραγματεύσατο κατελθών; ἄφθορον 25
ἐφύλαξεν ἐν παρθενίᾳ τὴν σάρκα κοσμήσας. καὶ ἡμεῖς ἄρα, εἰ μέλλοιμεν καθ' ὁμοίω-
σιν ἔσεσθαι θεοῦ καὶ Χριστοῦ, φιλοτιμώμεθα τὴν παρθενίαν τιμᾶν· ὁμοίωσις γὰρ
θεῷ φθορᾶς ἀποφυγή. ὅτι δὲ καὶ ἀρχιπαρθένος, ὃν τρόπον καὶ ἀρχιποιμὴν καὶ ἀρχι-
προφήτης, γέγονεν ὁ λόγος ἐνανθρωπήσας τῆς ἐκκλησίας, καὶ ὁ χριστόληπτος ἡμῖν
παρέστησεν ἐν βιβλίῳ τῆς Ἀποκαλύψεως Ἰωάννης λέγων „καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον Apoc. 14, 1—4.
ἑστὼς ἐπὶ τὸ ὄρος Σιών, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχου-
σαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων 26
αὐτῶν. καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν
βροντῆς μεγάλης· καὶ ἡ φωνὴ ἣν ἤκουσα, ὡς φωνὴ κιθαρῳδῶν κιθαριζόντων ἐν
ταῖς κιθάραις αὐτῶν. καὶ ᾄδουσι καινὴν ᾠδὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον
τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν,
εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς.
οὗτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν. οὗτοί εἰσιν οἱ
ἀκολουθήσαντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ“, τοῦ χοροῦ τῶν παρθένων ἐξάρχοντα δει-
κνύων τὸν κύριον. ἐπίστησον δὲ πρὸς τούτοις ὅπως τὸ ἀξίωμα τῆς παρθενίας μέγι- 27
στον παρὰ τῷ θεῷ. „οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ καὶ Apoc. 14, 5.
τῷ ἀρνίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμωμοι γάρ εἰσι καὶ ἀκο-
λουθοῦσι“ φησί „τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ“, σαφῶς ἡμᾶς κἀντεῦθεν διδάσκειν βού-
λεται ὅτι ἐν ἀριθμῷ τοσούτῳ, τουτέστιν ἑκατὸν τεσσαράκοντα καὶ τέσσαρσι χιλιάσιν,
ἀπάνωθεν τὸ πλῆθος περιώριστο τῶν παρθένων, τῶν ἄλλων ἁγίων εἰς πλῆθος ἀόρι-
στον ὀχλιζομένων. τί γὰρ παρεγγυᾷ καὶ περὶ τῶν λοιπῶν διαλεγόμενος, προςεκτέον.
„καὶ εἶδον ἀπὸ πάσης γλώττης καὶ φυλῆς καὶ παντὸς ἔθνους πλῆθος πολύ, ὃ ἀριθμῆ- Apoc. 7, 9.
σαι αὐτὸ οὐδεὶς ἠδύνατο“. οὐκοῦν συνέστηκεν, ὡς ἔφην, ἐπὶ μὲν τῶν ἄλλων ἁγίων 28
αὐτὸν πληθὺν ἄφατον εἰσάγειν, ἐπὶ δὲ τῶν ἐν παρθενίᾳ βραχύτατον ἀριθμόν, ὡς
πρὸς σύγκρισιν τῶν εἰς ἀναρίθμητον πλῆθος συντελούντων.

*Οὗτος, ὦ Ἀρετή, ὁ παρ' ἐμοῦ σοι περὶ παρθενίας, ἔφη, λόγος· εἰ δέ τι παρέλι-
πον, ἀναπληρούτω διαδεξαμένη με Θεοφίλα.*

Λόγος β'.

Θεοφίλα.

I. *Εἰπεῖν οὖν ἔφη τὴν Θεοφίλαν, Οὐκοῦν δοκεῖ μοι ἀναγκαῖον εἶναι, ἐπειδὴ καλῶς
ἡ Μαρκέλλα ὁρμήσασα ἐπὶ τὸν λόγον οὐχ ἱκανῶς ἐπλήρωσεν, ἐμὲ πειρᾶσθαι δεῖν τέλος
ἐπιθεῖναι τῷ λόγῳ. τὸ μὲν γὰρ εἰς παρθενίαν ἐκ προβάσεως προκόψαι τὸν ἄνθρω-
29 πον, τοῦ θεοῦ παρορμήσαντος αὐτὸν κατὰ καιρὸν καὶ καιρόν, δοκεῖ μοι καλῶς διειλέ-
σθαι, τὸ δὲ μηκέτι χρῆναι λέγειν τοὐντεῦθεν τεκνογονεῖν οὐ καλῶς. [1] ἐγὼ γὰρ καθεω-
ρακέναι μοι δοκῶ σαφῶς ἀπὸ τῶν γραφῶν ὅτι παρθενίας ἐλθούσης ὁ λόγος οὐκ
ἀνεῖλε πάντῃ τὴν τεκνογονίαν. οὐ γὰρ ἐπειδὴ τῶν ἀστέρων ἡ σελήνη μείζων ἐστί,
παρὰ τοῦτο τῶν ἄλλων ἀστέρων τὸ φῶς ἀναιρεῖται. ἀρξώμεθα δὲ ἀπὸ τῆς Γενέσεως,
Gen. 1, 28 ἵνα δὴ καὶ πρεσβεύωμεν μᾶλλον τὴν γραφήν. ἡ γὰρ ἀπόφασις τοῦ θεοῦ καὶ τὸ διά-
ταγμα τὸ ἐπὶ τῆς τεκνοποιίας ὁμολογουμένως μέχρι καὶ νῦν συμπληροῦται, πλάσσοντος
τὸν ἄνθρωπον ἔτι τοῦ δημιουργοῦ. τοῦτο γὰρ καὶ παντὶ καταφανές, ὡς ἄρα τὸν κό-
30 σμον ἀκμὴν ἐργάζεται ζωγραφῶν ὁ θεός, ὥσπερ δὴ καὶ ὁ κύριος ἐδίδαξεν, „ἕως ἄρτι
Joann. 5, 17. ὁ πατήρ μου ἐργάζεται" λέγων. ἀλλ' ὁπόταν οἱ ποταμοὶ ἤδη λωφήσωσιν εἰς τὸ τῆς
θαλάσσης εἰσβάλλοντες ἀγγεῖον, καὶ τὸ φῶς τελείως χωρισθῇ τοῦ σκότους (νῦν γὰρ
ἔτι διαχωρίζεται) καὶ τοὺς καρποὺς μετὰ τῶν ἑρπετῶν καὶ τετραπόδων ἀναδιδόναι παύ-
σηται λοιπὸν ἡ ξηρά, καὶ ὁ προωρισμένος τῶν ἀνθρώπων ἀριθμὸς ἀναπληρωθῇ· τότε
δὴ λοιπὸν καὶ τῆς παιδοποιίας ἀφεκτέον. νῦν γὰρ εἰς τὴν εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρω-
Gen. 1, 28. πον ἀνάγκη συνεργεῖν, ἔτι συνεστῶτος τοῦ κόσμου καὶ τεκταινομένου. „αὐξάνεσθε"
γὰρ ἐλέχθη „καὶ πληθύνεσθε". καὶ οὐ χρὴ τὸ διάταγμα βδελύσσεσθαι τοῦ δημιουρ-
31 γοῦ, ἐξ οὗ δὴ καὶ αὐταὶ γεγόναμεν. ἀρχὴ γὰρ γενέσεως ἀνθρώπων ἡ τοῦ σπέρματος
εἰς τὰς αὔλακας τῆς μήτρας γίνεται καταβολή, ὅπως τὸ ἐκ τῶν ὀστέων ὀστοῦν καὶ ἡ
ἐκ τῆς σαρκὸς σὰρξ ἕτερος ἄνθρωπος ἀοράτῳ ληφθέντα δυνάμει πάλιν ὑπὸ τοῦ αὐτοῦ
Gen. 2, 23. τεχνίτου δημιουργηθῶσι. ταύτῃ γὰρ ἐκείνην ἡγητέον πληροῦσθαι τὴν φωνὴν „τοῦτο νῦν
ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου."*

II. *Τοῦτο γὰρ ἴσως ᾐνίσσετο καὶ ἡ μετὰ τὸν ὕπνον ἔκστασις ἐπιβληθεῖσα τῷ πρω-
τοπλάστῳ, προδιατυπουμένη τὴν ἐπὶ τῆς φιλοτησίας θέλξιν τοῦ ἀνδρός, ὁπότε διψήσας
τέκνων ἐξίσταται ταῖς παιδογόνοις θηλυνόμενος καθ' ὕπνον ἡδοναῖς, ἵνα πάλιν τι ἀπὸ
τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς ἀποσπασθὲν ἕτερος ἄνθρωπος, ὡς ἔφην, ἀναπλη-
32 ρωθῇ. ἐκταρασσομένης γὰρ τῆς ἁρμονίας τῶν σωμάτων ἐν τοῖς κατὰ συνουσίαν ἐρε-
θισμοῖς, ὡς οἱ τετελεσμένοι τὴν γαμήλιον ἡμᾶς διδάσκουσι τελετήν, πᾶν τὸ μυελῶδες
τοῦ αἵματος καὶ γονιμώτατον, ὅπερ ἐστὶν ὑγρὸν ὀστοῦν, ἐκ πάντων ἐπαθροιζόμενον
τῶν μελῶν, ἀφροποιῆσαν καὶ θρομβωθὲν διὰ τῶν παιδογόνων ὀργάνων εἰς τὴν ἔμψυ-
χον τῆς θηλείας ἐξέσσυται γῆν. εἰκότως ἄρα ἕνεκεν τούτου καταλιπεῖν λέλεκται τὸν
πατέρα καὶ τὴν μητέρα, τότε πάντων ἀθρόως ἀμνημονήσας, ὅτε φιλοστόργοις ἑνούμενος
τῇ γυναικὶ συμπλοκαῖς κάτοχος ἐπιθυμίας γίνεται γεννητικῆς, παρέχων ἀφαιρεῖσθαι τῷ
33 θείῳ τὴν πλευρὰν δημιουργῷ, ὅπως ἐξ υἱοῦ δὴ καὶ αὐτὸς πατὴρ πάλιν ἐκφανῇ. οὐκοῦν
εἰσέτι πλάσσοντος καὶ νῦν δὴ τὸν ἄνθρωπον τοῦ θεοῦ, πῶς οὐ τολμηρὸν τὸ βδελύσσε-
σθαι τὴν παιδουργίαν, ἣν αὐτὸς οὐκ ἐπαισχύνεται ταῖς ἀμιάντοις ὁ παντοκράτωρ ἐρ-
Jer. 1, 5. γαζόμενος χερσί; „πρὸ τοῦ" γὰρ „με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε" τῷ Ἱερε-
Job. 38, 14. μίᾳ φησί· τῷ δὲ Ἰὼβ „μὴ σὺ λαβὼν πηλὸν ἔπλασας ζῷον καὶ λαλητὸν αὐτὸ ἐποίη-
Job. 10, 8. σας" ἔφη „ἐπὶ τῆς γῆς;" καὶ ὁ Ἰὼβ πρὸς αὐτὸν εὐκτικῶς φέρεται λέγων τό „αἱ χεῖρές
σου ἐποίησάν με καὶ ἔπλασάν με." πῶς δὲ οὐκ ἄτοπον τὸ ἀπαγορεύεσθαι γάμων
συναλλαγάς, προσδοκωμένων ἔτι καὶ μεθ' ἡμᾶς ἔσεσθαι μαρτύρων καὶ τῶν ἀντιτασσο-
34 μένων τῷ πονηρῷ, δι' οὓς δὴ καὶ τὰς ἡμέρας ὁ λόγος ἐπηγγείλατο κολοβωθήσεσθαι;
Matth. 24, 22. εἰ γὰρ φαῦλον, ὡς ἔφης, ἀπεντεῦθεν νενόμισται τῷ θεῷ τὸ παιδοσπορεῖν· δι' ἣν
Marc. 13, 20. αἰτίαν οἱ παρὰ δόγμα φυόμενοι καὶ τὴν βουλὴν τὴν θείαν εὐάρεστοι δυνήσονται παρα-
στῆναι τῷ θεῷ; ἢ πῶς οὐκ ἀνάγκη εἶναι κίβδηλον, ἀλλὰ μὴ θεοφυὲς τὸ τεχθέν, εἰ
παρὰ τὴν γνώμην καὶ τὸ διάταγμα δίκην παραχαράγματος πλάσσεται τῆς δυνάμεως,
ἵνα δὴ καὶ ἀνθρώποις δύνασθαι δῶμεν ἀνθρωποπλαστεῖν;*

III. *Καὶ ἡ Μαρκέλλα ὑπολαβοῦσα, Ὦ Θεοφίλα, μέγα σφάλμα, ἔφη, καὶ ἐναντίον
35 οἷς εἶπας ἀναφαίνεται, καὶ οἴει λεληθέναι παρωσαμένη τηλικοῦτον νέφος; ἥκει γὰρ*

1) *Ἐγὼ γὰρ ... τὸ φῶς ἀναιρεῖται.* Conf. Phot. cod. 237. p. 308, a. 15—20. apud quem post *ἀναιρεῖται* haec insequuntur: *ἢ ἐπειδὴ τῶν ἄλλων ἐστὶ γλυκύτερον τὸ μέλι καὶ ἡδύτερον, τὰ λοιπὰ πικρὰ καὶ ἀνήδονα νομιστέον.* quae sumta ex p. 48.

ἐκεῖνος ὁ λόγος, ὃν ἴσως ἀπαιτῶν σέ τις, ὦ σοφωτάτη, λέξει „περὶ τῶν ἐκ μοιχείας
ἀνόμως φυομένων τί φῄς; ἔδωκας γὰρ εἰςελθεῖν εἰς τὸν κόσμον ἀμήχανον εἶναι καὶ
ἀδύνατον, μὴ χειραγωγηθέντα τῷ θελήματι τῆς μεγαλοσύνης, κατασκευασθέντος αὐτῷ
τοῦ σκηνώματος πρὸς τοῦ θεοῦ“. καὶ ἵνα μὴ καταφύγῃς ὥςπερ εἰς τειχίον, ἐχέγγυον
προχειριζομένη τὴν λέγουσαν γραφήν [1] „τέκνα δὲ μοιχῶν ἀτελεσφόρητα“, ἀποκρούσεται Sap. 3, 16.
σε πρᾴως εἰπὼν ὅτι „καὶ μὴν τελεσφόροις πολλαχῶς ὠδῖσιν ὥριμον καρπὸν τοὺς ἐκ
παρανόμων συλληφθέντας ὧδε συναλλαγῶν ὁρῶμεν φυομένους.“ εἰ δ' αὖ πάλιν σοφι-
ζομένη φαίης „ὦ οὗτος, ἐγὼ τὸ ἀτελεσφόρητον ἐπὶ τῶν τελειουμένων ἡγοῦμαι τάσσε- 36
σθαι τῇ χριστοδιδάκτῳ δικαιοσύνῃ“, λελέξεται „καὶ μήν, ὦ μακαρία, πλεῖστοι τεχθέν-
τες ἐξ ἀδίκου σπορᾶς οὐδὲν ἧττον οὐ μόνον τῇ ποίμνῃ συναγελάζεσθαι καταριθμοῦνται
τῶν ἀδελφῶν, ἀλλὰ καὶ καθηγεῖσθαι τούτων κληροῦνται πολλαχῶς. οὐκοῦν ὄντος φα-
νεροῦ καὶ πάντων ἱστορούντων καὶ τὰ ἐκ μοιχείας φυόμενα τελεσιουργεῖσθαι, οὐ χρὴ
νομίζειν συλλήψεων πέρι καὶ τοκετῶν τὸ πνεῦμα πεπροφητευκέναι, ἀλλ' ἴσως περὶ τῶν
τὴν ἀλήθειαν μοιχωμένων, οἵτινες κλεψισόφοις νοθεύοντες δόγμασι τὰς γραφὰς ἀτε-
λεσφόρητον γεννῶσι σοφίαν, τῇ θεοσεβείᾳ συγκιρνῶντες τὴν πλάνην“. διὸ καὶ ταύτης 37
σοι τῆς προφάσεως ἐξῃρημένης [2] ἴθι δή, εἰ καὶ τὰ ἐκ μοιχείας εὐδοκοῦντος, ἀπόκρι-
ναι, γεννῶνται τοῦ θεοῦ. ἔφης γὰρ εἶναι ἀδύνατον ἀνθρώπου τελεσφορηθῆναι γονήν,
μὴ μορφώσαντος αὐτὴν καὶ ψυχώσαντος τοῦ κυρίου.

IV. Ἡ δὲ ὑπὸ γενναίου ὥςπερ ληφθεῖσα τῶν μέσων ἀνταγωνιστοῦ ἐσκοτοδινίασε,
καὶ μάλα μόλις ἀναπνεύσασα ἔφη, Ἐρωτᾷς ἐρώτημα διὰ παραδείγματος, ὦ μακαρία,
χρῄζον ἀποδειχθῆναι, ἵν' ἔτι μᾶλλον ἴδῃς ὡς διὰ πάντων ἡ ποιητικὴ δύναμις διή-
κουσα τοῦ θεοῦ πλέον εἰς τὴν τῶν ἀνθρώπων γένεσιν αὐτουργεῖ, αὔξουσα τὰ εἰς γόνι-
μον φυτευόμενα γῆν. οὐ γὰρ τὸ σπειρόμενον αἰτιατέον, ἀλλὰ τὸν εἰς ἀλλοτρίαν 38
ἄρουραν κλεψιγάμοις εὐναῖς, οἷα μισθωτὸν ὀλίγης ἡδονῆς, τὴν ἰδίαν ἀναισχύντως
πιπράσκοντα σποράν. ἀπείκασον γὰρ τοιούτῳ τινὶ τὴν ἡμετέραν γένεσιν εἰς τὸν βίον,
οἷον οἴκῳ παρακειμένην ἔχοντι τὴν εἴςοδον ὄρεσιν ὑψηλοῖς· διήκειν δὲ τὸν οἶκον ἐπὶ
πολὺ κάτω μέχρι μακρὰν τῆς εἰςόδου, ἔχοντα πολλὰς ὀπὰς ἐκ τῶν ὀπίσω καὶ περι-
φερῆ κατὰ τοῦτο τὸ μέρος γεγονότα. Ἀπεικάζω, ἔφη ἡ Μαρκέλλα. Οὐκοῦν ὑπόλαβε
ἔνδον καθεζόμενον ἐργάζεσθαι πλάστην πολλοὺς ἀνδριάντας· τούτῳ δ' αὖ τὴν ὕλην τοῦ
πηλοῦ διὰ τῶν ὀπῶν ἔξωθεν νόησον ὑπὸ πολλῶν ἀνθρώπων ἀνενδεῶς χορηγεῖσθαι,
οὐδενὸς αὐτὸν ὁρῶντος τὸν τεχνίτην. δὸς δὲ κεκαλύφθαι τὸν οἶκον ὁμίχλῃ καὶ νεφέ-
λαις, καὶ μηδὲν αὐτοῖς ἔξωθεν εἶναι καταφανὲς ἢ μόνας τὰς ὀπάς. Δεδόσθω, ἔφη, 39
καὶ τοῦτο. Ἔχειν δὲ ἕκαστον αὐτῶν τῶν συμπονούντων εἰς τὴν τοῦ πηλοῦ συγκομιδὴν
ἀπονενεμημένην αὐτῷ μίαν ὀπήν, εἰς ἣν χρὴ μόνον αὐτὸν φέροντα τὴν ἰδίαν ὕλην ἀπο-
τίθεσθαι, μὴ ἁπτόμενον ἑτέρας. εἰ δ' αὖ περιέργως ἀνοιγνύναι τὴν ἑτέρῳ κεκληρω-
μένην ἐπιχειροίη, πῦρ αὐτῷ καὶ μάστιγας ἀπειλητέον. οὐκοῦν τὰ μετὰ ταῦτα λοιπὸν
δὴ θεώρησον, ἔνδοθεν τὸν πλάστην περιερχόμενον τὰς ὀπὰς καὶ τὸν εὑρισκόμενον ἐν
ἑκάστῃ πηλὸν κατ' ἰδίαν λαμβάνοντα πλάττειν, καὶ μηνῶν περιόδοις ἀποπλάσαντα πά-
λιν ἀποδιδόναι τοῖς ἔξω διὰ τῆς αὐτῆς τὸν πλάστην ὀπῆς, ἔχοντα τοιαύτην ἐντολήν, 40
πάντα τὸν δυνάμενον δημιουργηθῆναι πηλὸν ἀδιαφόρως ἐργάζεσθαι, κἂν εἰς ἀλλοτρίαν
ὑπό τινος εἰςοχετεύηται κακοτρόπως ὀπήν (οὐδὲν γὰρ ἠδικηκέναι τὴν ὕλην· διὸ ὡς
ἀναιτίαν μὲν δὴ χρῆναι πλάττεσθαι καὶ μορφοῦσθαι), τὸν δὲ παρὰ τὸ διάταγμα καὶ
τὴν ἐντολὴν εἰς ἀλλοτρίαν αὐτὴν ἀποτιθέμενον ὀπὴν ὡς ἀλάστορά τε καὶ παραβάτην
τιμωρεῖσθαι. οὐ γὰρ τὸν πηλὸν αἰτιατέον, ἀλλ' ἐκεῖνον τὸν παρὰ τὸ ὅσιον τοῦτο
πεποιηκότα· ἀκρασίας γὰρ χάριν εἰς ἀλλοτρίαν ἀποκομίσας ὀπὴν ἀπέθετο λαθραίως τῇ
βίᾳ. Ἀληθέστατα λέγεις.

V. Οὐκοῦν λοιπὸν δὴ [καιρὸς] τούτων ἤδη προδιηνυσμένων ταύτην σε πᾶσαν προς- 41
άπτειν, ὦ σοφωτάτη, τὴν εἰκόνα τοῖς ἤδη ἔμπροσθεν εἰρημένοις, τὸν μὲν οἶκον ἀφο-
μοιοῦσαν τῇ ἀοράτῳ τῆς γενέσεως ἡμῶν φύσει, τὴν δὲ προςκειμένην εἴςοδον τοῖς ὄρεσι
τῇ ἀπὸ τῶν οὐρανῶν εἰς τὰ σώματα καταβάσει καὶ παραπομπῇ τῶν ψυχῶν, τὰς δὲ
ὀπὰς τῷ θηλυκῷ καὶ γυναικείῳ γένει, τὸν δὲ πλάστην τῇ ποιητικῇ δυνάμει τοῦ θεοῦ,
ἥτις ἐπικαλύμματι τῆς γενέσεως ἡμῶν τῇ φύσει χρωμένη ἔνδον ἡμᾶς ἀοράτως ἀνθρω-
ποπλαστεῖ, τὰ ἐνδύματα ταῖς ψυχαῖς ἐργαζομένη. τοὺς δὲ κομίζοντας τὴν ὕλην τοῦ
πηλοῦ τῷ ἀνδρείῳ καὶ ἀῤῥενικῷ παραβλητέον, ὁπότε διψήσαντες τέκνων εἰς τοὺς κατὰ
φύσιν τῆς θηλείας φερόμενοι πόρους ἐγκαταβάλλουσι τὴν σποράν, ὥςπερ κἀκεῖ τὸν 42
πηλὸν εἰς τὰς ὀπάς. θείας γάρ, ὡς ἔπος εἰπεῖν, μοίρας τῆς δημιουργικῆς τὸ σπέρμα

1) *Τέκνα δὲ μοιχῶν* .. (p. 36) .. *συγκιρνῶντες τὴν πλάνην.* Conf. Phot. cod. 237. p. 308, a. 21—30. qui illa: (p. 36) *περὶ τῶν τὴν ἀλήθειαν μοιχωμένων* ... *συγκιρνῶντες* (ipse *συγκρίνοντες*) *τὴν πλάνην*, fere ad verbum, praegressa summatim refert.

2) *Ἴθι δὴ* ... (p. 44) ... *μηκύνειν τὸν λόγον.* Summam hujus disputationis Photius cod. 237. p. 308, a. 31—36. refert.

μεταλαμβάνον οὐκ αὐτὸ αἴτιον νομιστέον εἶναι τῶν τῆς ἀκολασίας ὑπεκκαυμάτων. ἡ
μὲν γὰρ τέχνη τὴν ὑποκειμένην ὕλην ἀεὶ τεκταίνεται· οὐδὲν γὰρ αὐτό τι καθ' ἑαυτὸ τῶν
πραγμάτων ἡγητέον εἶναι κακόν, ἀλλὰ παρὰ τὴν πρᾶξιν τῶν χρωμένων τοιουτῶδες
γίνεσθαι. κοσμίως μὲν γὰρ πραττόμενον καὶ σωφρόνως κόσμιον ἀπέβη, αἰσχρῶς δὲ
καὶ ἀσχημόνως αἰσχρόν. τί γὰρ ἠδίκησε σίδηρος γεωργικῆς χάριν καὶ τεχνῶν εὑρεθεὶς
τοὺς εἰς ἀλληλοφόνους αὐτὸν θήξαντας μάχας; τί δὲ χρυσὸς ἢ ἄργυρος ἢ χαλκὸς καὶ συλ-
43 λήβδην ἡ εὐέργαστος ἅπασα γῆ τοὺς πλημμελοῦντας ἀχαρίστως εἰς τὸν σφέτερον δημιουργὸν
ἐν τῷ προστρέπεσθαι τὰ ἀπ' αὐτῶν ποικιλλόμενα βρέτη; κἂν γὰρ ἀπὸ κλεψιμαίων τῇ
ὑφαντικῇ παρέχοιτό τις ἔρια τέχνῃ, πρὸς ἓν μόνον ἀποβλέπουσα τοῦτο ἡ τέχνη δη-
μιουργεῖ τὴν ὑποκειμένην ὕλην, εἰ δέξεται τὴν κατασκευήν, οὐδὲν ἀποβαλλομένη τῶν ἑαυτῇ
χρησίμων, ἐπεὶ μηδὲν αἴτιόν ἐστιν ἐνταῦθα τὸ κλαπέν, ἄψυχον ὄν. διὸ δὴ αὐτὸ μὲν
ἐργαστέον καὶ κοσμητέον, τὸν δὲ ὑφελόμενον ἀδίκῳ φωρᾷ τιμωρητέον. ἀτὰρ δὴ καὶ
τοὺς δηλήμονας τῶν γάμων καὶ διαῤῥήκτας τῆς εὐαρμοστίας τοῦ βίου τῶν χορδῶν,
44 φλεγμαίνοντας οἴστρῳ καὶ τὴν ὄρεξιν εἰς μοιχείαν ἐκκαλουμένους, αὐτοὺς μὲν βασανι-
στέον καὶ τιμωρητέον· ἀπ' ἀλλοτρίων γὰρ κήπων τὰς παιδογόνους λυμαίνονται κλέπτον-
τες συμπλοκάς· τὴν δὲ σποράν, ὥςπερ δὴ κἀκεῖ τὰ ἔρια, μορφωτέον καὶ ψυχωτέον.

VI. *Καὶ τί δεῖ παραδείγμασι τοσούτοις καταχρωμένην μηκύνειν τὸν λόγον; οὐδὲ
γὰρ ἂν οὕτως ἐν ὀλίγῳ χρόνῳ τοσοῦτον ἔξω θείας κομιδῆς ἔργον ἐξήνυσε φύσις. τίς
γὰρ ὀστέων ἄτηκτον ἔπηξεν οὐσίαν; τίς δὲ ξυνέδησε νεύροις ἐπιτείνεσθαι καὶ ἀνίεσθαι
περὶ τὰς ἁρμογὰς καμπτόμενα τὰ μέλη; τίς δ' ὑπονόμους κατεσκεύασε τῷ αἵματι καὶ
μαλακὴν ἀρτηρίαν τῷ πνεύματι; ἢ τίς θεὸς ἐζύμωσε χυμοὺς δεύσας αἵματι καὶ
μαλθακὴν ἐκ χοὸς σάρκα ἢ μόνος ὁ ἀριστοτέχνης, τὴν λογικωτάτην εἰκόνα καὶ
45 ἔμψυχον τὸν ἄνθρωπον, ἡμᾶς, ἑαυτοῦ τεκταινόμενος καὶ κηροπλαστῶν ἐξ ὑγρῶν
καὶ βραχυτάτων σπερμάτων ἐν μήτρᾳ; τίς γάρ ἐστιν ὁ προμηθούμενος μὴ συμπνίγε-
σθαι τῷ ὑγρῷ ἐν τῇ συνοχῇ τῶν ἀγγείων ἐπικλυζόμενον ἔσω τὸ ἔμβρυον; ἢ τίς ὁ
μετὰ τὸ λοχευθῆναι καὶ εἰς φῶς ἀνελθεῖν εἰς μέγεθος καὶ κάλλος καὶ ῥώμην ἐξ ἀσθε-
νοῦς καὶ βραχέος μεταβάλλων, εἰ μὴ αὐτὸς οὗτος ὁ ἀριστοτέχνης, ὡς ἔφην, θεὸς τῇ
ποιητικῇ δυνάμει τῷ Χριστῷ μετασχηματίζων καὶ μεταζωγραφῶν τὰς ἰδέας; ὅθεν δὴ
καὶ τημελούχοις ἀγγέλοις, κἂν ἐκ μοιχείας ὦσι, τὰ ἀποτικτόμενα παραδίδοσθαι παρ-
ειλήφαμεν ἐν θεοπνεύστοις γράμμασιν. εἰ γὰρ παρὰ τὴν γνώμην ἐγίνοντο καὶ τὸν
46 θεσμὸν τῆς μακαρίας ἐκείνης φύσεως τοῦ θεοῦ, πῶς ἀγγέλοις ταῦτα παρεδίδοτο τρα-
φησόμενα μετὰ πολλῆς ἀναπαύσεως καὶ ῥαστώνης; πῶς δὲ καὶ κατηγορήσοντα σφῶν
αὐτῶν τοὺς γονεῖς εὐπαῤῥησιάστως εἰς τὸ δικαστήριον ἐκίκλησκον τοῦ Χριστοῦ, „σὺ
οὐκ ἐφθόνησας ἡμῖν, ὦ κύριε, τὸ κοινόν“ λέγοντα „τοῦτο φῶς· οὗτοι δὲ ἡμᾶς εἰς
Sap. 4, 6. θάνατον ἐξέθεντο, καταφρονήσαντες τῆς σῆς ἐντολῆς;“ „ἐκ“ γὰρ „ἀνόμων“ φησίν
„ὕπνων τέκνα γεννώμενα μάρτυρές εἰσι πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ πιθανῶν
λόγων.“

VII. *Καὶ τάχα μὲν οὖν δὴ χώραν ἕξει πιθανολογῶν τις ἐν οὐ κριτικοῖς καὶ φρο-
νίμοις ἀνδράσι, τὸν χιτῶνα τῆς ψυχῆς τὸν σάρκινον τοῦτον ὑπὸ ἀνθρώπων φυτευόμε-
νον αὐτοματὶ μορφοῦσθαι παρὰ τὴν ἀπόφασιν τοῦ θεοῦ· οὐ μὴν ἤδη καὶ τῆς ψυχῆς
47 τὴν ἀθάνατον οὐσίαν μετὰ τοῦ θνητοῦ σπείρεσθαι διδάσκων πιστευθήσεται σώματος.
τὸ γὰρ ἀθάνατον καὶ ἀγήρων μόνος ὁ παντοκράτωρ ἐμφυσᾷ, ἣ καὶ μόνος τῶν ἀορά-
Gen. 2, 7. των ἐστὶ καὶ ἀνωλέθρων ποιητής. „ἐνεφύσησε“ γὰρ „εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν
ζωῆς, καὶ ἐγένετο“ φησίν „ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.“ ἀμέλει τοὺς χειροτέχνας
τούτους αἰτιώμενος ὁ λόγος, ἐπὶ λύμῃ τῶν ἀνθρώπων τὰ ἀνδροείκελα κατασκευάζοντας
ἀγάλματα, οὐκ αἰσθανομένους δὲ τὸν ἴδιον ποιητήν, ἐν τῇ παναρέτῳ Σοφίᾳ φησί
Sap. 15, 10. 11. „σποδὸς ἡ καρδία αὐτῶν, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν, πηλοῦ τε ἀτιμότερος ὁ
βίος αὐτῶν, ὅτι ἠγνόησαν τὸν πλάσαντα αὐτοὺς καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς ψυχὴν
48 ἐνεργοῦσαν καὶ ἐμφυσήσαντα αὐτοῖς πνεῦμα ζωτικόν.“ οὗτός ἐστι πάντων ἀνθρώπων
1 Tim. 2, 4. ποιητής, ὁ θεός. διὸ καί „πάντας ἀνθρώπους“ κατὰ τὸν ἀπόστολον „σώζεσθαι βού-
λεται καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν“. καὶ ἐπειδὴ τοῦτο μόλις τέλος ἔσχε, λοιπὸν
δὴ τὰ μετὰ ταῦτα λεκτέον. ὁπόταν γάρ τις τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον
συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ βδελύσσεσθαι παιδοποιίαν,
ἐπαινεῖν δὲ καὶ προτιμᾶν ἁγνείαν. οὐδὲ γάρ, ἐπειδὴ τῶν ἄλλων ἡδύτερόν ἐστι καὶ
προςηνέστερον τὸ μέλι, τὰ λοιπὰ δὴ ταύτῃ νομίζεσθαι προςήκει πικρά, ὁπόσα δὴ τῇ
49 ἐμφύτῳ γλυκασίᾳ κεκέρασται τῶν ἀκροδρύων. καὶ τούτων μὲν ἐχέγγυον μάρτυρα παρέ-
1 Cor. 7, 38. ξομαι τὸν Παῦλον „ὥςτε καὶ ὁ γαμίζων“ λέγοντα „τὴν ἑαυτοῦ παρθένον καλῶς ποιεῖ,
καὶ ὁ μὴ γαμίζων κρεῖσσον ποιεῖ“. οὐ γὰρ δὴ τῇ τοῦ κρείττονος καὶ γλυκυτέρου παρα-
θέσει τὸ ἕτερον ἀνεῖλεν ἀπαγορεύσας ὁ λόγος, ἀλλ' ἑκάστῳ τὸ οἰκεῖον καὶ λυσιτελὲς
ἀπονέμειν διαθεσμοθετεῖ. τοῖς μὲν γὰρ οὐδέπω συνεχώρησε παρθενίας τυχεῖν, τοὺς δὲ
οὐκέτι βούλεται χραίνεσθαι φοινισσομένους ἐρεθισμοῖς, ἀλλὰ μελετᾶν ἀπεντεῦθεν ἤδη

καὶ φαντάζεσθαι τὴν ἰσάγγελον μεταστοιχείωσιν τῶν σωμάτων, ἔνθα „οὔτε γαμοῦσιν Matth. 22,30.
οὔτε γαμίσκονται,“ κατὰ τοὺς ἀψευδεῖς τοῦ κυρίου χρησμούς· ἐπεὶ μηδὲ πᾶσιν ὁ ἀμό- 50
λυντος καὶ παρεκτικὸς τῆς βασιλείας τῶν οὐρανῶν εὐνουχισμὸς ἐμπιστεύεται, ἀλλὰ μό- Matth. 19,12.
νοις ἐκείνοις δηλονότι τοῖς καὶ δυναμένοις τὸ ἀειθαλὲς ἄνθος καὶ ἄχραντον τῆς παρθενίας
τηρῆσαι. ἀνθηροτάτῳ γὰρ καὶ ποικιλωτάτῳ λειμῶνι ἀπεικάζεσθαι λόγος ἔχει προφη-
τικὸς τὴν ἐκκλησίαν, οὐ μόνον τοῖς τῆς ἁγνείας πεποικιλμένην καὶ κατεστεμμένην ἄν-
θεσιν, ἀλλὰ καὶ τοῖς τῆς τεκνογονίας καὶ τοῖς τῆς ἐγκρατείας. „ἐν κροσσωτοῖς“ γὰρ Ps. 44, 10.
„χρυσοῖς πεποικιλμένη ἀπὸ δεξιῶν ἡ βασίλισσα παρίσταται“ τοῦ νυμφίου.

Ταῦτά σοι κατὰ δύναμιν κἀγὼ τὴν ἐμαυτῆς, ὦ Ἀρετή, εἰς τὸν περὶ τῆς ἀληθείας συμβάλλομαι λόγον.

Εἰπούσης δὲ ταῦτα τῆς Θεοφίλας θόρυβον γενέσθαι ἔφη ἡ Θεοπάτρα ἐκ πασῶν 51
τῶν παρθένων παραπεμπουσῶν τὸν λόγον. ὡς δὲ ἡσύχασαν, σιωπῆς ἐπὶ πολὺ γενομέ-
νης ἀναστῆναι τὴν Θάλειαν· ταύτῃ γὰρ ἐκ τρίτου ἐπετέτραπτο μετὰ τὴν Θεοφίλαν
ἀγωνίζεσθαι.

Λόγος γʹ.

Θάλεια.

I. Ὑπολαβοῦσα οὖν ἐντεῦθεν, ὡς οἶμαι, ἤδη καὶ αὐτή, Σύ μοι δοκεῖς, ὦ Θεο-
φίλα, ἔφη, καὶ τῇ πράξει καὶ τῷ λόγῳ πασῶν κρατιστεύειν καὶ σοφίας τὰ δεύτερα
φέρεσθαι οὐδενός. οὐ γάρ ἐστιν ὅστις αἰτιάσεταί σου τὸν λόγον, οὐδ᾽ εἰ παντάπασι
φιλόνεικος εἴη καὶ ἀντιλογικός. πλὴν ἐκεῖνό με μόνον τῶν ἄλλων ὀρθῶς εἰρημένων,
ὦ μακαρία, δοκεῖ ταράττειν τε καὶ ἀνιᾶν, ἀναλογιζομένην ὡς οὐκ ἂν ὁ πνευματικώ- 52
τατος καὶ σοφὸς ἀνήρ, τὸν Παῦλον λέγω, ματαίως ἀνέφερεν εἰς Χριστὸν καὶ τὴν ἐκκλη- Ephes. 5, 32.
σίαν τὴν σύνερξιν τοῦ πρωτοπλάστου καὶ τῆς γυναικός, εἰ μηδὲν ὑψηλότερον ἐφαντά-
ζετο τῶν ῥητῶν καὶ τῆς ἱστορίας ἡ γραφή. εἰ γὰρ ὅλως εἰς τὸν περὶ συνελεύσεως
ἀνδρός τε καὶ γυναικὸς δεῖ παραλαμβάνεσθαι τύπον ψιλῶς τὴν γραφήν, τίνος δὴ χάριν
ὁ ἀπόστολος τούτων ἐπιμνησθεὶς καὶ εἰς τὴν τοῦ πνεύματος ἡμᾶς, οἶμαι, χειραγωγῶν
ὁδόν, [1] εἰς Χριστὸν καὶ εἰς ἐκκλησίαν ἀναφέρων ἀλληγορεῖ τὰ κατὰ τὴν Εὔαν καὶ τὸν
Ἀδάμ; ἡ μὲν γὰρ λέξις τῆς Γενέσεως οὕτω φησί „καὶ εἶπεν ὁ Ἀδάμ· τοῦτο νῦν ὀστοῦν Gen. 2, 23. 24.
ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ 53
ἀνδρὸς αὐτῆς ἐλήφθη. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν
μητέρα αὐτοῦ καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα
μίαν.“ ὁ δὲ ἀπόστολος εἰς αὐτὴν δὴ ταύτην ἐπισκεπτόμενος τὴν περικοπὴν οὐκέτι
κατὰ τὸ κείμενον αὐτήν, ὡς ἔφην, αἰσθητῶς ἐπὶ συνέρξεως βούλεται παραλαμβάνεσθαι
γυναικός τε καὶ ἀνδρός, ὥςπερ δὴ καὶ σύ. σὺ γὰρ φυσικώτερον ἐπεξεργαζομένη τὸν
λόγον συλλήψεων πέρι καὶ τοκετῶν ἔδωκας μόνον ἀποφαίνεσθαι τὴν γραφήν· ἵνα γὰρ
τὸ ἀπὸ τῶν ὀστέων ὀστοῦν ἄνθρωπος ἕτερος ληφθὲν γεννηθῇ, ταύτῃ συνεῖναι τὰ ζῶα
σπαργῶντα δένδρων δίκην ἐν ὥρᾳ τοῦ κυεῖν. ἐκεῖνος δὲ πνευματικώτερον εἰς Χριστὸν 54
ἀναπέμψας τὸν λόγον, διδάσκων οὕτως ἔφη „ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν Ephes. 5, 28—32.
ἀγαπᾷ. οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει, κα-
θὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. ἀντὶ τούτου
καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυ-
ναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. τὸ μυστήριον τοῦτο μέγα ἐστίν·
ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν.“

II. Μὴ κινείτω δέ σε, εἰ περὶ ἑτέρων διαλεγόμενος εἰς ἕτερα μεταπηδᾷ, ὥςτε νο-
μίζειν ἀναμιγνύναι καὶ παρεμβάλλειν αὐτὸν ἀνόμοια τοῖς προκειμένοις, παρεκβαίνοντα 55
τοῦ σκέμματος, ὥςπερ δὴ καὶ νῦν. τὸν περὶ τῆς ἁγνείας γὰρ ἐθελήσας, ὡς εἰκός,
μεμελημένως αὐτῷ κρατυνθῆναι λόγον, προδιορθοῦται πρότερον τὴν ἐπιχείρησιν, τῷ
λειοτέρῳ τῆς φράσεως ἀρχόμενος τύπῳ. ὁ γάρ τοι χαρακτὴρ αὐτῷ τῶν λόγων, ποι-
κιλώτατος ὢν καὶ κατὰ παραύξησιν ἐξειργασμένος, ἄρχεται μὲν ἐπιπολαιότερον, προ-
χεῖται δὲ εἰς τὸ ὑψηλότερον καὶ μεγαλοπρεπές· εἶτ᾽ αὖθις εἰς βαθύτητα μεταβάλλων
ὁτὲ μὲν εἰς τὸ ἁπλούστερον καὶ ἀφελές, ὁτὲ δὲ εἰς τὸ δεινότερον καταλήγει καὶ λεπτόν,
οὐδὲν ἀλλότριον ἐπεισάγων τῶν κεφαλαίων ταῖς ἐξαλλαγαῖς, ἀλλὰ πάντα κατά τινα 56
θαυμαστὴν οἰκειότητα συμπεριγράφων εἰς ἓν τὸ προκείμενον αὐτῷ σκέμμα τῆς ἀποθέ-
σεως ἀπεργάζεται. χρὴ οὖν με ἀκριβέστερον ἀνακαλύψαι τὸν νοῦν τῶν κατὰ τὸν ἀπό-

1) Quae a Methodio p. 52—54. et p. 71—76. de Gen. 2, 23. 24. Eph. 5, 28—32. Gen. 1, 28. Gal. 4, 19. 1 Cor. 4, 15. disputantur, in Excerptis apud Phot. cod. 237. p. 308, a. 37 — p. 308, b. 14. summatim delibata sunt.

στολον ἐπιχειρημάτων, οὐδὲν τῶν ἔμπροσθεν εἰρημένων ἀνακρουομένην. ἱκανῶς γὰρ
κἀκεῖνά μοι διεξεληλυθέναι καὶ λαμπρῶς δοκεῖς, ἀκινδυνότερον, ὦ Θεοφίλα, τὰ ῥή-
ματα τῆς γραφῆς, ὡς εἶχεν, ἐπεξεργασαμένη. σφαλερὸν γὰρ πάντη καταφρονεῖν τῶν
κειμένων, ὡς εἴρηται, μάλιστα τῆς Γενέσεως, ἔνθα ἀποφάσεις ἀπαράλλακτοι φέρονται
τοῦ θεοῦ εἰς τὴν σύστασιν τοῦ παντός, αἷς ἡρμοσμένως εἰςέτι καὶ νῦν κάλλιστα κατὰ
57 μέτρον τέλεον ἀπευθύνεται τελείως ὁ κόσμος, ἔστ' ἂν αὐτὸν πάλιν αὐτὸς ὁ διακοσμή-
σας νομοθέτης ἀναστοιχειῶσαι βουληθεὶς ἑτέρῳ διατάγματι τοὺς πρώτους τῆς φύσεως
ἀναλύσῃ θεσμούς. ἀλλ' ἐπεὶ οὐ χρὴ ἀνεξέλεγκτον καὶ ὥςπερ ἐξ ἡμισείας χωλὴν τὴν
ἀπόδειξιν τοῦ λόγου καταλεῖψαι, φέρε δὴ καὶ τὴν κατ' ἀναγωγὴν αὐτῇ συζυγίαν ἀπο-
δῶμεν ἡμεῖς βαθύτερον ἐπισκεψάμεναι τὴν γραφήν. οὐ γὰρ τοῦ Παύλου καταφρονη-
τέον τοῦ ὑπεραναβαίνοντος τὸ ῥητὸν καὶ εἰς τὸν Χριστὸν αὐτὸ συντείνειν καὶ τὴν ἐκ-
κλησίαν ἀποφηναμένου.

III. Καὶ πρῶτον ἐξεταστέον εἰ Ἀδὰμ ἀπεικάζεσθαι δύναται τῷ υἱῷ τοῦ θεοῦ,
Gen. 3, 19. ἐν τῷ παραπτώματι τῆς παραβάσεως εὑρεθεὶς καὶ ἀκούσας τό „γῆ εἶ, καὶ εἰς γῆν
Col. 1, 15. ἀπελεύσῃ.“ πῶς δὲ καὶ πρωτότοκος πάσης τῆς κτίσεως νομισθήσεται ὁ μετὰ τὴν
58 γῆν καὶ τὸ στερέωμα πηλοπλαστούμενος; πῶς δὲ καὶ τὸ ξύλον τῆς ζωῆς αὐτὸς εἶναι
Apoc. 2, 7. συγχωρηθήσεται ὁ ἐκβαλλόμενος διὰ τὴν παράβασιν, ἵνα μὴ πάλιν ἐκτείνας τὴν
Gen. 3, 22. χεῖρα καὶ φαγὼν ἀπ' αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα; τὸ γὰρ ἀπεικαζόμενον ἐκείνῳ οὗ
ἐστιν ἀπείκασμα ὁμοιοῦσθαι καὶ παραβάλλεσθαι κατὰ πολλὰ χρή, ἀλλὰ μὴ ἐκ τῶν
ἐναντίων καὶ ἀνοικείων τὴν σύστασιν ἔχειν. οὐ γὰρ ἂν τὸ ἄνισον τῷ ἀρτίῳ ἢ τὴν
ἁρμονίαν τῇ ἀναρμοστίᾳ τις ἐξισώσαι τολμῶν ὡς ἔμφρων ἀποδεχθήσεται, ἀλλὰ τὸ
ἴσον τῷ φύσει ἴσῳ, κἂν ἐξ ὀλίγου ἴσον ᾖ, καὶ τὸ λευκὸν τῷ φύσει λευκῷ, κἂν αὐτὸ
59 βραχύτατον ᾖ καὶ μετρίως φαντάζοιτο τὴν λευκότητα ἐκείνου, δι' ἣν δὴ καὶ αὐτὸ λέ-
γεται λευκόν. ἴσον δὲ καὶ ἁρμόνιον καὶ λαμπρὸν τὸ ἀναμάρτητον εἶναι καὶ ἀδιάφθο-
ρον ἀνενδοιάστως παντί που σαφὲς τὴν σοφίαν, ἀνάρτιον δὲ καὶ ἀναρμόνιον τὸ θνητὸν
καὶ ἁμαρτωλὸν καὶ διὰ κατάγνωσιν ἐκβληθὲν καὶ ὑπὸ καταδίκην ἐληλυθός.

IV. Τὰ μὲν οὖν δὴ πρὸς τῶν πολλῶν ἀντισφαιριζόμενα σχεδὸν εἶναι τοιαῦτα δὴ
νομίζω, ὅσοι δὴ μὴ θέλουσιν εἰς Χριστὸν ἀναφέρεσθαι τὸν πρῶτον ἄνθρωπον, κατα-
φρονοῦντες τῆς συνέσεως, ὡς εἰκός, Παύλου. φέρε γὰρ ἡμεῖς ἐπισκεψώμεθα πῶς
ὀρθοδόξως ἀνήγαγε τὸν Ἀδὰμ εἰς τὸν Χριστόν, οὐ μόνον τύπον αὐτὸν ἡγούμενος εἶναι
60 καὶ εἰκόνα, ἀλλὰ καὶ αὐτὸ τοῦτο Χριστὸν καὶ αὐτὸν γεγονέναι διὰ τὸ τὸν πρὸ αἰώνων
εἰς αὐτὸν ἐγκατασκῆψαι λόγον. ἥρμοζε γὰρ τὸ πρωτόγονον τοῦ θεοῦ καὶ πρῶτον βλά-
στημα καὶ μονογενὲς τὴν σοφίαν τῷ πρωτοπλάστῳ καὶ πρώτῳ καὶ πρωτογόνῳ τῶν ἀνθρώ-
πων ἀνθρώπῳ κερασθεῖσαν ἐνηνθρωπηκέναι. τοῦτο γὰρ εἶναι τὸν Χριστόν, ἄνθρωπον ἐν
ἀκράτῳ θεότητι καὶ τελείᾳ πεπληρωμένον καὶ θεὸν ἐν ἀνθρώπῳ κεχωρημένον· ἦν γὰρ
πρεπωδέστατον τὸν πρεσβύτατον τῶν αἰώνων καὶ πρῶτον τῶν ἀρχαγγέλων, ἀνθρώποις
μέλλοντα συνομιλεῖν, εἰς τὸν πρεσβύτατον καὶ πρῶτον τῶν ἀνθρώπων εἰςοικισθῆναι
61 τὸν Ἀδάμ. ταύτῃ γὰρ ἀναζωγραφῶν τὰ ἐξ ὑπαρχῆς καὶ ἀναπλάσσων αὖθις ἐκ παρ-
θένου καὶ πνεύματος τεκταίνεται τὸν αὐτόν, ἐπειδὴ καὶ κατ' ἀρχάς, οὔσης παρθένου
τῆς γῆς ἔτι καὶ ἀνηρότου, λαβὼν χοῦν τὸ λογικώτατον ἐπλάσατο ζῶον ἀπ' αὐτῆς ὁ θεὸς
ἄνευ σπορᾶς.

Jer. 18, 3. 4. V. Καί μοι ἐχέγγυος μάρτυς καὶ σαφὴς ὁ προφήτης Ἱερεμίας παρίτω, „καὶ κατέ-
βην εἰς τὸν οἶκον τοῦ κεραμέως“ λέγων „καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων.
καὶ διέπεσε τὸ ἀγγεῖον, ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ πάλιν ἐποίησεν αὐτὸ
ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ ποιῆσαι.“ ἔτι γὰρ πηλουργούμενον
τὸν Ἀδάμ, ὡς ἔστιν εἰπεῖν, καὶ τηκτὸν ὄντα καὶ ὑδαρῆ, καὶ μηδέπω φθάσαντα δίκην
62 ὀστράκου τῇ ἀφθαρσίᾳ κραταιωθῆναι καὶ παγιωθῆναι, ὕδωρ ὥςπερ καταλειβομένη καὶ
καταστάζουσα διέλυσεν αὐτὸν ἡ ἁμαρτία. διὸ δὴ πάλιν ἄνωθεν ἀναδεύων καὶ πηλο-
2 Tim. 2, 20. 21. πλαστῶν τὸν αὐτὸν εἰς τιμὴν ὁ θεός, ἐν τῇ παρθενικῇ κραταιώσας πρῶτον καὶ πήξας
μήτρᾳ καὶ συνενώσας καὶ συγκεράσας τῷ λόγῳ, ἄτηκτον καὶ ἄθραυστον ἐξήγαγεν εἰς
τὸν βίον, ἵνα μὴ πάλιν τοῖς τῆς φθορᾶς ἔξωθεν ἐπικλυσθεὶς ῥεύμασιν, τηκεδόνα γεννή-
σας διαπέσῃ, ὡς [1] καὶ ἐν τῇ περὶ τῆς ἀνευρέσεως τοῦ προβάτου φαίνεται διδάσκων ὁ
Luc. 15, 4. 6. κύριος παραβολῇ, ἔνθα φησὶ πρὸς τοὺς παρεστηκότας „τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος,
ὃς ἔχει ἑκατὸν πρόβατα, κἂν ἀπολέσῃ ἓν ἐξ αὐτῶν, οὐκ ἀφίησι τὰ ἐνενήκοντα ἐννέα
63 ἐπὶ τοῖς ὄρεσι, καὶ πορευθεὶς ἐπὶ τὸ ἀπολωλὸς ζητεῖ αὐτὸ ἕως εὕρῃ; καὶ εὑρὼν ἐπι-
τίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ, καὶ ἐλθὼν εἰς οἶκον συγκαλεῖται τοὺς φίλους καὶ τοὺς
γείτονας, λέγων· συγχάρητέ μοι, ὅτι εὑρέθη τὸ πρόβατόν μου τὸ ἀπολωλός.“

Joann. 1, 1. VI. Ἐπειδὴ γὰρ αὐτὸς ὡς ἀληθῶς ἦν τε καὶ ἔστιν, ἐν ἀρχῇ ὢν πρὸς τὸν θεὸν καὶ
θεὸς ὤν, ὁ ἀρχιστράτηγος καὶ ποιμὴν τῶν κατ' οὐρανόν, ᾧ πάντα πείθονται καὶ

1) Haec usque ad illa: (p. 64.) *εἰς τὸν βίον ἐκ τῶν οὐρανῶν ἐληλυθέναι*, summatim refert Phot. cod. 237. p. 308, b. 15—21.

ἁμαρτοῦσι τὰ λογικά, καὶ ποιμαίνων εὐτάκτως καὶ ἀριθμῶν τὰ πλήθη τῶν μακαρίων
ἀγγέλων· οὗτος γὰρ ἴσος καὶ τέλειος ἀριθμὸς ἀθανάτων ζώων κατὰ γένη καὶ κατὰ
φυλὰς διῃρημένων, συμπαραληφθέντος ἐνταῦθα τῇ ποίμνῃ καὶ τοῦ ἀνθρώπου (δεδη- 64
μιούργητο γὰρ καὶ αὐτὸς ἔξω φθορᾶς, ἵνα τὸν βασιλέα γεραίρῃ πάντων καὶ ποιητὴν
ἀντίφθογγα μελῳδῶν ταῖς τῶν ἀγγέλων ἐξ οὐρανοῦ φερομέναις βοαῖς)· ἀλλ' ἐπεὶ συν-
έβη παρεληλυθότα τὴν ἐντολὴν ὀλέθριον πτῶμα καὶ δεινὸν πεσεῖν, εἰς θάνατον ἀνα-
στοιχειωθέντα, διὰ τοῦτό φησιν ὁ κύριος ἑαυτὸν εἰς τὸν βίον ἐκ τῶν οὐρανῶν ἐληλυ-
θέναι, καταλελοιπότα τὰς τάξεις καὶ τὰ στρατόπεδα τῶν ἀγγέλων. ἀπεικονιστέον γὰρ
τὰ μὲν ὄρη τοῖς οὐρανοῖς, τὰ δὲ ἐνενήκοντα ἐννέα πρόβατα ταῖς δυνάμεσι καὶ ταῖς ἀρχαῖς
καὶ ταῖς ἐξουσίαις, ἃς καταλέλοιπεν ἀναζητῆσαι κατελθὼν τὸ ἀπολωλὸς ὁ στρατηγὸς καὶ
ποιμήν. ἔλειπε γὰρ ἄνθρωπον εἰς τὴν βίβλον ἐγκαταλεχθῆναι ταύτην ἔτι καὶ τὸν ἀριθ-
μόν, βαστάσαντος αὐτὸν τοῦ κυρίου καὶ ἀμφιεσαμένου, ἵνα δὴ μὴ πάλιν, ὡς ἔφην, 65
ταῖς τρικυμίαις καὶ ταῖς ἀπάταις τῆς ἡδονῆς περικλυσθεὶς καταποντωθῇ. ταύτῃ γὰρ
τὸν ἄνθρωπον ἀνείληφεν ὁ λόγος, ὅπως δὴ δι' αὐτοῦ καταλύσῃ τὴν ἐπ' ὀλέθρῳ γεγο-
νυῖαν καταδίκην, ἡττήσας τὸν ὄφιν. ἥρμοζε γὰρ μὴ δι' ἑτέρου νικηθῆναι τὸν πονηρόν,
ἀλλὰ δι' ἐκείνου, ὃν δὴ καὶ ἐκόμπαζεν ἀπατήσας αὐτὸν τετυραννηκέναι, ὅτι μὴ ἄλλως
τὴν ἁμαρτίαν λυθῆναι καὶ τὴν κατάκρισιν δυνατὸν ἦν, εἰ μὴ πάλιν ὁ αὐτὸς ἐκεῖνος
ἄνθρωπος, δι' ὃν εἴρητο τό „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ," ἀναπλασθεὶς ἀνέλυσε τὴν Gen. 3, 19.
ἀπόφασιν τὴν δι' αὐτὸν εἰς πάντας ἐξενηνεγμένην, ὅπως, καθὼς ἐν τῷ Ἀδὰμ πρότε- 1 Cor. 15, 22.
ρον πάντες ἀποθνήσκουσιν, οὕτω δὴ πάλιν καὶ ἐν τῷ ἀνειληφότι Χριστῷ τὸν Ἀδὰμ 66
πάντες ζωοποιηθῶσιν.

VII. *Καὶ περὶ μὲν τοῦ τὸν ἄνθρωπον ὄργανον γεγονότα καὶ ἔνδυμα τοῦ μονογενοῦς
τοῦτο ἀπεργάσασθαι*, ὅπερ καὶ αὐτὸς ὁ εἰς αὐτὸν εἰσοικισθείς, σχεδὸν ἤδη μοι δοκεῖ τέλος
ἔχειν· τὸ δὲ ὅτι μήτε ἀνισότης ἐστὶ μήτε μὴν ἀναρμοστία πάλιν ἐξ ἀρχῆς διὰ βραχέων
ἐπισκεπτέον. τὸ γὰρ αὐτοφύσει καλὸν καὶ αὐτοφύσει δίκαιον καὶ ὅσιον, οὗ τὰ ἄλλα κατὰ
μετοχὴν γίνεται καλά, τὴν σοφίαν ὁ λέγων τυγχάνειν μετὰ θεοῦ ὀρθότατα λέγει, τὸ δὲ αὖ
ἀνόσιον καὶ ἄδικον καὶ πονηρὸν τὴν ἁμαρτίαν. δύο γὰρ τὰ εἰς ἄκρον ἀλλήλοις ἐναν-
τία, ζωὴ καὶ θάνατος, ἀφθαρσία καὶ φθορά. ἰσότης μὲν γάρ ἐστιν ἡ ζωή, ἀνισότης 67
δὲ ἡ φθορά, καὶ ἁρμονία μὲν ἡ δικαιοσύνη καὶ ἡ φρόνησις, ἀναρμοστία δὲ ἡ ἀδικία
καὶ ἡ ἀφροσύνη. ὁ δὲ ἄνθρωπος, τούτων ὢν μεταξύ, οὔτε αὐτὸ τοῦτο δικαιοσύνη
οὔτε μήν ἐστιν ἀδικία· ἀλλὰ τῆς ἀφθαρσίας ἐν μέσῳ βεβηκὼς καὶ τῆς φθορᾶς, εἰς
ὁπότερον αὐτῶν νεύσας προσκλιθῇ, εἰς τὴν τοῦ κρατήσαντος μεταβάλλεσθαι λέγεται
φύσιν. ἐκκλίνας μὲν γὰρ εἰς τὴν φθορὰν φθαρτὸς γίνεται καὶ θνητός, εἰς δὲ τὴν
ἀφθαρσίαν ἄφθαρτος καὶ ἀθάνατος. μεθόριον γὰρ τοῦ τῆς ζωῆς ξύλου καὶ τοῦ
γνωστοῦ καλοῦ τε καὶ πονηροῦ τεθείς, οὗπερ ἀπεγεύσατο τῶν καρπῶν, εἰς τὴν τούτου Gen. 2, 9.
καὶ μετεβλήθη μορφήν, οὔτε τὸ τῆς ζωῆς ξύλον αὐτὸς ὢν οὔτε τὸ τῆς φθορᾶς, ἀλλὰ 68
μετοχῇ μὲν καὶ παρουσίᾳ φθορᾶς θνητὸς φανείς, προσοικειώσει δὲ καὶ ἀλοιφῇ ζωῆς
ἄφθαρτος πάλιν καὶ ἀθάνατος, ὥςπερ καὶ ὁ Παῦλος ἐδίδαξε λέγων „οὐ γὰρ ἡ φθορὰ 1 Cor. 15, 50.
κληρονομήσει τὴν ἀφθαρσίαν, οὐδὲ ὁ θάνατος τὴν ζωήν," φθορὰν μὲν καὶ θάνατον
αὐτὸ τὸ φθεῖρον ὁρισάμενος εἰκότι λόγῳ καὶ τὸ ἀποκτεῖνον, ἀλλ' οὐ τὸ φθειρόμενον
καὶ θνῆσκον, ἀφθαρσίαν δὲ καὶ ζωὴν αὐτὸ τὸ ἀπαθανατίζον καὶ ζωοποιοῦν, ἀλλ' οὐ
τὸ ἀπαθανατιζόμενον καὶ ζωοποιούμενον. ὥςτε οὔτε ἀναρμοστία καὶ ἀνισότης ὁ ἄνθρω-
πός ἐστιν οὔτε μὴν ἰσότης καὶ εὐαρμοστία· ἀλλ' ὅτε μὲν ἐδέξατο τὴν ἀναρμοστίαν, 69
ὅπερ ἐστὶ τὴν παράβασιν καὶ τὴν ἁμαρτίαν, γέγονεν ἀνάρμοστος καὶ ἀπρεπής· ὅτε δὲ
τὴν ἁρμονίαν, τουτέστι τὴν δικαιοσύνην, γέγονεν εὐάρμοστον ὄργανον καὶ εὐπρεπές,
ὅπως ὁ κύριος, ἡ ἀφθαρσία νικήσασα τὸν θάνατον, εὐήχως τὴν ἀνάστασιν μελῳδήσῃ
τῇ σαρκί, μὴ ἐάσας αὐτὴν κληρονομηθῆναι πάλιν ὑπὸ τῆς φθορᾶς. καὶ μὲν δὴ καὶ
περὶ τούτων ταῦτα ἤδη λελέχθω.

VIII. *Προγεγύμνασται γὰρ μετὰ συστάσεων οὐκ εὐκαταφρονήτων ἐκ τῆς γραφῆς
ὡς ἄρα ὁ πρωτόπλαστος οἰκείως εἰς αὐτὸν ἀναφέρεσθαι δύναται τὸν Χριστόν*, οὐκέτι τύπος
ὢν καὶ ἀπείκασμα μόνον καὶ εἰκὼν τοῦ μονογενοῦς, ἀλλὰ καὶ αὐτὸ τοῦτο σοφία γεγο-
νὼς καὶ λόγος. δίκην γὰρ ὕδατος συγκερασθεὶς ὁ ἄνθρωπος τῇ σοφίᾳ καὶ τῇ ζωῇ 70
τοῦτο γέγονεν, ὅπερ ἦν αὐτὸ τὸ εἰς αὐτὸν ἐγκατασκῆψαν ἄκρατον φῶς. ὅθεν ὁ ἀπό-
στολος εὐθυβόλως εἰς Χριστὸν ἀνηκόντισε τὰ κατὰ τὸν Ἀδάμ. οὕτως γὰρ ἂν μάλιστα
ἐκ τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς τὴν ἐκκλησίαν συμφωνήσει γεγονέναι, ἧς δὴ χάριν
καταλείψας τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς κατῆλθεν ὁ λόγος προσκολληθησόμενος τῇ
γυναικὶ καὶ ὕπνωσε τὴν ἔκστασιν τοῦ πάθους, ἑκουσίως ὑπὲρ αὐτῆς ἀποθανών, „ὅπως Ephes. 5, 27.
αὐτὸς ἑαυτῷ παραστήσῃ τὴν ἐκκλησίαν ἔνδοξον καὶ ἄμωμον, καθαρίσας τῷ λουτρῷ" 26.
πρὸς ὑποδοχὴν τοῦ νοητοῦ καὶ μακαρίου σπέρματος, ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν καὶ
καταφυτεύων ἐν τῷ βάθει τοῦ νοός, ὑποδέχεται δὲ καὶ μορφοῖ δίκην γυναικὸς ἡ ἐκκλη- 71
σία εἰς τὸ γεννᾶν τὴν ἀρετὴν καὶ ἐκτρέφειν. ταύτῃ γὰρ καὶ τό „αὐξάνεσθε καὶ πλη- Gen. 1, 28.

θύνεσθε“ πληροῦται προσηκόντως, εἰς μέγεθος καὶ κάλλος καὶ πλῆθος καθ᾽ ἡμέραν
αὐξανομένης αὐτῆς διὰ τὴν σύνερξιν καὶ κοινωνίαν τοῦ λόγου συγκαταβαίνοντος ἡμῖν
ἔτι καὶ νῦν καὶ ἐξισταμένου κατὰ τὴν ἀνάμνησιν τοῦ πάθους. οὐ γὰρ ἂν ἄλλως ἡ
ἐκκλησία συλλαβεῖν τοὺς πιστεύοντας καὶ ἀναγεννῆσαι διὰ τοῦ λουτροῦ δύναιτο τῆς
παλιγγενεσίας, ἐὰν μὴ καὶ διὰ τούτους ὁ Χριστὸς κενώσας ἑαυτόν, ἵνα χωρηθῇ κατὰ τὴν
ἀνακεφαλαίωσιν, ὡς ἔφην, τοῦ πάθους, πάλιν ἀποθάνῃ καταβὰς ἐξ οὐρανῶν καὶ προσ-
72 κολληθεὶς τῇ ἑαυτοῦ γυναικί, τῇ ἐκκλησίᾳ, παράσχοι τῆς πλευρᾶς ἀφαιρεῖσθαι τῆς
ἑαυτοῦ δύναμίν τινα, ὅπως αὐξηθῶσιν οἱ ἐν αὐτῷ οἰκοδομηθέντες ἅπαντες, οἱ γεγεν-
νημένοι διὰ τοῦ λουτροῦ, ἐκ τῶν ὀστῶν καὶ ἐκ τῆς σαρκός, τουτέστιν ἐκ τῆς ἁγιω-
σύνης αὐτοῦ καὶ ἐκ τῆς δόξης προσειληφότες. ὀστᾶ γὰρ καὶ σάρκα σοφίας ὁ λέγων
εἶναι σύνεσιν καὶ ἀρετὴν ὀρθότατα λέγει, πλευρὰν δὲ τὸ πνεῦμα τῆς ἀληθείας τὸ
παράκλητον, ἀφ᾽ οὗ λαμβάνοντες εἰς ἀφθαρσίαν ἀναγεννῶνται προσηκόντως οἱ πε-
φωτισμένοι. ἀδύνατον δὲ τοῦ πνεύματος τοῦ ἁγίου μετασχεῖν τινα καὶ μέλος κατα-
λεχθῆναι Χριστοῦ, ἐὰν μὴ πρότερον καὶ ἐπὶ τούτου συγκατελθὼν ὁ λόγος ἐκστῇ κοιμη-
θείς, ἵνα τὴν ἀνανέωσιν καὶ τὸν ἀνακαινισμὸν συνεξαναστὰς τοῦ ὕπνου τῷ ὑπὲρ αὐτοῦ
73 κεκοιμημένῳ καὶ αὐτὸς μεταλαβεῖν δυνηθῇ, πνεύματος ἀναπλησθείς. τοῦτο γὰρ κυρίως
Esai. 11, 2. ἂν ἡ πλευρὰ λέγοιτο τοῦ λόγου, τὸ πνεῦμα τῆς ἀληθείας τὸ ἑπτάμορφον κατὰ τὸν προ-
φήτην· ἀφ᾽ οὗ λαμβάνων ὁ θεὸς κατὰ τὴν ἔκστασιν τοῦ Χριστοῦ, ὅ δή ἐστι μετὰ τὴν
ἐνανθρώπησιν καὶ τὸ πάθος, τὴν βοηθὸν αὐτῷ κατασκευάζει, λέγω δὴ τὰς ἡρμοσμένας
αὐτῷ καὶ νενυμφευμένας ψυχάς. ἔστι γὰρ ὅτε πολλαχῶς αὐτὸ τὸ ἄθροισμα καὶ τὸ
στῖφος τῶν πεπιστευκότων ἐκκλησίαν οὕτως ὀνομάζουσιν αἱ γραφαί, τῶν τελειοτέρων
κατὰ προκοπὴν εἰς ἓν πρόσωπον καὶ σῶμα τὸ τῆς ἐκκλησίας ἀναγομένων. οἱ μὲν γὰρ
κρείττονες καὶ τρανότερον σπάσαντες ἤδη τὴν ἀλήθειαν, οὗτοι διὰ τὴν τελείαν κάθαρ-
74 σιν καὶ πίστιν ἀποστειρωθέντες τῶν τῆς σαρκὸς ἀτοπημάτων ἐκκλησία γίνονται καὶ βοη-
2 Cor. 11, 2. θὸς τοῦ Χριστοῦ, παρθένος ὥςπερ κατὰ τὸν ἀπόστολον αὐτῷ καθηρμοσμένοι τε καὶ
νενυμφευμένοι, ἵνα τὴν καθαρὰν τῆς διδασκαλίας ὑποδεξάμενοι καὶ γόνιμον σπορὰν
συνεργήσωσι βοηθοῦντες τῷ κηρύγματι πρὸς τὴν τῶν λοιπῶν σωτηρίαν. οἱ δὲ ἀτελεῖς
ἔτι καὶ ἀπαρχόμενοι τῶν μαθημάτων εἰς σωτηρίαν ὠδίνονται καὶ μορφοῦνται ὥςπερ
ὑπὸ μητράσι πρὸς τῶν τελειοτέρων, ἔστ᾽ ἂν ἀποκυηθέντες ἀναγεννηθῶσιν εἰς μέγεθος
καὶ κάλλος ἀρετῆς, καὶ πάλιν αὖ κατὰ προκοπὴν ἐκκλησία καὶ οὗτοι γεγονότες εἰς
75 ἑτέρων τόκον ὑπουργήσωσι τέκνων καὶ ἀνατροφήν, μήτρας δίκην ἐν τῷ δοχείῳ τῆς ψυ-
χῆς τὸ θέλημα τελεσφορήσαντες ἀλώβητον τοῦ λόγου.

IX. Ἐπισκέψασθαι γὰρ χρὴ καὶ τὰ κατὰ τὸν ἀοίδιμον Παῦλον, ὅτι ὁπότε οὐδέπω
τέλειος οὗτος ἦν ἐν Χριστῷ, γεννᾶται πρότερον καὶ γαλουχεῖται, εὐαγγελιζομένου καὶ
Act. 9, 7. ἀνακαινίζοντος αὐτὸν Ἀνανίου τῷ βαπτίσματι, καθὼς ἐν ταῖς Πράξεσιν ἡ ἱστορία πε-
ριέχει· ὅτε δὲ ἠνδρώθη καὶ ᾠκοδομήθη ἤδη εἰς τελειότητα πνευματικὴν ἀναπλασθεὶς
καὶ βοηθὸς ἀπειργάσθη καὶ νύμφη τοῦ λόγου, τὰ σπέρματα τῆς ζωῆς ὑποδεξάμενος
καὶ συλλαβών, τηνικαῦτα ὁ πρότερον χρηματίσας παιδίον ἐκκλησία γίνεται καὶ μήτηρ,
ὠδίνων καὶ αὐτὸς τοὺς δι᾽ αὐτοῦ τῷ κυρίῳ πεπιστευκότας, ἔστ᾽ ἂν καὶ ἐν τούτοις ὁ
76 Χριστὸς μορφωθεὶς ἀποτεχθῇ. „τεκνία“ γάρ „μου“ φησίν „οὓς πάλιν ὠδίνω, ἄχρις
Gal. 4, 19. οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν“ καὶ πάλιν „ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου
1 Cor. 4, 15. ἐγὼ ὑμᾶς ἐγέννησα.“ οὐκοῦν ταύτῃ συνέστηκεν εἰς τὴν ἐκκλησίαν ἀναφέρεσθαι καὶ τὸν
Χριστὸν τὸ κατὰ τὴν Εὔαν θεώρημα καὶ τὸν Ἀδάμ. τοῦτο γὰρ τὸ μέγα μυστήριον
ὡς ἀληθῶς καὶ ὑπερκόσμιον, ὃ ἐγὼ δι᾽ ἀσθένειαν καὶ ἀμβλύτητα νοὸς κατ᾽ ἀξίαν τε
καὶ μέγεθος εἰπεῖν ἀδυνατῶ. ὅμως δ᾽ οὖν ἐπιχειρητέον· λέγειν γὰρ ἑπόμενον ἂν εἴη
λοιπὸν δὴ καὶ τὰ ἑξῆς πρὸς ὑμᾶς.

X. Ὁ γάρ τοι Παῦλος εἰς ἁγιασμὸν ἐκκαλούμενος πάντας καὶ σωφροσύνην, ταύτῃ
77 τὸ κατὰ τὸν πρωτόπλαστον καὶ τὴν Εὔαν κατὰ δευτέραν ἐπαπόρησιν εἰς Χριστὸν ἀνη-
κόντισε καὶ τὴν ἐκκλησίαν πρὸς τὸ τοὺς ἀνεπιστήμονας κατασιγᾶσθαι γυμνοὺς προφά-
σεων. ἀκολασταίνοντες γὰρ διὰ τὰς ὑπερβαλλούσας ῥύσεις ἐν αὐτοῖς τῶν ἡδυπαθειῶν
παρὰ τὸν ὀρθόδοξον βιάζεσθαι τολμῶσι λογισμὸν τὰς γραφάς, ὥςπερ ἔρυμα προανα-
Gen. 2, 18. τείνοντες ἀκρασίας τό τε „εἶπεν ὁ θεός· αὐξάνεσθε καὶ πληθύνεσθε“ καὶ τό „ἕνεκεν
Gen. 2, 24. τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα,“ οὐδὲ αἰσχύνονται κατατρέ-
χοντες τοῦ πνεύματος, ἀλλ᾽ ὥςπερ ἐπὶ τούτῳ γεγονότες, ἐντυφόμενον ἔτι καὶ ἐμφω-
λεύοντα τὸν οἶστρον ἀναῤῥιπίζουσιν ἐξάπτοντες ἐρεθισμοῖς. διὸ δὴ καὶ μάλα δρι-
78 μέως τὰς ἐπικλόπους ταύτας αὐτῶν κακοφροσύνας τε καὶ πεποιημένας προφάσεις
ἐκκόπτων, ἐλθὼν εἰς τὸ διατάξασθαι πῶς δέοι προσφέρεσθαι τοὺς ἄνδρας ταῖς γυ-
Eph. 5, 26. ναιξί, ἀποφηνάμενος ὅτι οὕτως ὥςπερ καὶ ὁ Χριστὸς τῇ ἐκκλησίᾳ, „ἑαυτὸν παραδι-
δούς“ ὑπὲρ αὐτῆς, „ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι,“
ἀνέδραμεν εἰς τὴν Γένεσιν ἐπιμνησθεὶς τῶν περὶ τὸν πρωτόπλαστον ῥητῶν, ἐξομαλίζων
εἰς τὸν προκείμενον αὐτῷ καὶ αὐτὰ νοῦν τῆς ὑποθέσεως, ὅπως μὴ παράσχῃ λαβὴν τοῖς

κεφαλαίοις καταχρήσασθαι τούτοις τοὺς πρεσβεύοντας προφάσει τεκνογονίας σωμάτων
παρατριβάς.

XI. Ἐπισκέψασθε γὰρ ὅτι σωφρονεῖν, ὦ παρθένοι, κατα κράτος θέλων τοὺς πε-
πιστευκότας διὰ πολλῶν αὐτοῖς τεκμηρίων ὑπεμφαίνειν πειρᾶται τὸ ἀξίωμα τῆς ἁγνείας, 79
ὅτε μὲν „περὶ δὲ ὧν ἐγράψατέ μοι“ λέγων „καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι,“ 1 Cor. 7, 1.
αὐτόθεν δεικνὺς ἤδη περιφανῶς τὸ μὴ προσψαύειν γυναικὸς εἶναι καλόν, προτάξας
αὐτὸ καὶ προεκθέμενος ἀπολελυμένως· εἶτα τὴν ἀσθένειαν αὖθις συνιδὼν καὶ τὴν
ὑπέκκαυσιν τῶν ἀκρατωτέρων τὴν εἰς συνουσίαν, συνεχώρησε τοῖς μὴ δυναμένοις ἄρχειν
σαρκὸς χρῆσθαι ταῖς ἑαυτῶν ὁμεύνοις μᾶλλον ἢ παραπίπτοντας ἀσχημόνως ἐκχεῖσθαι
περὶ πορνείας. ἀμέλει μετὰ τὸ ἐπιτρέψαι ταῦτα εὐθέως παρήγαγε τόδε „ἵνα μὴ πει- 1 Cor. 7, 5.
ράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν,“ ὅπερ ἐστίν· εἰ μὴ δύνασθε, ὦ οὗτοι, παν-
τάπασι σωφρονεῖν διὰ τὴν ἀκρασίαν καὶ ὑγρότητα τῶν σωμάτων, ἐπιτρέψω μᾶλλον ταῖς
σφῶν αὐτῶν κοινωνεῖν γαμεταῖς, ἵνα μὴ καὶ ἐγκράτειαν ἐπαγγέλλεσθαι νομιζόμενοι 80
πειράζησθε συνεχῶς ὑπὸ τοῦ πονηροῦ, εἰς ἀλλοτρίας ἐκφλεγόμενοι.

XII. Φέρε γὰρ αὐτὰ τὰ κείμενα διαθρήσωμεν ἐπιμελέστερον, ὅτι μὴ ἀπολελυμένως
ὁ ἀπόστολος ἐπένευσε ταῦτα τοῖς πολλοῖς, ἀλλὰ προσθεὶς τὴν αἰτίαν πρότερον, δι᾿ ἣν
εἰς τοῦτο παρήχθη. ἀποφηνάμενος γοῦν „καλὸν εἶναι ἀνθρώπῳ γυναικὸς μὴ ἅπτε- 1 Cor. 7, 1.
σθαι“ εὐθέως παρήγαγε „διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω,“ 1 Cor. 7, 2.
τουτέστι διὰ τὴν ἀνάγκην τῆς πορνείας, εἰ μὴ φέρετε κολάζειν τὴν ἡδονήν, „καὶ ἑκά- Ibid. 2—6.
στη γυνὴ τὸν ἴδιον ἄνδρα ἐχέτω. τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως 81
δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾿ ὁ ἀνήρ·
ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾿ ἡ γυνή. μὴ ἀποστε-
ρεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ προσευχῇ·
καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν.
τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ᾿ ἐπιταγήν,“ τεθεωρημένως δὲ σφόδρα καὶ
τοῦτο. „κατὰ συγγνώμην“ γὰρ ἐπεσημήνατο συμβεβουλευκέναι νῦν, „οὐ κατ᾿ ἐπιταγήν,“
ἐπειδὴ τὴν μὲν ἐπιταγὴν ἐπὶ τῆς σωφροσύνης καὶ τοῦ μὴ ἅπτεσθαι γυναικὸς λαμβάνει,
τὴν δὲ συγγνώμην ἐπὶ τῶν μὴ δυναμένων, ὡς ἔφην, κολάζειν τὴν ἐπιθυμίαν. περὶ 82
μὲν οὖν μονογάμων τε καὶ μονογαμίδων, ὧν ἡ συζυγία ἕως ἔτι καὶ αὖθις, ταῦτα νο-
μοθετεῖ· περὶ δὲ τῶν ἀποβαλομένων ἤδη γαμετὰς ἀνδρῶν ἢ γυναικῶν τοὺς συζύγους
πάλιν αὐτὴν ἀκριβῶς ἐξιχνευτέον τοῦ ἀποστόλου τὴν φωνήν, ὅ τί ποτε χρησμῳδεῖ. „λέγω 1 Cor. 7, 8. 9.
δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις· καλὸν αὐτοῖς, ἐὰν οὕτω μείνωσιν, ὡς καὶ ἐγώ. εἰ
δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον γὰρ γαμῆσαι ἢ πυροῦσθαι.“ ἐπέμεινε
καὶ ἐνθάδε προκρίνων τὴν ἐγκράτειαν. ἑαυτὸν γὰρ παράδειγμα μέγιστον λαβὼν εἰς τὸ
ζηλῶσαι τοὺς ἀκροατὰς προεκαλέσατο ταύτην τὴν ἔνστασιν, κρεῖττον εἶναι διδάξας τὸν 83
ἐπὶ μιᾷ γαμετῇ συνεζευγμένον ἐφ᾿ ἑαυτῷ μένειν, ὥσπερ δὴ καὶ αὐτός. εἰ δ᾿ αὖ τοῦτο
διὰ τὴν ἐκπύρωσιν καὶ τὴν ἀκμὴν τοῦ σώματος δυςκατόρθωτον εἴη τινί, εἰς δεύτερον
κατὰ συγγνώμην παρελθεῖν τὸν οὕτως ἔχοντα συγκατατίθεται γάμον, οὐκ αὐτὸ τοῦτο
διγαμίαν ἀποφηνάμενος εἶναι καλόν, ἀλλ᾿ ἄμεινον κρίνας τῆς ἐκπυρώσεως. ὥςπερ γὰρ
εἴ τις ἐν ἡμέρᾳ τοῦ πάσχα καὶ τῆς νηστείας ἐπισφαλῶς νοσηλευομένῳ προσέφερε τρο-
φὴν καὶ ἐκέλευε διὰ τὴν ἀσθένειαν ἀπογεύεσθαι τούτων τῶν προσφερομένων, λέγων
ὡς ἄρα „τὸ μὲν ἀληθῶς, ὦ οὗτος, καλὸν ἐχρῆν ὥςπερ δὴ καὶ ἡμᾶς καὶ σὲ καρτερῶς
διαμείναντα τῶν αὐτῶν μεταλαβεῖν (ἀπηγόρευται γὰρ σήμερον διαίτης ἐπιμνησθῆναι τὸ 84
σύνολον)· ἀλλ᾿ ἐπειδὴ νόσῳ προκατασχεθεὶς ἐξησθένησας καὶ οὐ δύνῃ φέρειν, ταύτῃ δὴ
συγγνώμην νέμοντες συμβουλευόμεθα σιτίων ἐπορέξασθαί σε, ἵνα μὴ παντάπασι διὰ
τὴν νόσον οὐ δυνηθεὶς ἀντισχεῖν πρὸς τὴν ἐπιθυμίαν τῆς τροφῆς διαφθαρῇς·“ οὕτω
καὶ ὁ ἀπόστολος ἐνθάδε, πρότερον εἰπὼν ὅτι βούλοιτο πάντας ὑγιεῖς εἶναι καὶ σώφρο-
νας, ὥςπερ δὴ καὶ αὐτός, τὸ μετὰ ταῦτα τοῖς βεβαρημένοις νόσῳ τῶν παθῶν, ἵνα μὴ
πορνεύσαντες πάντῃ λυμανθῶσιν, οἰστρηλατούμενοι τῶν παιδογόνων μελῶν τοῖς γαργα-
λισμοῖς εἰς ἐπιμιξίας ὀθνείων σπερμάτων, ἐπέτρεψε τὴν διγαμίαν, μᾶλλον κρεῖσσον αὐ-
τὴν εἶναι κρίνας τοῦ πυροῦσθαι καὶ ἀσχημονεῖν.

XIII. Καὶ περὶ μὲν ἐγκρατείας καὶ γάμων καὶ σωφροσύνης καὶ κοινωνίας ἀνδρῶν, 85
καὶ ἐν τίνι τούτων τὸ ὠφέλιμον ἔστιν εἰς δικαιοσύνης κατασκευήν, σχεδὸν ἤδη μοι
τέλος ἔχει· περὶ δὲ παρθενίας εἰρῆσθαι λείπεται λοιπόν, εἴ τι καὶ περὶ ταύτης ἄρα
διαθεσμοθεῖται. οὐκοῦν καὶ τούτων πέρι διαληπτέον. ἔχει γὰρ ὧδε· „περὶ δὲ τῶν 1 Cor. 7, 25. 28.
παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ κυρίου πι-
στὸς εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν
ἀνθρώπῳ οὕτως εἶναι. δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. λέλυσαι ἀπὸ γυναικός; μὴ
ζήτει γυναῖκα. ἐὰν δὲ καὶ λάβῃς, οὐχ ἥμαρτες, καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε·
θλῖψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι.“ λίαν εὐλαβῶς τὸν 86
περὶ παρθενίας εἰςηγησάμενος λόγον καὶ μέλλων συμβουλεύειν γαμίζειν τὴν ἑαυτοῦ

παρθένον ὅτῳ φίλον, ὅπως μηδὲν τῶν εἰς ἁγιασμὸν φερομένων κατ' ἀνάγκην γένοιτο
καὶ βίαν, ἀλλὰ κατὰ πρόθεσιν αὐτεξούσιον ψυχῆς (τοῦτο γὰρ πρόσφορον θεῷ), οὐ
βούλεται ἐξ αὐθεντίας αὐτῷ ταῦτα καὶ γνώμης λελέχθαι τοῦ κυρίου, τουτέστι τὸ γα-
1 Cor. 7, 8. μίζεσθαι τὴν παρθένον. ἀμέλει φήσας „ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε"
σχεδὸν πάλιν ὑπευλαβηθεὶς ἀνετάραξε τὴν συγκατάθεσιν, κατὰ συγγνώμην ἀνθρωπίνην
87 ὑπεμφαίνων ταῦτα συμβεβουλευκέναι, ἀλλ' οὐ κατὰ θείαν. εὐθέως γοῦν μετὰ τὸ εἰπεῖν
1 Cor. 7, 28. „καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε" ἐπήγαγε τό „θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ
τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι," ὃ δή ἐστιν „ἐγὼ φειδόμενος ὑμῶν, ὦ οὗτοι, ταῦτα
συνεθέμην, ἐπειδήπερ ταῦτα οὕτω φρονεῖν εἵλεσθε, ὅπως μὴ δόξω κατὰ βίαν ἐπισπέρ-
χειν ὑμῶν εἰς τοῦτο καὶ ἀναγκάζειν τινάς. ὅμως δὲ εἰ καὶ ταύτην φίλον ὑμῖν μᾶλλον
τρέπεσθαι ἀποδυσπετήσαντας ἁγνείαν βαστάζειν, καὶ οὕτω λυσιτελεῖν ἡγοῦμαι κρατεῖν
ὑμᾶς τῶν τῆς σαρκὸς ἐρεθισμῶν, μὴ παραχρωμένους διὰ τὸ γεγαμηκέναι τοῖς ἑαυτῶν
1 Cor. 7, 29. σκεύεσιν εἰς ἀκαθαρσίαν." ἐπιφέρει γοῦν „τοῦτο δέ φημι, ἀδελφοί· ὁ καιρὸς συνε-
88 σταλμένος· λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν." εἶτα αὖ-
θις ἐπιμένων καὶ προκαλούμενος ἐπὶ τοῖς αὐτοῖς ἐπεξειργάσατο τὸν λόγον, ἰσχυρῶς
κρατύνων τὴν ἔνστασιν τῆς παρθενίας. ῥητῶς γοῦν τὰ ἑξῆς ἐπισυνάψας τοῖς προειρη-
1 Cor. 7, 32—34. μένοις ἐπεφώνησε „θέλω ὑμᾶς ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου·
ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. καὶ μεμέρισται καὶ ἡ
γυνὴ καὶ ἡ παρθένος. ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ
πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί." πᾶσι γὰρ
ἀναμφισβητήτως ἐστὶ καταφανὲς ὡς ἄρα μεριμνᾶν τὰ τοῦ κυρίου καὶ ἀρέσκειν τῷ θεῷ
89 πολλῷ ἄμεινον τοῦ μεριμνᾶν τὰ τοῦ κόσμου καὶ ἀρέσκειν τῇ γυναικί. τίς γὰρ οὕτως
ἠλίθιος καὶ πηρὸς τὰς ὄψεις, ὃς οὐκ αὐτόθεν αἴσθεται τὴν παραίνεσιν τοῦ Παύλου
1 Cor. 7, 35. τὸ πλέον ῥέπουσαν εἰς ἁγνείαν; „τοῦτο γάρ" φησί „πρὸς τὸ ὑμῶν συμφέρον λέγω,
οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον".

XIV. *Ἐπίστησον δὲ πρὸς τοῖς εἰρημένοις ὅπως καὶ θεοδώρητον εἶναι τὸ τῆς παρ-
θενίας ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τῶν ἀκρατεστέρων
ἐπὶ τοῦτο παρεληλυθότας ἀποβάλλεται συμβουλεύων γαμεῖν, ἵνα μὴ καιρῷ τῆς ἀκμῆς
σφυγμοὺς καὶ φλεγμονὰς παρεχούσης αὐτοῖς τῆς σαρκὸς ἀσχημονῶσιν οἰστρηλατούμενοι
90 τὴν ψυχήν. τί γὰρ παραδίδωσιν ἐπισκεπτέον. „εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τῆς παρθέ-
1 Cor. 7, 36. νου αὐτοῦ νομίζει" φησίν „ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γενέσθαι· ὃ θέλει
ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν," οἰκείως ἐνταῦθα προκρίνων τὸν γάμον τῆς
ἀσχημοσύνης ἐπὶ τῶν ἑλομένων μὲν παρθενεύειν, δυσανασχετούντων δὲ τὸ μετὰ ταῦτα
καὶ ἀποκαμόντων, καὶ λόγῳ μὲν δι' αἰδῶ τὴν πρὸς ἀνθρώπους αὐχούντων ἐπιμένειν,
ἔργῳ δὲ οὐδὲ μακρότερον ἐνδιατρίψαι δυναμένων τῷ εὐνουχισμῷ. τῷ μέντοι αὐτοκρα-
1 Cor. 7, 37. τορικῇ καὶ αὐθαιρέτῳ κρίνοντι προθέσει τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον καὶ μὴ
ἔχοντι ἀνάγκην, ὅπερ ἐστὶ πάθος ἐκκαλούμενον τὴν ὀσφῦν εἰς συνουσίαν (εἶναι γὰρ
91 καὶ διαφοράς, ὡς εἰκός, σωμάτων), τούτῳ διαμιλλωμένῳ καὶ διαθλοῦντι καὶ σπου-
δαίως ἐπιμένοντι τῇ ἐπαγγελίᾳ καὶ ταύτην ἄριστα διαπεραινομένῳ παρακελεύεται μέ-
1 Cor. 7, 38. νειν καὶ τηρεῖν, τῇ παρθενίᾳ τὰ πρωτεῖα νέμων. ὁ γὰρ δυνάμενος, φησί, καὶ φιλο-
τιμούμενος τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον κρεῖττον ποιεῖ, ὁ δὲ μὴ δυνάμενος,
γαμίζων δὲ νομίμως καὶ μὴ λαθροφθορῶν, καλῶς. καὶ περὶ μὲν τούτων αὐτάρκως.
λαβέτω δὲ μετὰ χεῖρας ὁ βουλόμενος τὴν πρὸς Κορινθίους ἐπιστολήν, καὶ καθ' ἕκα-
στον ὁμιλήσας τοῖς ἐγγεγραμμένοις, τότε καὶ τὰ ὑφ' ἡμῶν λεγόμενα σκεψάσθω ἀντι-
92 παραβάλλων, εἰ μὴ συμφωνίας πάσης ἔχονται καὶ ὁμοφροσύνης τῆς πρὸς αὐτά.
Ταῦτά σοι κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, κἀγὼ συνεισφέρω.*

*ΕΥΒΟΥΛ. Σφόδρα διὰ πολλῶν, ὦ Γρηγόριον, μόλις εἰς τὸ προκείμενον ἀφί-
κετο, μακρότατον ἀναμετρησαμένη καὶ περαιωθεῖσα πέλαγος λόγων.*

*ΓΡΗΓ. Ἔοικεν οὕτως ἔχειν· ἀλλ' ἴθι καὶ τὰ λοιπὰ ἐφεξῆς μνημονεύσαντες μιμη-
τικώτατα διέλθωμεν, ὧν ἔτι ἔναυλον τὴν ἀκρόασιν ἔχειν μοι δοκῶ, πρὶν ἀποπτῆναι
καὶ διαφυγεῖν· εὐεξάλειπτοι γὰρ νέων ἀκουσμάτων μνῆμαι γερόντων.*

*ΕΥΒΟΥΛ. Ἀλλὰ λέγε· τούτων γὰρ καὶ ἐληλύθαμεν ἀσμένως ἀκουσόμενοι τῶν
λόγων.*

93 *ΓΡΗΓ. Καὶ μὲν δή, καθάπερ εἶπας, μετὰ τὸ καταχθῆναι τὴν Θάλειαν δρόμοις
ἀκυμάντοις εἰς τὴν γῆν ἡ Θεοπάτρα ἐφεξῆς ὑπολαβοῦσαν ἑαυτὴν ἔφη εἰπεῖν τάδε.*

Λόγος δ'.

Θεοπάτρα.

I. *Εἰ μὲν ἐπὶ τῶν αὐτῶν, ὦ παρθένοι, διεξόδων ἡ σοφία τῆς λογικῆς ἵστατο τέχνης
καὶ τὴν αὐτὴν ἀεὶ διεπορεύετο τρίβον, οὐδεμία ἂν ὑπῆρχε μηχανὴ μὴ οὐκ ἀποκνεῖν*

ἐπιχειροῦσαν τοῖς ἤδη προηγωνισμένοις. εἰ δὲ μυρίαι λόγων ὁρμαὶ καὶ διέξοδοι, πολυ-
μερῶς καὶ πολυτρόπως ἐπεισπνέοντος ἡμᾶς τοῦ θεοῦ, τίς ἡ ἀποκλήρωσις ἐγκαλύπτε- Hebr. 1, 1.
σθαι καὶ δειλιᾶν; οὐκ ἀνυπαίτιος γὰρ ὅτῳ μέτεστι χάριτος, ἐὰν τὰ καλὰ μὴ κοσμῇ 94
λόγοις εὐχαριστηρίοις. διὸ φέρε καὶ ἡμεῖς ὑμνήσωμεν τῶν χαρισμάτων τὸ καλλιφεγ-
γὲς ἄστρον καὶ τιμαλφέστατον τοῦ Χριστοῦ, τὴν ἁγνείαν. εὐρυτάτη γὰρ ἡ τοῦ πνεύ-
ματος αὕτη καὶ ἄφθονος ὁδός. πόθεν οὖν ἀπαρξάμεναι δὴ πρέποντα δόξομεν καὶ
εἰκότα λέγειν τοῖς προκειμένοις, ἐντεῦθεν ἐπισκεπτέον.
II. Ἐγὼ γὰρ ἀκριβῶς ᾐσθῆσθαί μοι δοκῶ ὅτι τῆς εἰς τὸν παράδεισον ἀποκατα-
στάσεως καὶ τῆς εἰς τὴν ἀφθαρσίαν μεταβολῆς καὶ τῆς πρὸς θεὸν καταλλαγῆς οὐδὲν
οὕτως αἴτιον ἄλλο γέγονε καὶ σωτήριον ἀνθρώποις, τὸ στρατηγῆσαν ἡμᾶς εἰς ζωήν,
ὡς ἁγνεία. πειράσομαι γὰρ ἣ διανοοῦμαι περὶ τούτων ἐνδείξασθαι νῦν, ἵνα σαφῶς 95
τὴν δύναμιν τοῦ προειρημένου χαρίσματος ἀκούσασαι, πόσων ἡμῖν παρεκτικὸν ἀγαθῶν
ἐγενήθη γνῶτε. τὸ γοῦν ἀρχαῖον, μετὰ τὸ μετοικισθῆναι τὸν ἄνθρωπον ἐκβληθέντα
διὰ τὴν παράβασιν, τὸ ῥεῦμα τῆς φθορᾶς ἐπὶ πολὺ προσεχύθη καὶ φερόμενον σφοδρῶς
ἐξαισίοις συρμοῖς οὐ μόνον ἔξωθεν ἀτάκτως παρεφέρετο προστυγχάνον, ἀλλ᾽ ἤδη καὶ
ἐπεισχεόμενον εἴσω κατέκλυζε τὰς ψυχάς. αἱ δὲ συνεχῶς τοῦτο πάσχουσαι κωφαὶ καὶ
δυσμαθεῖς ἐφέροντο, κυβερνᾶν ἀπαλλαγεῖσαι τὰ σφέτερα σκάφη παρὰ τὸ μὴ ἔχειν
ἐφάψασθαι βεβαίου τινός. αἱ γὰρ αἰσθήσεις τῆς ψυχῆς, ὡς οἱ τούτων ἔφασαν ἐπιστή-
μονες, ἐπειδὰν τῶν ἔξωθεν προσπιπτόντων παθῶν ἡττηθεῖσαι προσδέξωνται τὰς ἐπι- 96
φορὰς τοῦ τῆς ἀνοίας ἐπικλύσαντος εἴσω κύματος, εὐθέως τῆς θείας ὁρμῆς ἐμποδίζουσι
σκοτωθεῖσαι τὸ πᾶν αὐτῆς εὐήνιον πορευθὲν κατὰ φύσιν κύτος. ὅθεν ὁ θεὸς οἰκτειρή-
σας ἡμᾶς ἔχοντας οὕτως καὶ οὔτε ἀνασχεῖν οὔτε ἀνασφῆλαι δυναμένους κατέπεμψεν ἐξ
οὐρανῶν τὸ ἄριστον καὶ εὐκλεέστατον βοήθημα, τὴν παρθενίαν, ὅπως ἐξ αὐτῆς ἀποδή-
σαντες ἡμῶν τὰ σώματα πλοίων δίκην, γαλήνην ἔχωμεν ὁρμισθέντες φθορᾶς, καθὼς
καὶ τὸ πνεῦμα τὸ ἅγιον μαρτυρεῖ. τοῦτο γὰρ ἐν ἑκατοστῷ τριακοστῷ ἕκτῳ φέρεται
ψαλμῷ, ἔνθα ὕμνον εὐχαριστήριον ἀναπέμπουσιν ἱλαρῶς αἱ ψυχαὶ τῷ θεῷ, ὁπόσαι 97
δὴ παραληφθεῖσαι καὶ κρατηθεῖσαι περιπολοῦσιν ἤδη μετὰ Χριστοῦ τὸν οὐρανόν, ὅτι
μὴ κατεσπάσθησαν ὑπὸ τῶν ὑλικῶν καὶ σωματικῶν ῥευμάτων. ἐντεῦθεν γὰρ καὶ τὸν
Φαραώ φασι τύπον ἀπενέγκασθαι κατὰ τὴν Αἴγυπτον διαβόλου, ἐπειδὴ τὰ μὲν ἄῤῥενα Exod. 1, 16.
ἀφειδῶς εἰς τὸν ποταμὸν ἐκέλευε ῥίπτεσθαι, τὰ δὲ θήλεα ζωογονεῖσθαι. καὶ γὰρ καὶ
ὁ διάβολος βασιλεύων ἀπὸ Ἀδὰμ μέχρι Μωυσέως τῆς μεγάλης Αἰγύπτου, τοῦ κόσμου, Rom. 5, 14.
τὰ μὲν ἄῤῥενα καὶ νοητὰ τῆς ψυχῆς ἔκγονα ὑπὸ τῶν ῥευστῶν παραφέρεσθαι καὶ ἀναι-
ρεῖσθαι παθῶν σπουδὴν ἔσχε, τὰ δὲ σαρκικὰ καὶ ἀναίσθητα αὐξάνεσθαί τε καὶ πλη-
θύνεσθαι γλίχεται.
III. Ἀλλὰ γὰρ ἵνα μὴ παρεκβαίνωμεν τοῦ προκειμένου, φέρε δὴ τὸν ψαλμὸν ἐξη- 98
γησώμεθα ἐν χερσὶ λαβοῦσαι τοῦτον, ὃν αἱ καθαραὶ καὶ ἀλώβητοι ψυχαὶ προσᾴδουσι
τῷ θεῷ, [1] „ἐπὶ τῶν ποταμῶν“ λέγουσαι „Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσα- Ps. 136, 1. 2.
μεν ἐν τῷ μνησθῆναι ἡμᾶς Σιών. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄρ-
γανα ἡμῶν,“ ὄργανα καλοῦσαι σαφῶς τὰ σκηνώματα ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν
πεισμάτων τῆς ἁγνείας ἐξάψασαι τοῦ ξύλου, ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν
παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας· Βαβυλὼν γάρ, τάραχος ἢ σύγχυσις ἑρμηνευο-
μένη, τὸν περίῤῥυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα
καθ᾽ ὃν ἐσμὲν ἐν τῷ κόσμῳ χρόνον, τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων ἀεί. διὸ 99
καὶ περιδεεῖς ἐσμεν καὶ κατολοφυρόμεθα καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν θεόν, ἵνα
μὴ κατολισθήσωσιν ἡμῶν ἀποῤῥηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ τῆς
ἁγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας πανταχοῦ παραλαμβάνουσι τὴν ἰτέαν
αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ ἀποτριβέν, ἐὰν ποθῇ, πᾶν ὅσον
εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς κατασβέννυσιν, ἔστ᾽ ἂν εἰς ἄρδην ἀποστειρώσῃ καὶ
ἄγονον ἀπεργάσηται πᾶσαν τὴν ἐπὶ παιδοποιίαν φοράν, ὥςπερ δὴ καὶ Ὅμηρος ἐμήνυσε, Od. κ, 510.
διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας. καὶ ἐν Ἡσαΐᾳ δὲ οἱ δίκαιοι ὡς ἰτέα λέ- Esa. 44, 4.
γονται φύειν ἐπὶ παραῤῥέον ὕδωρ. εἰς ὕψος γὰρ τότε τὸ τῆς παρθενίας ἔρνος μεγε- 100
θύνεται σφοδρῶς τε καὶ λαμπρῶς, ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν
καὶ ἐργάζεσθαι τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων. ὃν
γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπαν-
θεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ παρθενία, ἵνα δὴ καὶ ἀνακρε-
μάσαι τὸ ὄργανον ἀπ᾽ αὐτῆς ἑαυτοῦ δύνηταί τις.
IV. Εἰ οὖν οἱ ποταμοὶ τῆς Βαβυλῶνος τὰ ῥεύματα τῆς ἡδυπαθείας εἰσίν, ὡς οἱ
σοφοί φασι, τὰ συγχύνοντα καὶ ταράσσοντα τὴν ψυχήν, ἀνάγκη τὰς ἰτέας εἶναι τὴν
σωφροσύνην, ἀφ᾽ ἧς ἀνακρεμῶντες ἀνέλκομεν τὰ ὄργανα τὰ παιδογόνα ταλαντούμενα 101

1) Ἐπὶ τῶν ποταμῶν .. (p. 99) .. ὠλεσικάρπους τὰς ἰτέας. Haec apud Phot. cod. 237. p. 308, b, 22—39. contracta exstant.

παρθένον ὅτῳ φίλον, ὅπως μηδὲν τῶν εἰς ἁγιασμὸν φερομένων κατ᾽ ἀνάγκην γένοιτο
καὶ βίαν, ἀλλὰ κατὰ πρόθεσιν αὐτεξούσιον ψυχῆς (τοῦτο γὰρ πρόσφορον θεῷ), οὐ
βούλεται ἐξ αὐθεντίας αὐτῷ ταῦτα καὶ γνώμης λελέχθαι τοῦ κυρίου, τουτέστι τὸ γα-
1 Cor. 7, 8. μίζεσθαι τὴν παρθένον. ἀμέλει φήσας „ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε“
σχεδὸν πάλιν ὑπευλαβηθεὶς ἀνετάραξε τὴν συγκατάθεσιν, κατὰ συγγνώμην ἀνθρωπίνην
87 ὑπεμφαίνων ταῦτα συμβεβουλευκέναι, ἀλλ᾽ οὐ κατὰ θείαν. εὐθέως γοῦν μετὰ τὸ εἰπεῖν
1 Cor. 7, 28. „καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε“ ἐπήγαγε τό „θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ
τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι,“ ὅ δή ἐστιν „ἐγὼ φειδόμενος ὑμῶν, ὦ οὗτοι, ταῦτα
συνεθέμην, ἐπειδήπερ ταῦτα οὕτω φρονεῖν εἵλεσθε, ὅπως μὴ δόξω κατὰ βίαν ἐπισπέρ-
χειν ὑμῶν εἰς τοῦτο καὶ ἀναγκάζειν τινάς. ὅμως δὲ εἰ καὶ ταύτην φίλον ὑμῖν μᾶλλον
τρέπεσθαι ἀποδυςπετήσαντας ἁγνείαν βαστάζειν, καὶ οὕτω λυσιτελεῖν ἡγοῦμαι κρατεῖν
ὑμᾶς τῶν τῆς σαρκὸς ἐρεθισμῶν, μὴ παραχρωμένους διὰ τὸ γεγαμηκέναι τοῖς ἑαυτῶν
1 Cor. 7, 29. σκεύεσιν εἰς ἀκαθαρσίαν.“ ἐπιφέρει γοῦν „τοῦτο δέ φημι, ἀδελφοί· ὁ καιρὸς συνε-
88 σταλμένος· λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν.“ εἶτα αὖ-
θις ἐπιμένων καὶ προκαλούμενος ἐπὶ τοῖς αὐτοῖς ἐπεξειργάσατο τὸν λόγον, ἰσχυρῶς
κρατύνων τὴν ἔνστασιν τῆς παρθενίας. ῥητῶς γοῦν τὰ ἑξῆς ἐπισυνάψας τοῖς προειρη-
1 Cor. 7, 32 —34. μένοις ἐπεφώνησε „θέλω ὑμᾶς ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου·
ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. καὶ μεμέρισται καὶ ἡ
γυνὴ καὶ ἡ παρθένος. ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ
πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί.“ πᾶσι γὰρ
ἀναμφιςβητήτως ἐστὶ καταφανὲς ὡς ἄρα μεριμνᾶν τὰ τοῦ κυρίου καὶ ἀρέσκειν τῷ θεῷ
89 πολλῷ ἄμεινον τοῦ μεριμνᾶν τὰ τοῦ κόσμου καὶ ἀρέσκειν τῇ γυναικί. τίς γὰρ οὕτως
ἠλίθιος καὶ πηρὸς τὰς ὄψεις, ὃς οὐκ αὐτόθεν αἴσθεται τὴν παραίνεσιν τοῦ Παύλου
1 Cor. 7, 35. τὸ πλέον ῥέπουσαν εἰς ἁγνείαν; „τοῦτο γάρ“ φησί „πρὸς τὸ ὑμῶν συμφέρον λέγω,
οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον“.

XIV. Ἐπίστησον δὲ πρὸς τοῖς εἰρημένοις ὅπως καὶ θεοδώρητον εἶναι τὸ τῆς παρ-
θενίας ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τῶν ἀκρατεστέρων
ἐπὶ τοῦτο παρεληλυθότας ἀποβάλλεται συμβουλεύων γαμεῖν, ἵνα μὴ καιρῷ τῆς ἀκμῆς
σφυγμοὺς καὶ φλεγμονὰς παρεχούσης αὐτοῖς τῆς σαρκὸς ἀσχημονῶσιν οἰστρηλατούμενοι
90 τὴν ψυχήν. τί γὰρ παραδίδωσιν ἐπισκεπτέον. „εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τῆς παρθέ-
1 Cor. 7, 36. νου αὐτοῦ νομίζει“ φησίν „ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γενέσθαι· ὃ θέλει
ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν,“ οἰκείως ἐνταῦθα προκρίνων τὸν γάμον τῆς
ἀσχημοσύνης ἐπὶ τῶν ἑλομένων μὲν παρθενεύειν, δυςανασχετούντων δὲ τὸ μετὰ ταῦτα
καὶ ἀποκαμόντων, καὶ λόγῳ μὲν δι᾽ αἰδῶ τὴν πρὸς ἀνθρώπους αὐχούντων ἐπιμένειν,
ἔργῳ δὲ οὐδὲ μακρότερον ἐνδιατρίψαι δυναμένων τῷ εὐνουχισμῷ. τῷ μέντοι αὐτοκρα-
1 Cor. 7, 37. τορικῇ καὶ αὐθαιρέτῳ κρίνοντι προθέσει τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον καὶ μὴ
ἔχοντι ἀνάγκην, ὅπερ ἐστὶ πάθος ἐκκαλούμενον τὴν ὀσφῦν εἰς συνουσίαν (εἶναι γὰρ
91 καὶ διαφοράς, ὡς εἰκός, σωμάτων), τούτῳ διαμιλλωμένῳ καὶ διαθλοῦντι καὶ σπου-
δαίως ἐπιμένοντι τῇ ἐπαγγελίᾳ καὶ ταύτην ἄριστα διαπεραινομένῳ παρακελεύεται μέ-
1 Cor. 7, 38. νειν καὶ τηρεῖν, τῇ παρθενίᾳ τὰ πρωτεῖα νέμων. ὁ γὰρ δυνάμενος, φησί, καὶ φιλο-
τιμούμενος τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον κρεῖττον ποιεῖ, ὁ δὲ μὴ δυνάμενος,
γαμίζων δὲ νομίμως καὶ μὴ λαθροφθορῶν, καλῶς. καὶ περὶ μὲν τούτων αὐτάρκως.
λαβέτω δὲ μετὰ χειρὸς ὁ βουλόμενος τὴν πρὸς Κορινθίους ἐπιστολήν, καὶ καθ᾽ ἕκα-
στον ὁμιλήσας τοῖς ἐγγεγραμμένοις, τότε καὶ τὰ ὑφ᾽ ἡμῶν λεγόμενα σκεψάσθω ἀντι-
92 παραβάλλων, εἰ μὴ συμφωνίας πάσης ἔχονται καὶ ὁμοφροσύνης τῆς πρὸς αὐτά.

Ταῦτά σοι κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, κἀγὼ συνειςφέρω.

ΕΥΒΟΥΛ. Σφόδρα διὰ πολλῶν, ὦ Γρηγόριον, μόλις εἰς τὸ προκείμενον ἀφί-
κετο, μακρότατον ἀναμετρησαμένη καὶ περαιωθεῖσα πέλαγος λόγων.

ΓΡΗΓ. Ἔοικεν οὕτως ἔχειν· ἀλλ᾽ ἴθι καὶ τὰ λοιπὰ ἐφεξῆς μνημονεύσαντες μιμη-
τικώτατα διέλθωμεν, ὧν ἔτι ἔναυλον τὴν ἀκρόασιν ἔχειν μοι δοκῶ, πρὶν ἀποπτῆναι
καὶ διαφυγεῖν· εὐεξάλειπτοι γὰρ νέων ἀκουσμάτων μνῆμαι γερόντων.

ΕΥΒΟΥΛ. Ἀλλὰ λέγε· τούτων γὰρ καὶ ἐληλύθαμεν ἀσμένως ἀκουσόμενοι τῶν
λόγων.

93 *ΓΡΗΓ.* Καὶ μὲν δή, καθάπερ εἶπας, μετὰ τὸ καταχθῆναι τὴν Θάλειαν δρόμοις
ἀκυμάντοις εἰς τὴν γῆν ἡ Θεοπάτρα ἐφεξῆς ὑπολαβοῦσαν ἑαυτὴν ἔφη εἰπεῖν τάδε.

Λόγος δ΄.

Θεοπάτρα.

I. *Εἰ μὲν ἐπὶ τῶν αὐτῶν, ὦ παρθένοι,* διεξόδων ἡ σοφία τῆς λογικῆς ἵστατο τέχνης
καὶ τὴν αὐτὴν ἀεὶ διεπορεύετο τρίβον, οὐδεμία ἂν ὑπῆρχε μηχανὴ μὴ οὐχ ἀποκνεῖν

ἐπιχειροῦσαν τοῖς ἤδη προηγωνισμένοις. εἰ δὲ μυρίαι λόγων ὁρμαὶ καὶ διέξοδοι, πολυ-
μερῶς καὶ πολυτρόπως ἐπεισπνέοντος ἡμᾶς τοῦ θεοῦ, τίς ἡ ἀποκλήρωσις ἐγκαλύπτε- Hebr. 1,1.
σθαι καὶ δειλιᾶν; οὐκ ἀνυπαίτιος γὰρ ὅτῳ μέτεστι χάριτος, ἐὰν τὰ καλὰ μὴ κοσμῇ 94
λόγοις εὐχαριστηρίοις. διὸ φέρε καὶ ἡμεῖς ὑμνήσωμεν τῶν χαρισμάτων τὸ καλλιφεγ-
γὲς ἄστρον καὶ τιμαλφέστατον τοῦ Χριστοῦ, τὴν ἁγνείαν. εὐρυτάτη γὰρ ἡ τοῦ πνεύ-
ματος αὕτη καὶ ἄφθονος ὁδός. πόθεν οὖν ἀπαρξάμεναι δὴ πρέποντα δόξομεν καὶ
εἰκότα λέγειν τοῖς προκειμένοις, ἐντεῦθεν ἐπισκεπτέον.

II. Ἐγὼ γὰρ ἀκριβῶς ᾐσθῆσθαί μοι δοκῶ ὅτι τῆς εἰς τὸν παράδεισον ἀποκατα-
στάσεως καὶ τῆς εἰς τὴν ἀφθαρσίαν μεταβολῆς καὶ τῆς πρὸς θεὸν καταλλαγῆς οὐδὲν
οὕτως αἴτιον ἄλλο γέγονε καὶ σωτήριον ἀνθρώποις, τὸ στρατηγῆσαν ἡμᾶς εἰς ζωήν,
ὡς ἁγνεία. πειράσομαι γὰρ ᾗ διανοοῦμαι περὶ τούτων ἐνδείξασθαι νῦν, ἵνα σαφῶς 95
τὴν δύναμιν τοῦ προειρημένου χαρίσματος ἀκούσασαι, πόσων ἡμῖν παρεκτικὸν ἀγαθῶν
ἐγενήθη γνῶτε. τὸ γοῦν ἀρχαῖον, μετὰ τὸ μετοικισθῆναι τὸν ἄνθρωπον ἐκβληθέντα
διὰ τὴν παράβασιν, τὸ ῥεῦμα τῆς φθορᾶς ἐπὶ πολὺ προσεχύθη καὶ φερόμενον σφοδρῶς
ἐξαισίοις συρμοῖς οὐ μόνον ἔξωθεν ἀτάκτως παρεφέρετο προστυγχάνον, ἀλλ᾽ ἤδη καὶ
ἐπεισχεόμενον εἴσω κατέκλυζε τὰς ψυχάς. αἱ δὲ συνεχῶς τοῦτο πάσχουσαι κωφαὶ καὶ
δυσμαθεῖς ἐφέροντο, κυβερνᾶν ἀπαλλαγεῖσαι τὰ σφέτερα σκάφη παρὰ τὸ μὴ ἔχειν
ἐφάψασθαι βεβαίου τινός. αἱ γὰρ αἰσθήσεις τῆς ψυχῆς, ὡς οἱ τούτων ἔφασαν ἐπιστή-
μονες, ἐπειδὰν τῶν ἔξωθεν προσπιπτόντων παθῶν ἡττηθεῖσαι προσδέξωνται τὰς ἐπι- 96
φορὰς τοῦ τῆς ἀνοίας ἐπικλύσαντος εἴσω κύματος, εὐθέως τῆς θείας ὁρμῆς ἐμποδίζουσι
σκοτωθεῖσαι τὸ πᾶν αὐτῆς εὐήνιον πορευθὲν κατὰ φύσιν κύτος. ὅθεν ὁ θεὸς οἰκτειρή-
σας ἡμᾶς ἔχοντας οὕτως καὶ οὔτε ἀνασχεῖν οὔτε ἀνασφῆλαι δυναμένους κατέπεμψεν ἐξ
οὐρανῶν τὸ ἄριστον καὶ εὐκλεέστατον βοήθημα, τὴν παρθενίαν, ὅπως ἐξ αὐτῆς ἀποδή-
σαντες ἡμῶν τὰ σώματα πλοίων δίκην, γαλήνην ἔχωμεν ὁρμισθέντες φθορᾶς, καθὼς
καὶ τὸ πνεῦμα τὸ ἅγιον μαρτυρεῖ. τοῦτο γὰρ ἐν ἑκατοστῷ τριακοστῷ ἕκτῳ φέρεται
ψαλμῷ, ἔνθα ὕμνον εὐχαριστήριον ἀναπέμπουσιν ἱλαρῶς αἱ ψυχαὶ τῷ θεῷ, ὁπόσαι 97
δὴ παραληφθεῖσαι καὶ κρατηθεῖσαι περιπολοῦσιν ἤδη μετὰ Χριστοῦ τὸν οὐρανόν, ὅτι
μὴ κατεσπάσθησαν ὑπὸ τῶν ὑλικῶν καὶ σωματικῶν ῥευμάτων. ἐντεῦθεν γὰρ καὶ τὸν
Φαραώ φασι τύπον ἀπενέγκασθαι κατὰ τὴν Αἴγυπτον διαβόλου, ἐπειδὴ τὰ μὲν ἄῤῥενα Exod. 1,16.
ἀφειδῶς εἰς τὸν ποταμὸν ἐκέλευε ῥίπτεσθαι, τὰ δὲ θήλεα ζωογονεῖσθαι. καὶ γὰρ καὶ
ὁ διάβολος βασιλεύων ἀπὸ Ἀδὰμ μέχρι Μωυσέως τῆς μεγάλης Αἰγύπτου, τοῦ κόσμου, Rom. 5,14.
τὰ μὲν ἄῤῥενα καὶ νοητὰ τῆς ψυχῆς ἔκγονα ὑπὸ τῶν ῥευστῶν παραφέρεσθαι καὶ ἀναι-
ρεῖσθαι παθῶν σπουδὴν ἔσχε, τὰ δὲ σαρκικὰ καὶ ἀναίσθητα αὐξάνεσθαί τε καὶ πλη-
θύνεσθαι γλίχεται.

III. Ἀλλὰ γὰρ ἵνα μὴ παρεκβαίνωμεν τοῦ προκειμένου, φέρε δὴ τὸν ψαλμὸν ἐξη- 98
γησώμεθα ἐν χερσὶ λαβοῦσαι τοῦτον, ὃν αἱ καθαραὶ καὶ ἀλώβητοι ψυχαὶ προσᾴδουσι
τῷ θεῷ, [1] „ἐπὶ τῶν ποταμῶν“ λέγουσαι „Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσα- Ps. 136,1.2.
μεν ἐν τῷ μνησθῆναι ἡμᾶς Σιών. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄρ-
γανα ἡμῶν,“ ὄργανα καλοῦσαι σαφῶς τὰ σκηνώματα ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν
πεισμάτων τῆς ἁγνείας ἐξάψασαι τοῦ ξύλου, ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν
παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας· Βαβυλὼν γάρ, τάραχος ἢ σύγχυσις ἑρμηνευο-
μένη, τὸν περίῤῥυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα
καθ᾽ ὃν ἐσμὲν ἐν τῷ κόσμῳ χρόνον, τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων ἀεί. διὸ 99
καὶ περιδεεῖς ἐσμεν καὶ κατολοφυρόμεθα καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν θεόν, ἵνα
μὴ κατολισθήσωσιν ἡμῶν ἀποῤῥηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ τῆς
ἁγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας πανταχοῦ παραλαμβάνουσι τὴν ἰτέαν
αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ ἀποτριβέν, ἐὰν ποθῇ, πᾶν ὅσον
εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς κατασβέννυσιν, ἔστ᾽ ἂν εἰς ἄρδην ἀποστειρώσῃ καὶ
ἄγονον ἀπεργάσηται πᾶσαν τὴν ἐπὶ παιδοποιίαν φοράν, ὥσπερ δὴ καὶ Ὅμηρος ἐμήνυσε, Od. κ, 510.
διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας. καὶ ἐν Ἡσαΐᾳ δὲ οἱ δίκαιοι ὡς ἰτέα λέ- Esa. 44,4.
γονται φύειν ἐπὶ παραῤῥέον ὕδωρ. εἰς ὕψος γὰρ τότε τὸ τῆς παρθενίας ἔρνος μεγε- 100
θύνεται σφοδρῶς τε καὶ λαμπρῶς, ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος [illegible] αὐτὴν
καὶ ἐργάζεσθαι τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ [illegible]. ὃν
γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπαν-
θεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ παρθενία, ἵνα δὴ καὶ ἀνακρε-
μάσαι τὸ ὄργανον ἀπ᾽ αὐτῆς ἑαυτοῦ δύνηταί τις.

IV. Εἰ οὖν οἱ ποταμοὶ τῆς Βαβυλῶνος τὰ ῥεύματα τῆς [illegible] εἰσίν, ὡς οἱ
σοφοί φασι, τὰ συγχύνοντα καὶ ταράσσοντα τὴν ψυχήν, [illegible] ἰτέας εἶναι τὴν
σωφροσύνην, ἀφ᾽ ἧς ἀνακρεμῶντες ἀνέλκομεν τὰ ὄργανα [illegible] ταλαντούμενα 101

1) Ἐπὶ τῶν ποταμῶν [illegible] (p. 99) .. ὠλεσικάρπους τὰς ἰτέας. [illegible] Phot. cod. 227. p. 306, b, 22—39. contracta [illegible]

κάτω καὶ βρίθοντα τὸν νοῦν, ἵνα μὴ κατενεχθέντα περὶ τοὺς ὀχετοὺς τῆς ἀκρασίας
σκωλήκων δίκην εἰς τοὺς ἰχῶρας ἐγχρίμπτωνται καὶ τὰς σηπεδόνας. χρησιμωτάτην γὰρ
καὶ ἐπίκουρον εἰς ἀφθαρσίας κτῆσιν τὴν παρθενίαν ὁ θεὸς ἐδωρήσατο, σύμμαχον ἀπο-
στείλας τοῖς ὀριγνωμένοις καὶ ποθοῦσι, καθὼς ὁ ψαλμὸς ὑφηγεῖται, τὴν Σιών, ὃ δή
ἐστι τὴν ἔκλαμπρον ἀγάπην καὶ τὴν περὶ αὐτῆς ἐντολήν, ἐπειδήπερ ἡ Σιὼν ἐντολὴ σκο-
πιᾶς ἑρμηνεύεται. ὧδε γὰρ ἀναλογισώμεθα πάλιν καὶ τὰ ἑξῆς. τί δή ποτε ἐπηρωτῆ-
σθαι πρὸς τῶν αἰχμαλωτιστῶν ὁμολογοῦσιν αἱ ψυχαὶ τὴν ᾠδὴν ἐπὶ γῆς ἀλλοτρίας ᾆσαι
102 κυρίου; ἢ πάντως ὅτι τὸ εὐαγγέλιον ἱερὰν ᾠδὴν εἶναι καὶ ἀπόρρητον διδάσκουσιν, ἣν
οἱ ἁμαρτάνοντες καὶ μοιχώμενοι τῷ πονηρῷ προςᾴδουσιν; ἐξορχοῦνται γὰρ τὰς ἐντο-
Matth. 7, 6. λάς, τὸ θέλημα τῶν πνευμάτων τελοῦντες τῆς πονηρίας, καὶ ῥίπτουσι τὰ ἅγια τοῖς
κυσὶ καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ὃν τρόπον κἀκεῖνοι περὶ ὧν ὁ προ-
Amos 4, 5. φήτης δυςχεραίνων φησὶ „καὶ ἀνέγνωσαν ἔξω νόμον.“ οὐ γὰρ ὅτι τῶν πυλῶν ἔξω τῆς
Ἱερουσαλὴμ ἢ τῶν οἰκιῶν ἀνεγίνωσκον ἐξιόντες οἱ Ἰουδαῖοι τὸν νόμον, διὰ τοῦτο δὴ
καὶ ὁ προφήτης ἰσχυρῶς αὐτῶν κατηγορεῖ καὶ ὑπευθύνους ἐγκλήματι βοᾷ γεγονέναι,
ἀλλ' ὅτι παρερχόμενοι τὰς ἐντολὰς καὶ ἀσεβοῦντες εἰς τὸν θεὸν ἐπιμεμορφασμένως
103 μὲν ἀνεγίνωσκον δῆθεν ὡς εὐσεβεῖς τὰ προστάγματα, κατὰ ψυχὴν δὲ οὐκ ἐδέχοντο
μετὰ πίστεως ἴσχοντες, ἀλλ' ἀπέπτυον ἔργοις ἀρνούμενοι. ἐντεῦθεν γὰρ τὴν ᾠδὴν ἐπὶ
τῆς ἀλλοτρίας ᾄδουσι κυρίου, ταπεινότερον περιέλκοντες καὶ ἐξηγούμενοι τὸν νόμον,
1 Petr. 2, 10. βασιλείαν αἰσθητὴν προςδοκῶντες, καὶ ἐπὶ γῆς ταύτης τῆς ἀλλοτρίας, ἣν παρελεύσεσθαι
λόγος, τιθέμενοι τὰς ἐλπίδας, ἔνθα οἱ αἰχμαλωτισταὶ δελεάζουσιν ἡδοναῖς λοχῶντες
πρὸς ἀπάτην.

V. Ἐοίκασι δὲ καὶ οἱ προςᾴδοντες τὸ εὐαγγέλιον ἄφροσιν ἐπὶ γῆς ἀλλοτρίας μελῳ-
δεῖν τὴν ᾠδὴν κυρίου, ἧς μή ἐστιν ὁ Χριστὸς γεωργός. ἀλλ' αἱ τὸ καθαρώτατον καὶ
φαιδρὸν καὶ ἀμιγὲς καὶ εὐλαβὲς καὶ εὐπρεπὲς τῆς παρθενίας ὑποδῦσαι καὶ ἀνα-
104 λάμψασαι κάλλος, καὶ στεῖραι καὶ ἄγονοι τῶν ῥευστῶν καὶ ἀλγεινῶν εὑρεθεῖσαι πα-
θῶν, ἐπὶ γῆς ἀλλοτρίας οὐ μελῳδοῦσι τὴν ᾠδήν, ὅτι μὴ φέρονται ταῖς ἐλπίσι τῇδε,
μηδὲ προστετήκασι θνητῶν σωμάτων τρυφαῖς, μηδὲ ταπεινῶς κατασκέπτονται τὸν νοῦν
τῶν ἐντολῶν, ἀλλ' εὖ καὶ γενναίως μετὰ φρονήματος ὑψηλοῦ τὰς ἐπαγγελίας ἄνω
περιαθροῦσι, τὸν οὐράνιον διψῶσαι καὶ σύμφυτον τόπον. ὅθεν ἀγάμενος αὐτῶν ὁ
θεὸς τὰ φρονήματα μεθ' ὁρκωμοσίας ἐξαιρέτους ἐπαγγέλλεται διδόναι τιμάς, ἐν ἀρχῇ
Ps. 136, 5. 6. τῆς εὐφροσύνης προανατάσσων καὶ καθιδρύων. λέγει γὰρ ὧδε „ἐὰν ἐπιλάθωμαί σου,
105 Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου,
ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφρο-
σύνης μου,“ Ἱερουσαλὴμ τὰς ἀμιάντους αὐτὰς δὴ ταύτας, ὡς ἔφην, καὶ ἀπήμονας
ψυχὰς εἶναι λέγων, αἵτινες ἄτρυγον τὸ τῆς παρθενίας αὐστηρῶς ἀμολύντοις χείλεσι
2 Cor. 2, 2. σπασάμεναι πόμα, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν καθαρμόζονται παραστῆσαι Χριστῷ
Sap. 4, 2. κατ' οὐρανόν, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασαι. ταύτῃ γὰρ καὶ Ἡσαΐας ὁ
Esa. 60, 1. προφήτης παρεγγυᾷ „φωτίζου, φωτίζου“ λέγων „Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς,
Philip. 3, 11. καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκε“. ταῦτα δὲ τὰ ἐπαγγέλματα μετὰ τὴν ἐξανά-
106 στασιν τελεσιουργηθήσεσθαι δῆλον καὶ παντί. οὐ γὰρ περὶ τῆς πολυθρυλλήτου κατὰ
Ἰουδαίαν πολίχνης τὸ πνεῦμα τὸ ἅγιον χρησμῳδεῖ, ἀλλὰ περὶ τῆς οὐρανουπόλεως ὡς
ἀληθῶς ἐκείνης καὶ μακαρίας Ἱερουσαλήμ, ἣν δή φησιν αὐτὴν εἶναι τὸ ἄθροισμα
τῶν ψυχῶν, ἃς προανατάξασθαι πρώτας ἐν ἀρχῇ τῆς εὐφροσύνης τῶν καινῶν αἰώνων
προφανῶς ὁ θεὸς ἐπαγγέλλεται, εἰς καθαρὰν οἴκησιν ἀδύτων φώτων τῷ λευκοτάτῳ
τῆς παρθενίας ἐστολισμένας κόσμῳ κατοικίζων, ὅτι μὴ ἐμνημόνευσαν τὸν κόσμον
ἀποδύσασθαι τὸν νυμφικόν, τουτέστι χαυνῶσαι τὸν λογισμὸν φαντασίαις ἐκτόποις.

Jer. 2, 32. VI. [1] Ἀμέλει τὸ μὴ ἐπιλαθέσθαι νύμφην τὸν κόσμον, μηδὲ παρθένον τὴν στη-
θοδεσμίδα αὐτῆς, λεγόμενον ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι καὶ χαλάσαι τὸν δεσμὸν
107 τῆς σωφροσύνης ἀπάταις δηλοῖ καὶ περισπασμοῖς. στήθη γὰρ αἱ φρένες εἰκότι λόγῳ
καὶ ὁ νοῦς ἡμῶν εἶναι νομίζεται· ἡ δὲ στηθοδεσμίς, ἡ συνδοῦσα ζώνη καὶ συσφίγ-
γουσα τὴν πρόθεσιν τῆς ψυχῆς εἰς ἁγνείαν, ἐστὶν ἡ πρὸς θεὸν ἀγάπη, ἣν ἐμοί τε
καὶ ὑμῖν ὁ στρατηγὸς ἡμῶν καὶ ποιμὴν Ἰησοῦς καὶ ἄρχων καὶ νυμφίος, ὦ καλλιπάρ-
θενοι, ἄῤῥηκτον καὶ ἐσφραγισμένην μέχρι τέλους τηρῆσαι παράσχοι. τούτου γὰρ τοῦ
κτήματος τοῖς ἀνθρώποις ἄμεινον βοήθημα οὐκ ἄν τις ῥᾳδίως ἕτερον λάβοι ἀρέσκον
θεῷ καὶ προςφιλές. διὸ ἐγὼ χρῆναί φημι τὴν ἁγνείαν ἅπαντας τιμᾶν καὶ διαφερόν-
τως ἀσκεῖν τε καὶ ἐγκωμιάζειν.

108 Αὗταί σοι καὶ παρ' ἡμῶν αἱ ἀπαρχαὶ τῶν λόγων ἀνακείσθωσαν, ὦ Ἀρετή, τὰ
μὲν παιδιᾶς, τὰ δὲ καὶ σπουδῆς χάριν.

1) Ἀμέλει .. (p. 107) .. ἡ πρὸς Χριστὸν ἀγάπη. Haec fere ad verbum apud Phot. cod. 237. p. 308, b. 40. — p. 309, a. 5.

Ἀλλὰ δέχομαι τὸ δῶρον, ἔφη φάναι τὴν Ἀρετήν, καὶ κελεύω μετὰ σὲ τὴν Θάλ-
λουσαν λέγειν· δεῖ γάρ με παρὰ μιᾶς ἑκάστης ὑμῶν ἀποδέξασθαι τὸν λόγον.

Λόγος ε'.

Θάλλουσα.

I. Τὴν οὖν Θάλλουσαν βραχὺ ἐπισχοῦσαν καὶ πρὸς ἑαυτήν τι σκεψαμένην εἰπεῖν
ἔφη, Ἀλλ', ὦ Ἀρετή, συλλήπτριαν ἀξιῶ παραστῆναί σε καὶ τὰ νῦν, ὅπως πρῶτον
μὲν σοῦ, καὶ τῶν παρόντων δὲ φανῶμεν ἄξια λέγειν. τὸ γὰρ μέγιστον καὶ ἐπιφα-
νέστατον ἀνάθημα καὶ δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πάρεστιν
ἀνθρώποις θεῷ, τὸν ἆθλον τῆς παρθενίας εἶναι πέπεισμαι διαρκῶς, ἀπὸ τῶν ἱερῶν 109
ᾐσθημένη γραμμάτων. οὐ γὰρ ἂν πολλῶν πολλὰ κατ' εὐχὰς ἐν τῷ νόμῳ καλὰ κα-
τεργασαμένων μόνοι μεγάλην εὐχὴν ἐλέγοντο πληροῦν οἱ σφᾶς αὐτοὺς αὐθαιρέτῳ
βουλῇ προσενέγκασθαι βουλόμενοι. ἔχει γὰρ τὸ ῥητὸν οὕτως „καὶ ἐλάλησε κύριος
πρὸς Μωυσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ Num. 6, 1.
γυνή, ὃς μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν κυρίῳ.“ εὔχεται χρυσᾶ καὶ
ἀργυρᾶ εἰς τὸν νεὼν σκεύη προσκομίσας ἀναθεῖναί τις, ἕτερος ἀναθεῖναι τὴν δεκάτην
τῶν καρπῶν, ἄλλος τῆς οὐσίας· ἕτερος τὰ κράτιστα τῶν ποιμνίων, ἄλλος τὴν ὕπαρ-
ξιν καθιεροῖ, καὶ οὐδέπω μεγάλην εὐχὴν εὔξασθαι δύναται τῷ κυρίῳ, ἀλλ' ἐκεῖνος ὁ 110
ἑαυτὸν ἀναθεὶς τῷ θεῷ ὁλοτελῶς.

II. Ἐπιχειρητέον γὰρ ἀληθεῖ λόγῳ πρὸς ὑμᾶς, ὦ παρθένοι, τὴν κατὰ τὸ πνεῦμα
διάνοιαν δηλῶσαι τῆς γραφῆς. ὁ γὰρ κατά τι μόριον φυλασσόμενος καὶ προσέχων,
κατά τι δὲ περισπώμενος καὶ πλημμελῶν ὅλος οὐκ ἀνάκειται θεῷ· χρὴν γὰρ τὸν
τέλειον πάντα ἀναθεῖναι καὶ τὰ τῆς ψυχῆς καὶ τὰ τῆς σαρκός, ὅπως ἄρτιος εἴη καὶ
μὴ ἐλλιπής. ταύτῃ δὴ καὶ τῷ Ἀβραὰμ ὁ θεὸς ὑφηγεῖται [1] „λάβε μοι δάμαλιν τριε- Gen. 15, 9.
τίζουσαν“ λέγων „καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα καὶ περι-
στεράν,“ ὅ ἐστιν εὐφήμως (ἐπίστησον γὰρ ὅτι περὶ τούτων κἀκεῖνο παρεγγυᾷ)· προσ- 111
ένεγκέ μοι καὶ φύλαξον ἄζυγα καὶ ἀκάκωτόν σου τὴν ψυχὴν δαμάλεως δίκην, καὶ τὴν σάρκα
καὶ τὸν λογισμόν, τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα καὶ κρημνώδη περιπολεῖ, τὸν δὲ
ὡς κριόν, ἵνα μηδαμῶς ἀποσκιρτήσας ἐκπέσῃ καὶ ἐξολισθήσῃ τῆς ἀληθείας· οὕτω γὰρ
ἐντελὴς ἔσῃ καὶ ἀνεπίληπτος, ὦ Ἀβραάμ, ἀναθεὶς ἐμοὶ καὶ τὴν ψυχὴν καὶ τὴν αἴσθησιν
καὶ τὸν νοῦν· ἃ συμβολικῶς δάμαλιν ἔφη καὶ αἶγα καὶ κριὸν τριετίζοντα, οἱονεὶ τὴν
γνῶσιν ἀκακέμφατον τῆς τριάδος ἐπανῃρημένα. τάχα δὲ καὶ τὴν πρώτην καὶ τὴν μέσην
καὶ τὴν τελευταίαν τοῦ βίου τῆς ἡλικίας ἡμῶν αἰνίσσεται τρίβον, βουλόμενος, ὡς ἔνι
μάλιστα, καὶ τὸν τῶν παίδων καὶ τὸν τῶν ἀνδρῶν καὶ τὸν τῶν γεραιτέρων χρόνον 112
σωφρόνως βιώσαντας αὐτῷ προσενέγκασθαι· καθ' ὃν τρόπον καὶ ὁ κύριος ἡμῶν ἐν Luc. 12, 35—38.
εὐαγγελίοις παρακελεύεται Ἰησοῦς Χριστός, ὧδε νομοθετῶν „οἱ λύχνοι ὑμῶν μὴ
σβεννύσθωσαν, καὶ αἱ ὀσφύες ὑμῶν μὴ λυέσθωσαν. διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι
γίνεσθε ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων,
ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ εὐθέως ἀνοίξωσι. μακάριοί ἐστε, ὅτι ἀνακλινεῖ
ὑμᾶς καὶ παρελθὼν διακονήσει· κἂν τῇ δευτέρᾳ, κἂν τῇ τρίτῃ φυλακῇ, μακάριοί
ἐστε.“ ἐπισκέψασθε γὰρ ὅτι τρεῖς ὑποθέμενος φυλακὰς νυκτός, ἑσπερινὴν καὶ δευτέ-
ραν καὶ τρίτην, καὶ τρεῖς ἑαυτοῦ παρουσίας, ὦ παρθένοι, τὰς τρεῖς ἡμῶν τῆς ἡλι- 113
κίας ᾐνίξατο μεταβολάς, τὴν μειρακιώδη καὶ τὴν πρόσηβον καὶ τὴν πρεσβυτικήν, ἵνα
κἂν τὴν πρώτην ἄγοντας ἡλικίαν, τουτέστι παῖδας ὄντας, ἐὰν ἔλθῃ παραληψόμενος
τοῦ κόσμου, ἑτοίμους καταλάβῃ καὶ καθαρούς, μηδὲν ἐπιτετηδευκότας σκαιόν, κἂν
τὴν δευτέραν ὁμοίως, κἂν τὴν τρίτην. ἑσπερινὴ γὰρ φυλακὴ ὁ καιρός ἐστι τῆς ἀκμῆς
τοῦ ἀνθρώπου καὶ ἡ νεότης, καθ' ἣν ἄρχεται ταράσσεσθαι τὸ ἡγεμονικόν, ἐπιθολού-
μενον ταῖς ἐξαλλαγαῖς τοῦ βίου, ἡβώσης αὐτοῦ τῆς σαρκὸς ἤδη καὶ τρεπομένης εἰς
πάθη. δευτέρα δέ, ὁπηνίκα λοιπὸν εἰς ἄνδρα τέλειον ἐλάσας ἄρχεται στάσιν καὶ
βεβαιότητα τῶν θορύβων ὁ νοῦς προσλαμβάνειν καὶ τῆς οἰήσεως. τρίτη δέ, ὅτε αἱ 114
πλεῖσται φαντασίαι φθίνουσι τῶν ἐπιθυμιῶν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς καὶ
εἰς γῆρας προκοπτούσης.

III. Διὸ προσήκει ἄσβεστον ἐν τῇ καρδίᾳ τῆς πίστεως ἐξάψαντας τὸν λύχνον, καὶ τὴν
ὀσφῦν ἀναζωσαμένους τῇ σωφροσύνῃ, ἐγρηγορέναι καὶ προσδοκᾶν ἀεὶ τὸν κύριον, ἵνα,
κἂν ἐν τῇ πρώτῃ ἡλικίᾳ παραλαβεῖν ἡμῶν τινας βουληθῇ, κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ
τρίτῃ, ἐλθὼν καὶ εὑρὼν ἑτοιμοτάτους καὶ ἃ προσέταξεν ἐργαζομένους, ἀνακλίνῃ εἰς
Ἀβραὰμ κόλπους καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Ἱερεμίας δὲ „ἀγαθόν“ φησίν „ἀνδρί, ὅταν Thren. 3, 27.

1) *Λάβε μοι* .. (p. 114) .. *προσδοκᾶν ἀεὶ τὸν κύριον.* Haec, paucis omissis, transscripta apud Phot. cod. 237. p. 309, a. 6. — p. 309, b. 2.

Jer. 17, 3. ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ καὶ ἀπὸ τοῦ κυρίου μὴ ἀποστῇ ἡ ψυχὴ αὐτοῦ.“ ἀγαθὸν
115 γὰρ ἐκ παίδων ὡς ἀληθῶς ὑποθέντα τὸν αὐχένα τῇ θείᾳ προσοχῇ μὴ ἀποσείσασθαι
μέχρι γήρως τὸν ἐπιβάτην καθαραῖς φρεσὶν ἐποχούμενον, ἀεὶ τὸν λογισμὸν εἰς τὸ
χεῖρον καθέλκοντος τοῦ πονηροῦ. τίς γὰρ οὐ τὰς δι' ὀμμάτων, τίς δ' οὐ τὰς δι'
ὤτων, τίς δ' οὐ τὰς διὰ γεύσεως, ὀσφρήσεώς τε καὶ ἁφῆς ἡδονὰς καὶ τέρψεις ἀπο-
δέχεται, τὴν ἡνίοχον μὴ φέρων σωφροσύνην, εἴργουσαν καὶ καθαιμάττουσαν τὸν
ἵππον τῆς κακίας; ἕτερος μὲν οὖν εἰς ἕτερα ἐπιβλέψας ἄλλα δοξάσει, ἡμεῖς δὲ ἀνα-
τιθέναι λέγομεν ἑαυτὸν τελείως θεῷ, ὃς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλο-
τιμεῖται φυλάττειν, παρθενίαν ἀσκῶν. περισπουδάστους γὰρ καὶ μεγάλας ἐλπίδων
116 δωρεὰς τοῖς ἐφιεμένοις αὐτῆς ταχέως φέρει, τὰ λυμαντήρια τῆς ψυχῆς ἀπομαραί-
νουσα πάθη καὶ ὑπεκκαύματα. φέρε γὰρ εἰσηγήσωμαι πῶς ἀνακείμεθα τῷ κυρίῳ.

Num. 6, 2. IV. Τὸ γοῦν „μεγάλως εὔξασθαι εὐχήν,“ ἐν τοῖς Ἀριθμοῖς νομοθετούμενον,
τοῦτο παρίστησιν, ὅπερ ἐπὶ πλέον ἐγὼ διηγησαμένη ἀποφαίνω, μεγάλην εὐχὴν εἶναι
παρὰ πάσας εὐχὰς ἀποδεικνύουσα τὴν ἁγνείαν. τότε γὰρ ἀνάκειμαι προφανῶς πᾶσα
τῷ κυρίῳ, ὁπότε μὴ μόνον τὴν σάρκα συνουσίας ἀνέπαφον, ἀλλὰ καὶ τῶν λοιπῶν
1 Cor. 7, 34. ἀτοπημάτων ἄσπιλον τηρεῖν ἀγωνίζομαι. „ἡ γὰρ ἄγαμος“ φησί „μεριμνᾷ τὰ τοῦ
κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ,“ οὐ μόνον ἵνα μὴ χωλὴν τῆς ἀρετῆς κατά τι μόριον
ἀπενέγκηται τὴν δόξαν, ἀλλ' ἄμφω, κατὰ τὸν ἀπόστολον, καὶ ἐν τῷ σώματι καὶ ἐν
117 τῷ πνεύματι ἁγιάζηται, ἀναθεῖσα τὰ μέλη κυρίῳ. τί γάρ ἐστι τὸ ἀναθεῖναι ἑαυ-
τὸν τελείως κυρίῳ, λεκτέον. ἐὰν ἐπὶ τῶνδε μὲν ἀνοίξω τὸ στόμα, ἐπὶ τῶνδε
δὲ κατακλείσω, οἷον ἀνοίξω μὲν περὶ τὰς ἐξηγήσεις τῶν γραφῶν εἰς τὸ ὀρθοδό-
ξως ὑμνῆσαι καὶ μεγαλοπρεπῶς κατὰ δύναμιν τὸν θεόν, κατακλείσω δὲ θύραν
Ps. 140, 3. αὐτῷ θεμένη καὶ φυλακὴν τοῦ μάταια μὴ λαλεῖν, ἁγνεύει μου τὸ στόμα καὶ ἀνάκει-
Ps. 64, 2. ται τῷ θεῷ, ἡ γλῶσσά μου κάλαμος γέγονεν, ὄργανον σοφίας· γράφει γὰρ δι' αὐ-
τῆς ἀριδήλοις γράμμασιν, ἀπὸ τοῦ βάθους καὶ τῆς δεινότητος τῶν γραφῶν φωτίζων
118 τὸν νοῦν, τοῦ πνεύματος ὁ λόγος, ὁ κύριος, γραμματεὺς τῶν αἰώνων ὀξυγράφος,
ὅτι ταχέως καὶ ὀξέως τὴν βουλὴν ἀναγράφεται μόνος καὶ πληροῖ τοῦ πατρός, „ὀξέως
Esa. 8, 1. σκύλευσον“ ἀκούων „ταχέως προνόμευσον.“ τούτου κάλαμός ἐστιν ἡ γλῶσσά μου
τοῦ γραμματέως· ἡγνίσθη γὰρ αὐτῷ καὶ ἀνάκειται κάλαμος ὥσπερ ὡραῖος, ὡραιό-
τερα γράφων τῶν τὰ ἀνθρώπινα δόγματα κρατυνόντων ποιητῶν καὶ λογογράφων.
ἐὰν ἐθίσω καὶ τὰς ὄψεις μὴ ἐπιθυμεῖν ὥρας σωμάτων, μηδὲ τέρπεσθαι θέαις ἀσχή-
μοσιν, ἀλλὰ τὰ ἄνω περισκοπεῖν, ἁγνεύουσι καὶ οἱ ὀφθαλμοὶ καὶ ἀνάκεινται τῷ κυ-
119 ρίῳ. ἐὰν τὰ ὦτα φράξασα ἀπὸ δυσφημίας καὶ ψιθυρισμῶν ἀναπετάσω λόγῳ θεοῦ,
φοιτῶσα παρὰ σοφούς, ἀνατέθεικα καὶ τὰς ἀκοὰς τῷ κυρίῳ. ἐὰν ἀποστήσωμαι τὰς
Eccl. 6, 36. χεῖρας ἀπὸ καπηλείας, ἀπὸ μεταπράσεως, ἀπὸ φιλοχρημοσύνης, ἀπὸ πληκτισμοῦ,
ἁγνεύουσι καὶ αἱ χεῖρες θεῷ. ἐὰν ἐφέξω τὸ πορευτικὸν διεστραμμένας ὁδοὺς πορεύε-
σθαι, ἀνατέθεικα καὶ τοὺς πόδας, οὐκ εἰς δικαστήρια καὶ θιάσους παρερχομένη,
ὅθι τ' ἄνδρες ἀλιτροδίκαι τελέθουσιν, ἀλλ' εἰς τὸ κατορθῶσαι πληρώσασά τι τῶν
ἐντολῶν. τί μοι λοιπόν, ἐὰν διαγνεύω καὶ τὴν καρδίαν, πάσας τὰς διανοήσεις αὐτῆς
ἀναθεῖσα κυρίῳ; φαῦλον οὐδὲν διαλογίζομαι, τῦφος οὐκ ἐμπολιτεύεται καὶ ὀργὴ παρ'
Num. 6, 1. ἐμοί, τὸν νόμον καὶ ἐν ἡμέρᾳ μελετῶ κυρίου καὶ ἐν νυκτί· καὶ τοῦτ' ἐστί „μεγάλην
120 ἁγνείαν ἁγνεῦσαι, μεγάλην εὐξάμενον εὐχήν.“

V. *Πειράσομαι* δὲ καὶ τὰ ἑξῆς ὑμῖν, παρθένοι, φράσαι τῶν διατάξεων, ἐπειδή-
περ τῶν σφετέρων ἐξήρτηται καὶ αὐτὰ κατορθωμάτων, θεσμοὶ περὶ παρθενίας ὄντα
καὶ χρησμοὶ διδάσκοντες ὧν ἀπέχεσθαι προσήκει, καὶ ἀναγωγὸν εἶναι τὴν παρθενίαν.
Num. 6, 1—4. γέγραπται γὰρ οὕτως „καὶ ἐλάλησε κύριος τῷ Μωυσῇ λέγων· λάλησον τοῖς υἱοῖς
Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνή, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνι-
σθῆναι κυρίῳ, ἀπὸ σίκερα καὶ οἴνου ἁγνισθήσεται, καὶ ὄξος ἐξ οἴνου καὶ ὄξος ἐκ σίκερα
καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς οὐ πίετε, καὶ σταφυλὴν πρόσφατον καὶ σταφίδα οὐ
121 φάγετε πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ,“ ὅπερ ἐστίν· ἀπὸ τοῦ φυτοῦ τῆς πονηρίας
τῶν γεννωμένων ὁ κατεγγυήσας ἑαυτὸν τῷ κυρίῳ καὶ ἀναθεὶς οὐ δρέψεται διὰ τὸ παρ-
εκτικὸν ἀεὶ μέθης αὐτὸ καὶ ἐκστάσεως πεφυκέναι.[1] δύο γὰρ ἀμπέλων διαφορὰς ἐκ τῶν
γραφῶν ᾐσθήμεθα, αἳ χωρὶς ἀλλήλων ἐγενέσθην ἀνομοίως τε ἐχέτον. ἡ μὲν γὰρ
ἀθανασίας τε καὶ δικαιοσύνης ἐστὶ παρεκτική, ἡ δὲ μανίας αὖ καὶ παραφροσύνης.
Zach. 9, 17. Ps. 103, 15. ἄμπελος μὲν γὰρ νηφάλιος καὶ εὐφραντική, κλημάτων δίκην ἐκ τῶν μαθημάτων τοὺς
βότρυς ἱλαρῶς ἀπαιωροῦσα τῶν χαρισμάτων καταστάζοντας ἀγάπην, ὁ κύριος ἡμῶν
Jo. 15, 1. 5. ἐστιν Ἰησοῦς ὁ λέγων διαῤῥήδην τοῖς ἀποστόλοις „ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή,
122 ὑμεῖς τὰ κλήματα· ὁ δὲ πατήρ μου ὁ γεωργός,“ ἀγρία δὲ καὶ θανατηφόρος ὁ διά-
βολος, λύσσαν καὶ ἰὸν καὶ ὀργὴν ἀποστάζων, ὥσπερ δὴ καὶ Μωυσῆς ἐφηγεῖται δια-

1) *Δύο γὰρ ἀμπέλων διαφορὰς* .. (p. 122) .. *θυμὸς ἀσπίδων ἀνίατος.* Summam horum habet Photius cod. 237. p. 309, b. 5—10.

γράφων περὶ αὐτοῦ· „ἐκ γὰρ ἀμπέλου Σοδόμων“ φησὶν „ἡ ἄμπελος αὐτῶν, καὶ ἡ Deut. 32, 32.
κληματὶς αὐτῶν ἐκ Γομόῤῥας. ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας 33.
αὐτῶν. θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.“ ἐκ ταύτης Gen. 18, 20.
τρυγήσαντες οἱ Σοδόμων οἰκήτορες εἰς ἄκαρπον ἀῤῥένων ὄρεξιν οἰστρηλατήθησαν 19, 4.
τραπῆναι παρὰ φύσιν. ἐντεῦθεν καὶ ἐπὶ Νῶε κραιπαλήσαντες εἰς ἀπιστίαν κατώλι- Gen. 6, 7.
σθον καὶ ὑποβρύχιοι κατεποντώθησαν κατακλυσμῷ· ἐντεῦθεν ἀρυσάμενος ὁ Κάϊν τὰς Gen. 4, 8.
μισαδέλφους ἐφοίνιξε χεῖρας καὶ ἔχρανε τὴν γῆν λύθρῳ συγγενικῷ· ἐντεῦθεν μεθυ- 123
σκόμενα τὰ ἔθνη θήγουσιν ἑαυτῶν εἰς ἀλληλοφόνους μάχας τοὺς θυμούς. οὕτως γὰρ
οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥςπερ ἀπὸ ζήλου καὶ ὀργῆς·
οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ ἄσης, ὡς ἀπὸ ἔρωτος,
ὡς ἀπὸ ἀκρασίας. ἀπὸ ταύτης προςτέτακται τῆς ἀμπέλου μὴ γεύσασθαι τὴν παρθέ-
νον, ἵνα νηφάλιος ὑπάρχουσα καὶ ἄϋπνος ἀπὸ μερίμνης βιωτικῆς ἔκλαμπρον τὴν
λαμπάδα τοῦ φωτὸς τῆς δικαιοσύνης ἐξάπτῃ τῷ λόγῳ. „προςέχετε“ γάρ φησιν ὁ Luc. 21, 34.
κύριος „μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιω- 124
τικαῖς καὶ ἐπιστῇ ἐφ᾽ ὑμᾶς ἡ ἡμέρα ἐκείνη ὡς παγίς.“

VI. *Οὐ μόνον* δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προςτέτακται μη-
δαμῶς κατὰ μηδένα τρόπον προςψαύειν τὴν παρθένον, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῇ
καὶ παραπλησίων· σίκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος, κἄν τε
ἐκ τῶν φοινίκων κἂν ἐκ τῶν ἄλλων ἀκροδρύων σκευαζόμενος ᾖ. ἐπιστομίζουσι γὰρ
ὃν τρόπον αἱ ἐξ οἴνου προποσίαι καὶ ταῦτα σφοδρῶς τὸν λογισμόν. καὶ εἰ χρὴ
φάναι λόγῳ πρὸς ὑμᾶς ἀληθεῖ, [1] πᾶν τὸ μέθην φέρον καὶ ἔκστασιν τῇ ψυχῇ μετὰ
τὸν οἶνον ἐξ ἀμπέλου σίκερα κικλήσκουσιν οἱ σοφοί. ὅπως οὖν δὴ μὴ μόνον τῶν
γενικῶν ἁμαρτημάτων φυλασσομένη τῆς πονηρίας ὑπὸ τῶν ἀντιμίμων αὐτῇ χραίνηται 125
καὶ ἀντιῤῥόπων, ἑτέρων μὲν κρατοῦσα, ὑφ᾽ ἑτέρων δὲ κρατουμένη, τουτέστιν ἱματίων
διαφερόντων ὑφαῖς ἁβρυνομένη ἢ καὶ λίθοις καὶ χρυσῷ καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸ
σῶμα καλλωπισμοῖς, ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν· διὰ τοῦτο ταῦτα νομοθε-
τεῖ, ἵνα μὴ εἰς γυναικισμοὺς ἐκχέηται καὶ γέλωτας καὶ ἀπάτας ἀνασοβουμένη καὶ
μωρολογίας, ἃ περιδινοῦσι καὶ κυκῶσι τὸν λογισμόν, ὥςπερ καὶ ἐν ἑτέροις ἐμήνυσεν,
„οὐ φάγεσθε τὴν ὕαιναν“ εἰπών „καὶ τὰ ὅμοια αὐτῇ, καὶ τὴν γαλῆν καὶ τὰ ὅμοια Levit. 11, 29.
τούτοις.“ αὕτη γὰρ ὀρθὴ πρὸς οὐρανὸν καὶ σύντομος ὁδοιπορία, τὸ μὴ μόνον ἐμ- 126
πόδιον ἐφέλκεσθαί τι τῶν ἐκτραχηλιζόντων τὸν ἄνθρωπον ἐπτοημένον περὶ τὰς ἡδυ-
παθείας καὶ τέρψεις, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτοῖς· καὶ γὰρ θυσιαστήριον ἀναί-
μακτον εἶναι παρεδόθη θεοῦ τὸ ἄθροισμα τῶν ἁγνῶν. οὕτω μέγα τι χρῆμα καὶ
ἔνδοξον ἡ παρθενία φαίνεται. διὸ δὴ καὶ ἄχραντον αὐτὴν καὶ καθαρὰν πάντῃ φυ-
λακτέον, μηδὲν κοινωνοῦσαν ταῖς σαρκὸς ἀκαθαρσίαις, ἀλλ᾽ ἔσω κατὰ πρόςωπον τοῦ
μαρτυρίου σοφίᾳ κεχρυσωμένην εἰς τὰ ἅγια τῶν ἁγίων ἱδρῦσθαι, τὴν εὐωδίαν τῆς
ἀγάπης ἀναθυμιῶσαν κυρίῳ. „ποιήσεις“ γάρ „μοι“ φησί „μετὰ τὸ θυσιαστήριον Exod. 30, 1
τὸ περικεχαλκωμένον (εἰς ὃ τὰ ὁλοκαυτώματα ἀνεκομίζοντο καὶ αἱ προςφοραί) ἄλλο —9.
θυσιαστήριον ἐξ ἀσήπτων ξύλων, καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ, καὶ δώσεις αὐτὸ 127
ἀπέναντι τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου κατὰ πρόςωπον
τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ. καὶ θυ-
μιάσει ἐπ᾽ αὐτοῦ Ἀαρὼν θυμίαμα ἀρωμάτων ἐν πρωΐ, ὅτε ἀγαθύνῃ τοὺς λύχνους·
θυμιάσει ἐπ᾽ αὐτοῦ θυμίαμα διαπαντὸς ἔναντι κυρίου εἰς τὰς γενεὰς ὑμῶν. οὐκ
ἀνοίσεται ἐπ᾽ αὐτοῦ θυμίαμα ἀλλότριον καὶ ὁλοκαύτωμα· θυσίαν καὶ σπονδὴν οὐ
σπείσεται ἐπ᾽ αὐτοῦ.“

VII. *Εἰ ὁ νόμος* ἐστὶ κατὰ τὸν ἀπόστολον πνευματικός, τὰς εἰκόνας ἐμπεριέχων Hebr. 10, 1.
τῶν μελλόντων ἀγαθῶν, φέρε δὴ ἀπαμφιάσασαι τὸ ἐπ᾽ αὐτῷ κάλυμμα τοῦ γράμμα- 128
τος ἐφηπλωμένον ἐπισκεψώμεθα γυμνῶς τὴν ἀκρίβειαν. μίμημα τῆς ἐκκλησίας ἐκε-
λεύοντο δαιδάλλειν Ἑβραῖοι τὴν σκηνήν, ἵν᾽ ἔχοιεν διὰ τῶν αἰσθητῶν εἰκόνα τῶν
θείων προκαταγγέλλειν πραγμάτων. τὸ γὰρ ἐν τῷ ὄρει παράδειγμα παρενεχθέν, Exod. 25, 40.
πρὸς ὃ βλέπων ἐτεκτήνατο τὴν σκηνὴν ὁ Μωυσῆς, ἰδέα τις ἦν τῆς κατ᾽ οὐρανὸν οἰκή-
σεως ἀκριβής, ἣν ἡμεῖς τρανότερον μὲν τῶν τύπων, ἀμαυρότερον δὲ τῆς ἀληθείας
θεραπεύομεν νῦν. ἦλθε γὰρ ἀκραιφνὲς εἰς ἀνθρώπους, ὥςπερ ἔοικεν, οὔπω τὸ ἀλη-
θές, οἳ μηδὲ φέρομεν ἄκρατον ἐνταῦθα θεάσασθαι τὴν ἀφθαρσίαν, ὁπότε μηδὲ τὰς 129
ἡλιακὰς φέρομεν ἀνέδην ἰδεῖν ἀκτῖνας. ἀλλ᾽ Ἰουδαῖοι μὲν τὴν σκιὰν τῆς εἰκόνος τρί-
την ἀπὸ τῆς ἀληθείας κατηγγέλκασιν, ἡμεῖς δὲ τὴν εἰκόνα τῆς κατ᾽ οὐρανὸν διοική-
σεως ἐναργῶς ἐκθειάζομεν. τὸ γὰρ ἀληθὲς ἀκριβῶς μετ᾽ ἀνάστασιν δηλωθήσεται,
ὁπότε πρόςωπον κατὰ πρόςωπον τὴν ἁγίαν σκηνήν, τὴν πόλιν τὴν ἐν οὐρανοῖς, ἧς
τεχνίτης καὶ δημιουργὸς ὁ θεός, ἀλλ᾽ οὐ δι᾽ αἰνιγμάτων καὶ ἐκ μέρους ἐποπτεύσομεν. 1 Cor. 13, 12.

1) Hanc vocis *σίκερα* interpretationem Photius cod. 237. p. 309, b. 3. 4. contractam exhibet.

VIII. Ἰουδαῖοι μὲν γὰρ τὰ ἡμέτερα προανεφώνησαν, ἡμεῖς δὲ τὰ οὐράνια προαγ-
γέλλομεν, ἐπειδήπερ ἡ μὲν σκηνὴ σύμβολον ἦν τῆς ἐκκλησίας, ἡ δὲ ἐκκλησία τῶν οὐ-
130 ρανῶν. διὸ τούτων οὕτως ἐχόντων καὶ τῆς σκηνῆς ἐν τύπῳ τῆς ἐκκλησίας, ὡς ἔφην,
λαμβανομένης χρὴ καὶ τὰ θυσιαστήρια σύνθημά τι τῶν κατὰ τὴν ἐκκλησίαν πραγμάτων
φέρειν, καὶ τὸ μὲν περικεχαλκωμένον ἀπεικάζεσθαι τῇ γερουσίᾳ καὶ τῷ περιβόλῳ τῶν
χηρῶν (θεοῦ γάρ εἰσιν ἔμψυχος βωμός, εἰς ὃν ἀνακομίζοντες τοὺς μόσχους καὶ τὰς
δεκάτας καὶ τὰ ἑκούσια θυσίαν τελοῦμεν κυρίῳ), τὸ δὲ περίχρυσον θυσιαστήριον ἔνδον
ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἀνακείμενον κατὰ πρόσωπον τοῦ μαρτυρίου, εἰς ὃ ἀπείρηται
θυσίαν καὶ σπονδὴν ἀναφέρεσθαι, ταῖς ἐν παρθενίᾳ παραβλητέον, τῷ ἀκηράτῳ χρυσῷ
τὰ ἄσηπτα συνουσίας σώματα κατησφαλισμέναις. δύο γὰρ τὰ εἰς ἔπαινον θρυλλοῦνται
131 χρυσοῦ, ὅτι τε [1] ἰὸν οὐ παραδέχεται καὶ τὴν χροιὰν ταῖς ἡλίου μετρίως παραπλησιάζειν
φαντάζεται βολαῖς· σύμβολον δὲ εἰκότως ἄρα τοῦτο τῆς ἁγνείας τῆς μὴ προσιεμένης
ἐστὶ κηλῖδα καὶ σπῖλον, ἀλλὰ καὶ φωτὶ καταστραπτομένης ἀεὶ τοῦ λόγου. διὸ καὶ
ἔνδον εἰς τὰ ἅγια τῶν ἁγίων ἕστηκε πλησιαίτερον καὶ ἔμπροσθεν τοῦ παραπετάσματος,
ἀχράντοις χερσὶ θυμιαμάτων δίκην τὰς προσευχὰς ἀναπέμπουσα κυρίῳ, δεκτὰς εἰς
Apoc. 5, 8. ὀσμὴν εὐωδίας, καθὼς καὶ Ἰωάννης ἐμήνυσε, τὰ θυμιάματα τὰ ἐν ταῖς φιάλαις τῶν
εἰκοσιτεσσάρων πρεσβυτέρων προσευχὰς ἁγίων εἶναι φράσας.
132 Ταῦτά σοι ὡς ἐκ τοῦ παραχρῆμα κἀγὼ κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή,
συμβάλλομαι.

Λόγος ς΄.

Ἀγάθη.

I. Εἰπούσης δὲ ταῦτα τῆς Θαλλούσης ἡ Θεοπάτρα ἔφη τῷ σκήπτρῳ τὴν Ἀρετὴν
ψαῦσαι τῆς Ἀγάθης, τὴν δ᾽ αἰσθομένην εὐθέως ἀναστῆναι καὶ ἀποκρίνασθαι ὅτι Μετὰ
πολλῆς εὐτολμίας καὶ πειθοῦς καὶ τῆς τοῦ καλῶς εἰπεῖν ὑπολήψεως, ὦ Ἀρετή, σοῦ
παρομαρτούσης πειράσομαι δὴ κατὰ δύναμιν κἀγὼ εἰς τὸ προκείμενον εἰςενέγκασθαί
τι, κατ᾽ ἐμαυτὴν μέντοι καὶ οὐ πρὸς τὰ εἰρημένα. οὐ γὰρ ἂν δυναίμην ἐφάμιλλα τού-
τοις οὕτω ποικίλως καὶ λαμπρῶς ἀπειργασμένοις ῾φιλοσοφεῖν· δόξω γὰρ ἀποφέρεσθαι
ψόγον ἀβελτηρίας, εἰ τοῖς κατὰ σοφίαν ἐξισάζεσθαι κρείττοσι προσπηδῴην. εἰ οὖν
133 ἀνέξεσθε καὶ τῶν ὅπως ἂν τύχῃ ῥητορευόντων, ἐπιχειρῶ λέγειν, οὐδὲν προθυμίας κα-
θυφειμένη. ἀρκτέον δὲ ἐντεῦθεν.
Ἀμήχανον, ὦ παρθένοι, κάλλος καὶ συγγενὲς τῇ σοφίᾳ καὶ πρόσφορον ἅπαντες εἰς
τὸν κόσμον κεκτημένοι τοῦτον ἀφικνούμεθα. ἀπηκρίβωνται γὰρ αἱ ψυχαὶ τῷ γεννή-
σαντι τότε μάλιστα καὶ πλασαμένῳ, ὁπότε τὴν καθ᾽ ὁμοίωσιν ἰδέαν ἄχραντον ἐκλάμ-
πουσαι καὶ τοὺς χαρακτῆρας τῆς ὄψεως ἐκείνης, πρὸς ἣν ἀφορῶν ὁ θεὸς ἀθάνατον
μορφὴν καὶ ἀνώλεθρον ἐχούσας αὐτὰς ἀπειργάζετο, τοιαῦται διαμένουσι. τὸ γὰρ ἀγέν-
134 νητον κάλλος καὶ ἀσώματον καὶ μήτε ἀρχόμενον μήτε φθῖνον, ἀλλ᾽ ἄτρεπτον καὶ ἀγή-
ρων καὶ ἀπροσδεὲς αὐτὸς ἐν ἑαυτῷ καὶ [εἰς] αὐτόφως ἐν ἀφράστοις καὶ ἀπροσίτοις
ἀναπαυόμενον, ἐξουσίας περιουσίᾳ πάντα περιέχων καὶ κτίζων καὶ μετασκευάζων ἐτε-
κτήνατο κατ᾽ εἰκόνα τῆς εἰκόνος ἑαυτοῦ τὴν ψυχήν. διὸ καὶ λογικὴ καὶ ἀθάνατός ἐστι·
κατ᾽ εἰκόνα γὰρ δημιουργηθεῖσα τοῦ μονογενοῦς, ὡς ἔφην, ἀνυπέρβλητον ἔχει τὸ κάλ-
Ephes. 6, 12. λος. διὸ δὴ καὶ τὰ πνευματικὰ τῆς πονηρίας ἐρῶσιν αὐτῆς καὶ ἐφεδρεύουσι, χρᾶναι
βιαζόμενα τὴν θεοείκελον αὐτῆς ἐκείνην καὶ ἐπέραστον ἰδέαν, ὥσπερ δὴ καὶ ὁ προφή-
135 της Ἱερεμίας παρίστησιν ὀνειδίζων Ἱερουσαλὴμ „ὄψις πόρνης ἐγένετό σοι· ἀπηναισχύν-
Jerem. 3, 3. τησας ἀπέναντι τῶν ἐραστῶν σου,“ τὴν παρασχοῦσαν ἑαυτὴν ταῖς ἀντικειμέναις δυνά-
μεσιν εἰς βεβήλωσιν λέγων. ἐρασταὶ γάρ εἰσιν ὁ διάβολος καὶ οἱ περὶ αὐτὸν ἄγγελοι,
οἱ τὸ λογικὸν ἡμῶν καὶ διορατικὸν τῆς φρονήσεως κάλλος μιαίνειν καὶ μολύνειν τῇ
ἑαυτῶν ἐπιμιξίᾳ τεχναζόμενοι καὶ μοιχοὶ γενέσθαι πάσης τῆς τῷ κυρίῳ νενυμφευμένης
ἐπιθυμοῦντες ψυχῆς.

II. Ἐὰν οὖν ἀμόλυντον τοῦτο τηρήσῃ τις τὸ κάλλος καὶ ἀσινὲς καὶ τοιοῦτον, ὁποῖον
αὐτὸς ὁ συστησάμενος αὐτὸ καὶ ζωγραφήσας ἀπετύπωσε, τὴν αἰώνιον ἀπομιμησάμενος
φύσιν καὶ νοητήν, ἧς καὶ χαρακτήρ ἐστιν ὁ ἄνθρωπος καὶ ἀπεικόνισμα, γεγονὼς οἷον
136 ἄγαλμά τι περικαλλέστατον καὶ ἱερόν· ἐντεῦθεν μετενεχθεὶς εἰς τὴν μακάρων πόλιν
τοὺς οὐρανούς, ὥσπερ ἐν ναῷ κατοικισθήσεται. ἄχραντον γὰρ τὸ κάλλος ἡμῶν ἄριστα
τότε τηρεῖται καὶ ἀσφαλῶς, ὁπόταν δὴ παρθενίᾳ σκεπόμενον ὑπὸ τοῦ καύσωνος ἔξωθεν
μὴ μελαίνηται τῆς φθορᾶς, ἀλλ᾽ αὐτὸ ἐφ᾽ ἑαυτῷ μένον δικαιοσύνῃ κοσμῆται, νυμφαγω-
Matth. 25, 1. γούμενον τῷ υἱῷ τοῦ θεοῦ ὃν τρόπον δὴ καὶ αὐτὸς εἰσηγεῖται, χρῆναι παραινῶν ὥσπερ

1) Hanc auri laudem Photius cod. 237. p. 309, b. 11. consignavit.

ἐν λαμπάσι ταῖς σφετέραις σαρξὶ τὸ φῶς ἀνακαίεσθαι τῆς ἁγνείας, ἐπειδήπερ ὁ τῶν
δέκα παρθένων ἀριθμὸς τὰς εἰς Χριστὸν Ἰησοῦν πεπιστευκυίας ἀριθμεῖσθαι βούλεται
ψυχάς, τῷ Ι' τὴν ἀπευθύνουσαν μόνην ὁδὸν εἰς τοὺς οὐρανοὺς ἀποτυπούμενος. ἀλλ' 137
αἱ μὲν πέντε ἔμφρονες ἐτύγχανον ἄρα καὶ σοφαί, αἱ δὲ πέντε μωραὶ καὶ ἄσοφοί τινες·
οὐ γὰρ ἐπρομηθεύσαντο ἐλαίου σφῶν τὰ ἀγγεῖα πλήρη παρασκευάσαι, δικαιοσύνης
ἀπομείνασαι κεναί. αἰνίσσεται γὰρ διὰ τούτων τὰς ἐπὶ πέρατα παρθενίας ἐπισπερχο-
μένας ἐλθεῖν καὶ πάντα εἰς τὸ πληρωθῆναι συντείνοντα τὸν ἔρωτα τοῦτον κοσμίως
δρώσας καὶ σωφρόνως, καὶ τὰς ἐπαγγελλομένας μὲν καὶ σεμνυνομένας τοῦτο σκοπεῖν,
ὀλιγωρούσας δὲ καὶ ἡττωμένας τοῦ κόσμου ταῖς ἐξαλλαγαῖς καὶ ὥςπερ σκιαγραφούσας
μᾶλλον εἴδωλον ἀρετῆς ἢ αὐτὴν ἐργαζομένας ἔμπνουν τὴν ἀλήθειαν.

III. [1] Τὸ γὰρ λεγόμενον ὡμοιῶσθαι τὴν βασιλείαν τῶν οὐρανῶν δέκα παρθένοις, Matth. 25, 1.
αἵτινες ἔλαβον τὰς λαμπάδας αὐτῶν καὶ ἐξῆλθον ἀπαντήσουσαι τῷ νυμφίῳ, σημαίνειν 138
βούλεται τὴν αὐτὴν ὁδὸν τοῦ ἐπιτηδεύματος πάσας ἐπανῃρημένας, διὰ τὴν ἔμφασιν τοῦ Ι'
στοιχείου. ἐστείλαντο μὲν γὰρ παραπλησίως ἑαυτὰς εἰς τοῦτο καθομολογήσασαι, καὶ
ταύτῃ κικλήσκονται δέκα, ἐπειδὴ τὴν αὐτήν, ὡς ἔφην, εἵλοντο πρόθεσιν· οὐκέτι δὲ
ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ. αἱ μὲν γὰρ τροφὴν ἄφθονον καὶ εἰςαῦθις
ἐπορίσαντο ταῖς ἐλαιοθρέπτοις λαμπάσιν, αἱ δὲ κατεῤῥαθύμησαν, τοῦ παρόντος μόνον
ἐπιμεληθεῖσαι. διὸ δὴ καὶ ἰσάριθμοι πρὸς πέντε διαιροῦνται, ἐπειδήπερ τὰς πέντε
αἰσθήσεις αἱ μὲν αὐτῶν ἐφυλάξαντο καθαρὰς καὶ παρθένους ἁμαρτημάτων, ἃς οἱ πλεῖ- 139
στοι σοφίας προςηγόρευσαν πύλας, αἱ δὲ τοὐναντίον πλήθεσιν ἀδικημάτων ἐλωβήσαντο
φυράσασαι κακίᾳ. ἐγκρατευσάμεναι γὰρ καὶ ἁγνεύσασαι δικαιοσύνης εὐφόρησαν μᾶλλον
παραπτώμασιν· ἐξ οὗ δὴ καὶ συνέβη τῶν θείων ἔξω περιβόλων ἀποκλεισθείσας ἀπα-
γορευθῆναι. εἴτε γὰρ κατορθοῦμεν εἴτε πλημμελοῦμεν, διὰ τούτων ἑκάτερα καὶ τὰ
ἀνδραγαθήματα κρατύνεται καὶ τὰ κακοπραγήματα. καὶ ὥςπερ ἡ Θάλλουσα καὶ ὀφθαλ-
μῶν ἔφη καὶ ὤτων ἁγνείαν εἶναι καὶ γλώσσης καὶ τῶν λοιπῶν καθεξῆς αἰσθητηρίων,
οὕτω δὴ καὶ ἐνταῦθα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν πέντε διόδων τῆς ἀρετῆς,
ὁράσεως, γεύσεως, ὀσφρήσεως, ἁφῆς τε καὶ ἀκοῆς, πέντε προςαγορεύονται παρθένοι, διὰ 140
τὸ τὰς πέντε τῆς αἰσθήσεως ἁγνὰς ἀποκαταστῆσαι τῷ Χριστῷ φαντασίας, ἀφ' ἑκάστης
αὐτῶν οἷα λαμπάδα τὴν ὁσιότητα λάμπουσαν τρανῶς. ἡ γὰρ πεντάφωτος ἡμῶν ὡς ἀλη-
θῶς λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα δᾳδὸς δίκην τῷ νυμφίῳ παρίσταται
Χριστῷ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, παραφαίνουσα διὰ πασῶν τῶν αἰσθήσεων διεκθρώ-
σκουσαν λαμπρὰν τὴν πίστιν, καθὼς αὐτὸς ἐδίδαξεν εἰπὼν „πῦρ ἦλθον βαλεῖν εἰς τὴν Luc. 12, 49.
γῆν, καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη;" γῆν ἡμῶν τὰ σκηνώματα φράσας, εἰς ἃ ἐβούλετο
ταχέως ἀναφθῆναι τὴν ὀξυκίνητον τῆς διδασκαλίας αὐτοῦ καὶ διάπυρον πρᾶξιν. τὸ 141
γὰρ ἔλαιον τῇ σοφίᾳ καὶ τῇ δικαιοσύνῃ παραβλητέον· ἀνομβρούσης γὰρ ταῦτα τῆς
ψυχῆς ἀφθόνως καὶ ἐπιχεούσης τῷ σώματι εἰς ὕψος ἀναφλέγεται τῆς ἀρετῆς ἄσβεστον
τὸ φῶς, ἔμπροσθεν τῶν ἀνθρώπων ἐκλάμπον τὰς πράξεις τὰς καλάς, ὡς δοξασθῆναι Matth. 5, 6.
τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς.

IV. Τοιοῦτον ἔλαιον ἄρα κἀκεῖνοι προσέφερον ἐν τῷ Λευϊτικῷ, „ἄτρυγον ἔλαιον, Levit. 24, 2.
καθαρόν, κεκομμένον καῦσαι λύχνον ἔξω τοῦ καταπετάσματος ἔναντι κυρίου." ἀλλ'
ἐκείνοις μὲν βραχύτατον φῶς προςετέτακτο θεραπεύειν ἀφ' ἑσπέρας εἰς ἕω. ὁ γάρ τοι
λύχνος αὐτῶν ἔοικεν εἰκάζεσθαι τῷ λόγῳ τῷ προφητικῷ τὴν ἐπὶ σωφροσύνῃ φαίνοντι
παῤῥησίαν, τρεφόμενος ἀπὸ τῶν πράξεων καὶ τῆς πίστεως τοῦ λαοῦ, ὁ δὲ ναὸς τῷ 142
σχοινίσματι τῆς κληρονομίας, ἐπειδήπερ λύχνος περὶ οἶκον ἕνα μόνον δύναται φαίνειν.
πρὸ τῆς ἡμέρας οὖν ἐχρῆν τοῦτον καίεσθαι τὸν λύχνον· „καύσουσι" γὰρ „αὐτόν" Ps. 104, 11.
φησίν „ἕως πρωΐ," τουτέστιν ἕως παρουσίας τοῦ Χριστοῦ, ὅτι τοῦ ἡλίου τῆς ἁγνείας Levit. 24, 3.
ἀνατείλαντος καὶ τῆς δικαιοσύνης οὐ χρεία λύχνου. ὅσον μὲν οὖν ὁ λεὼς ἐκεῖνος χρό- Malach. 4, 2.
νον ἀπεθησαύριξε τὰ τρέφοντα τὸν λύχνον ἐπιχορηγῶν τὸ ἔλαιον διὰ τῶν ἔργων, ὁ
λύχνος αὐτοῖς οὐκ ἔσβεστο τῆς σωφροσύνης, ἀλλ' ἦν φαινόμενος ἀεὶ καὶ λάμπων ἐν
τῷ σχοινίσματι τῆς κληρονομίας· ὅτε δὲ ἐπέλιπε τὸ ἔλαιον ἀπὸ τῆς πίστεως εἰς 143
ἀκολασίαν αὐτῶν ἐκτροπαλιζομένων, ὁ λύχνος ἄρδην ἀπεσβέσθη, ἵνα δὴ πάλιν ἐξα-
στράψωσι τὰς λαμπάδας ἐπαλλήλοις διαδοχαῖς ἄνωθεν αἱ παρθένοι τῷ κόσμῳ πυρ-
σεύουσαι τὴν ἀφθαρσίαν. χορηγητέον οὖν δὴ τὸ ἄτρυγον ἔλαιον καὶ νῦν τῶν καλῶν
ἔργων ἀδεῶς καὶ τῆς συνέσεως, πάσης κάτω βριθούσης ἀφυλισμένον φθορᾶς, ἵνα
μὴ χρονίσαντος τοῦ νυμφίου σβεσθῶσιν ὁμοίως καὶ ἡμῶν αἱ λαμπάδες. ὁ γάρ τοι
χρονισμός ἐστι τὸ πρὸ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ, ὁ δὲ νυσταγμὸς καὶ ἡ
κοίμησις τῶν παρθένων ἡ ἔξοδος ἀπὸ τοῦ βίου, τὸ δὲ μεσονύκτιον ἡ βασιλεία τοῦ

1) Apud Phot. cod. 237. p. 309, b. 12. — p. 310, a. 13. haec usque ad illa: (p. 144) εἰς τὴν ἀπάντησιν ἁρπασθέντες τοῦ κυρίου. omissis in medio positis illis: (p. 141) ἀνομβρούσης γὰρ ταῦτα .. (p. 143) .. καὶ ἡμῶν αἱ λαμπάδες, in compendium relata reperiuntur.

παρθένον ὅτῳ φίλον, ὅπως μηδὲν τῶν εἰς ἁγιασμὸν φερομένων κατ' ἀνάγκην γένοιτο καὶ βίαν, ἀλλὰ κατὰ πρόθεσιν αὐτεξούσιον ψυχῆς (τοῦτο γὰρ πρόςφορον θεῷ), οὐ βούλεται ἐξ αὐθεντίας αὐτῷ ταῦτα καὶ γνώμης λελέχθαι τοῦ κυρίου, τουτέστι τὸ γα-
1 Cor. 7, 8. μίζεσθαι τὴν παρθένον. ἀμέλει φήσας „ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε“ σχεδὸν πάλιν ὑπευλαβηθεὶς ἀνετάραξε τὴν συγκατάθεσιν, κατὰ συγγνώμην ἀνθρωπίνην
87 ὑπεμφαίνων ταῦτα συμβεβουλευκέναι, ἀλλ' οὐ κατὰ θείαν. εὐθέως γοῦν μετὰ τὸ εἰπεῖν
1 Cor. 7, 28. „καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε“ ἐπήγαγε τό „θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι,“ ὅ δή ἐστιν „ἐγὼ φειδόμενος ὑμῶν, ὦ οὗτοι, ταῦτα συνεθέμην, ἐπειδήπερ ταῦτα οὕτω φρονεῖν εἵλεσθε, ὅπως μὴ δόξω κατὰ βίαν ἐπισπέρχειν ὑμῶν εἰς τοῦτο καὶ ἀναγκάζειν τινάς. ὅμως δὲ εἰ καὶ ταύτην φίλον ὑμῖν μᾶλλον τρέπεσθαι ἀποδυςπετήσαντας ἁγνείαν βαστάζειν, καὶ οὕτω λυσιτελεῖν ἡγοῦμαι κρατεῖν ὑμᾶς τῶν τῆς σαρκὸς ἐρεθισμῶν, μὴ παραχρωμένους διὰ τὸ γεγαμηκέναι τοῖς ἑαυτῶν
1 Cor. 7, 29. σκεύεσιν εἰς ἀκαθαρσίαν.“ ἐπιφέρει γοῦν „τοῦτο δέ φημι, ἀδελφοί· ὁ καιρὸς συνε-
88 σταλμένος· λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν.“ εἶτα αὖθις ἐπιμένων καὶ προκαλούμενος ἐπὶ τοῖς αὐτοῖς ἐπεξειργάσατο τὸν λόγον, ἰσχυρῶς κρατύνων τὴν ἔνστασιν τῆς παρθενίας. ῥητῶς γοῦν τὰ ἑξῆς ἐπισυνάψας τοῖς προειρη-
1 Cor. 7, 32 —34. μένοις ἐπεφώνησε „θέλω ὑμᾶς ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. καὶ μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος. ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί.“ πᾶσι γὰρ ἀναμφιςβητήτως ἐστὶ καταφανὲς ὡς ἄρα μεριμνᾶν τὰ τοῦ κυρίου καὶ ἀρέσκειν τῷ θεῷ
89 πολλῷ ἄμεινον τοῦ μεριμνᾶν τὰ τοῦ κόσμου καὶ ἀρέσκειν τῇ γυναικί. τίς γὰρ οὕτως ἠλίθιος καὶ πηρὸς τὰς ὄψεις, ὃς οὐκ αὐτόθεν αἴσθεται τὴν παραίνεσιν τοῦ Παύλου
1 Cor. 7, 35. τὸ πλέον ῥέπουσαν εἰς ἁγνείαν; „τοῦτο γάρ“ φησί „πρὸς τὸ ὑμῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον“.

XIV. Ἐπίστησον δὲ πρὸς τοῖς εἰρημένοις ὅπως καὶ θεοδώρητον εἶναι τὸ τῆς παρθενίας ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τῶν ἀκρατεστέρων ἐπὶ τοῦτο παρεληλυθότας ἀποβάλλεται συμβουλεύων γαμεῖν, ἵνα μὴ καιρῷ τῆς ἀκμῆς σφυγμοὺς καὶ φλεγμονὰς παρεχούσης αὐτοῖς τῆς σαρκὸς ἀσχημονῶσιν οἰστρηλατούμενοι
90 τὴν ψυχήν. τί γὰρ παραδίδωσιν ἐπισκεπτέον. „εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τῆς παρθέ-
1 Cor. 7, 36. νου αὐτοῦ νομίζει“ φησίν „ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γενέσθαι· ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν,“ οἰκείως ἐνταῦθα προκρίνων τὸν γάμον τῆς ἀσχημοσύνης ἐπὶ τῶν ἑλομένων μὲν παρθενεύειν, δυςανασχετούντων δὲ τὸ μετὰ ταῦτα καὶ ἀποκαμόντων, καὶ λόγῳ μὲν δι' αἰδῶ τὴν πρὸς ἀνθρώπους αὐχούντων ἐπιμένειν, ἔργῳ δὲ οὐδὲ μακρότερον ἐνδιατρίψαι δυναμένων τῷ εὐνουχισμῷ. τῷ μέντοι αὐτοκρα-
1 Cor. 7, 37. τορικῇ καὶ αὐθαιρέτῳ κρίνοντι προθέσει τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον καὶ μὴ ἔχοντι ἀνάγκην, ὅπερ ἐστὶ πάθος ἐκκαλούμενον τὴν ὀσφῦν εἰς συνουσίαν (εἶναι γὰρ
91 καὶ διαφοράς, ὡς εἰκός, σωμάτων), τούτῳ διαμιλλωμένῳ καὶ διαθλοῦντι καὶ σπουδαίως ἐπιμένοντι τῇ ἐπαγγελίᾳ καὶ ταύτην ἄριστα διαπεραινομένῳ παρακελεύεται μέ-
1 Cor. 7, 38. νειν καὶ τηρεῖν, τῇ παρθενίᾳ τὰ πρωτεῖα νέμων. ὁ γὰρ δυνάμενος, φησί, καὶ φιλοτιμούμενος τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον κρεῖττον ποιεῖ, ὁ δὲ μὴ δυνάμενος, γαμίζων δὲ νομίμως καὶ μὴ λαθροφθορῶν, καλῶς. καὶ περὶ μὲν τούτων αὐτάρκως. λαβέτω δὲ μετὰ χεῖρας ὁ βουλόμενος τὴν πρὸς Κορινθίους ἐπιστολήν, καὶ καθ' ἕκαστον ὁμιλήσας τοῖς ἐγγεγραμμένοις, τότε καὶ τὰ ὑφ' ἡμῶν λεγόμενα σκεψάσθω ἀντι-
92 παραβάλλων, εἰ μὴ συμφωνίας πάσης ἔχονται καὶ ὁμοφροσύνης τῆς πρὸς αὐτά.

Ταῦτά σοι κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, κἀγὼ συνειςφέρω.

ΕΥΒΟΥΛ. Σφόδρα διὰ πολλῶν, ὦ Γρηγόριον, μόλις εἰς τὸ προκείμενον ἀφίκετο, μακρότατον ἀναμετρησαμένη καὶ περαιωθεῖσα πέλαγος λόγων.

ΓΡΗΓ. Ἔοικεν οὕτως ἔχειν· ἀλλ' ἴθι καὶ τὰ λοιπὰ ἐφεξῆς μνημονεύσαντες μιμητικώτατα διέλθωμεν, ὧν ἔτι ἔναυλον τὴν ἀκρόασιν ἔχειν μοι δοκῶ, πρὶν ἀποπτῆναι καὶ διαφυγεῖν· εὐεξάλειπτοι γὰρ νέων ἀκουσμάτων μνῆμαι γερόντων.

ΕΥΒΟΥΛ. Ἀλλὰ λέγε· τούτων γὰρ καὶ ἐληλύθαμεν ἀσμένως ἀκουσόμενοι τῶν λόγων.

93 *ΓΡΗΓ.* Καὶ μὲν δή, καθάπερ εἶπας, μετὰ τὸ καταχθῆναι τὴν Θάλειαν δρόμοις ἀκυμάντοις εἰς τὴν γῆν ἡ Θεοπάτρα ἐφεξῆς ὑπολαβοῦσαν ἑαυτὴν ἔφη εἰπεῖν τάδε.

Λόγος δ'.

Θεοπάτρα.

I. *Εἰ* μὲν ἐπὶ τῶν αὐτῶν, ὦ παρθένοι, διεξόδων ἡ σοφία τῆς λογικῆς ἵστατο τέχνης καὶ τὴν αὐτὴν ἀεὶ διεπορεύετο τρίβον, οὐδεμία ἂν ὑπῆρχε μηχανὴ μὴ οὐκ ἀποκνεῖν

ἐπιχειροῦσαν τοῖς ἤδη προηγωνισμένοις. εἰ δὲ μυρίαι λόγων ὁρμαὶ καὶ διέξοδοι, πολυ-
μερῶς καὶ πολυτρόπως ἐπεισπνέοντος ἡμᾶς τοῦ θεοῦ, τίς ἡ ἀποκλήρωσις ἐγκαλύπτε- Hebr. 1, 1.
σθαι καὶ δειλιᾶν; οὐκ ἀνυπαίτιος γὰρ ὅτῳ μέτεστι χάριτος, ἐὰν τὰ καλὰ μὴ κοσμῇ 94
λόγοις εὐχαριστηρίοις. διὸ φέρε καὶ ἡμεῖς ὑμνήσωμεν τῶν χαρισμάτων τὸ καλλιφεγ-
γὲς ἄστρον καὶ τιμαλφέστατον τοῦ Χριστοῦ, τὴν ἁγνείαν. εὐρυτάτη γὰρ ἡ τοῦ πνεύ-
ματος αὕτη καὶ ἄφθονος ὁδός. πόθεν οὖν ἀπαρξάμεναι δὴ πρέποντα δόξομεν καὶ
εἰκότα λέγειν τοῖς προκειμένοις, ἐντεῦθεν ἐπισκεπτέον.

II. Ἐγὼ γὰρ ἀκριβῶς ᾐσθῆσθαί μοι δοκῶ ὅτι τῆς εἰς τὸν παράδεισον ἀποκατα-
στάσεως καὶ τῆς εἰς τὴν ἀφθαρσίαν μεταβολῆς καὶ τῆς πρὸς θεὸν καταλλαγῆς οὐδὲν
οὕτως αἴτιον ἄλλο γέγονε καὶ σωτήριον ἀνθρώποις, τὸ στρατηγῆσαν ἡμᾶς εἰς ζωήν,
ὡς ἁγνεία. πειράσομαι γὰρ ἢ διανοοῦμαι περὶ τούτων ἐνδείξασθαι νῦν, ἵνα σαφῶς 95
τὴν δύναμιν τοῦ προειρημένου χαρίσματος ἀκούσασαι, πόσων ἡμῖν παρεκτικὸν ἀγαθῶν
ἐγενήθη γνῶτε. τὸ γοῦν ἀρχαῖον, μετὰ τὸ μετοικισθῆναι τὸν ἄνθρωπον ἐκβληθέντα
διὰ τὴν παράβασιν, τὸ ῥεῦμα τῆς φθορᾶς ἐπὶ πολὺ προσεχύθη καὶ φερόμενον σφοδρῶς
ἐξαισίοις συρμοῖς οὐ μόνον ἔξωθεν ἀτάκτως παρεφέρετο προστυγχάνον, ἀλλ' ἤδη καὶ
ἐπεισχεόμενον εἴσω κατέκλυζε τὰς ψυχάς. αἱ δὲ συνεχῶς τοῦτο πάσχουσαι κωφαὶ καὶ
δυσμαθεῖς ἐφέροντο, κυβερνᾶν ἀπαλλαγεῖσαι τὰ σφέτερα σκάφη παρὰ τὸ μὴ ἔχειν
ἐφάψασθαι βεβαίου τινός. αἱ γὰρ αἰσθήσεις τῆς ψυχῆς, ὡς οἱ τούτων ἔφασαν ἐπιστή-
μονες, ἐπειδὰν τῶν ἔξωθεν προσπιπτόντων παθῶν ἡττηθεῖσαι προσδέξωνται τὰς ἐπι- 96
φορὰς τοῦ τῆς ἀνοίας ἐπικλύσαντος εἴσω κύματος, εὐθέως τῆς θείας ὁρμῆς ἐμποδίζουσι
σκοτωθεῖσαι τὸ πᾶν αὐτῆς εὐήνιον πορευθὲν κατὰ φύσιν κύτος. ὅθεν ὁ θεὸς οἰκτειρή-
σας ἡμᾶς ἔχοντας οὕτως καὶ οὔτε ἀνασχεῖν οὔτε ἀνασφῆλαι δυναμένους κατέπεμψεν ἐξ
οὐρανῶν τὸ ἄριστον καὶ εὐκλεέστατον βοήθημα, τὴν παρθενίαν, ὅπως ἐξ αὐτῆς ἀποδή-
σαντες ἡμῶν τὰ σώματα πλοίων δίκην, γαλήνην ἔχωμεν ὁρμισθέντες φθορᾶς, καθὼς
καὶ τὸ πνεῦμα τὸ ἅγιον μαρτυρεῖ. τοῦτο γὰρ ἐν ἑκατοστῷ τριακοστῷ ἕκτῳ φέρεται
ψαλμῷ, ἔνθα ὕμνον εὐχαριστήριον ἀναπέμπουσιν ἱλαρῶς αἱ ψυχαὶ τῷ θεῷ, ὁπόσαι 97
δὴ παραληφθεῖσαι καὶ κρατηθεῖσαι περιπολοῦσιν ἤδη μετὰ Χριστοῦ τὸν οὐρανόν, ὅτι
μὴ κατεσπάσθησαν ὑπὸ τῶν ὑλικῶν καὶ σωματικῶν ῥευμάτων. ἐντεῦθεν γὰρ καὶ τὸν
Φαραὼ φασι τύπον ἀπενέγκασθαι κατὰ τὴν Αἴγυπτον διαβόλου, ἐπειδὴ τὰ μὲν ἄῤῥενα Exod. 1, 16.
ἀφειδῶς εἰς τὸν ποταμὸν ἐκέλευε ῥίπτεσθαι, τὰ δὲ θήλεα ζωογονεῖσθαι. καὶ γὰρ καὶ
ὁ διάβολος βασιλεύων ἀπὸ Ἀδὰμ μέχρι Μωυσέως τῆς μεγάλης Αἰγύπτου, τοῦ κόσμου, Rom. 5, 14.
τὰ μὲν ἄῤῥενα καὶ νοητὰ τῆς ψυχῆς ἔκγονα ὑπὸ τῶν ῥευστῶν παραφέρεσθαι καὶ ἀναι-
ρεῖσθαι παθῶν σπουδὴν ἔσχε, τὰ δὲ σαρκικὰ καὶ ἀναίσθητα αὐξάνεσθαί τε καὶ πλη-
θύνεσθαι γλίχεται.

III. Ἀλλὰ γὰρ ἵνα μὴ παρεκβαίνωμεν τοῦ προκειμένου, φέρε δὴ τὸν ψαλμὸν ἐξη- 98
γησώμεθα ἐν χερσὶ λαβοῦσαι τοῦτον, ὃν αἱ καθαραὶ καὶ ἀλώβητοι ψυχαὶ προςᾴδουσι
τῷ θεῷ, [1] „ἐπὶ τῶν ποταμῶν“ λέγουσαι „Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσα- Ps. 136, 1. 2.
μεν ἐν τῷ μνησθῆναι ἡμᾶς Σιών. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄρ-
γανα ἡμῶν,“ ὄργανα καλοῦσαι σαφῶς τὰ σκηνώματα ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν
πεισμάτων τῆς ἁγνείας ἐξάψασαι τοῦ ξύλου, ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν
παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας· Βαβυλὼν γάρ, τάραχος ἢ σύγχυσις ἑρμηνευο-
μένη, τὸν περίῤῥυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα
καθ' ὃν ἐσμὲν ἐν τῷ κόσμῳ χρόνον, τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων ἀεί. διὸ 99
καὶ περιδεεῖς ἐσμεν καὶ κατολοφυρόμεθα καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν θεόν, ἵνα
μὴ κατολισθήσωσιν ἡμῶν ἀποῤῥηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ τῆς
ἁγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας πανταχοῦ παραλαμβάνουσι τὴν ἰτέαν
αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ ἀποτριβέν, ἐὰν ποθῇ, πᾶν ὅσον
εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς κατασβέννυσιν, ἔστ' ἂν εἰς ἄρδην ἀποστειρώσῃ καὶ
ἄγονον ἀπεργάσηται πᾶσαν τὴν ἐπὶ παιδοποιίαν φοράν, ὥσπερ δὴ καὶ Ὅμηρος ἐμήνυσε, Od. κ, 510.
διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας. καὶ ἐν Ἡσαΐᾳ δὲ οἱ δίκαιοι ὡς ἰτέα λέ- Esa. 44, 4.
γονται φύειν ἐπὶ παραῤῥέον ὕδωρ. εἰς ὕψος γὰρ τότε τὸ τῆς παρθενίας ἔρνος μεγε- 100
θύνεται σφοδρῶς τε καὶ λαμπρῶς, ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν
καὶ ἐργάζεσθαι τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων. ὃν
γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπαν-
θεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ παρθενία, ἵνα δὴ καὶ ἀνακρε-
μάσαι τὸ ὄργανον ἀπ' αὐτῆς ἑαυτοῦ δύνηταί τις.

IV. Εἰ οὖν οἱ ποταμοὶ τῆς Βαβυλῶνος τὰ ῥεύματα τῆς ἡδυπαθείας εἰσίν, ὡς οἱ
σοφοί φασι, τὰ συγχύνοντα καὶ ταράσσοντα τὴν ψυχήν, ἀνάγκη τὰς ἰτέας εἶναι τὴν
σωφροσύνην, ἀφ' ἧς ἀνακρεμῶντες ἀνέλκομεν τὰ ὄργανα τὰ παιδογόνα ταλαντούμενα 101

1) Ἐπὶ τῶν ποταμῶν .. (p. 99) .. ὠλεσικάρπους τὰς ἰτέας. Haec apud Phot. cod. 237. p. 308, b. 22—39. contracta exstant.

κάτω καὶ βρίθοντα τὸν νοῦν, ἵνα μὴ κατενεχθέντα περὶ τοὺς ὀχετοὺς τῆς ἀκρασίας
σκωλήκων δίκην εἰς τοὺς ἰχῶρας ἐγχρίμπτωνται καὶ τὰς σηπεδόνας. χρησιμωτάτην γὰρ
καὶ ἐπίκουρον εἰς ἀφθαρσίας κτῆσιν τὴν παρθενίαν ὁ θεὸς ἐδωρήσατο, σύμμαχον ἀπο-
στείλας τοῖς ὀριγνωμένοις καὶ ποθοῦσι, καθὼς ὁ ψαλμὸς ὑφηγεῖται, τὴν Σιών, ὃ δή
ἐστι τὴν ἔκλαμπρον ἀγάπην καὶ τὴν περὶ αὐτῆς ἐντολήν, ἐπειδήπερ ἡ Σιὼν ἐντολὴ σκο-
πιᾶς ἑρμηνεύεται. ὧδε γὰρ ἀναλογισώμεθα πάλιν καὶ τὰ ἑξῆς. τί δή ποτε ἐπηρωτῆ-
σθαι πρὸς τῶν αἰχμαλωτιστῶν ὁμολογοῦσιν αἱ ψυχαὶ τὴν ᾠδὴν ἐπὶ γῆς ἀλλοτρίας ᾆσαι
102 κυρίου; ἢ πάντως ὅτι τὸ εὐαγγέλιον ἱερὰν ᾠδὴν εἶναι καὶ ἀπόῤῥητον διδάσκουσιν, ἣν
οἱ ἁμαρτάνοντες καὶ μοιχώμενοι τῷ πονηρῷ προσᾴδουσιν; ἐξορχοῦνται γὰρ τὰς ἐντο-
Matth. 7, 6. λάς, τὸ θέλημα τῶν πνευμάτων τελοῦντες τῆς πονηρίας, καὶ ῥίπτουσι τὰ ἅγια τοῖς
κυσὶ καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ὃν τρόπον κἀκεῖνοι περὶ ὧν ὁ προ-
Amos 4, 5. φήτης δυςχεραίνων φησί „καὶ ἀνέγνωσαν ἔξω νόμον.“ οὐ γὰρ ὅτι τῶν πυλῶν ἔξω τῆς
Ἱερουσαλὴμ ἢ τῶν οἰκιῶν ἀνεγίνωσκον ἐξιόντες οἱ Ἰουδαῖοι τὸν νόμον, διὰ τοῦτο δὴ
καὶ ὁ προφήτης ἰσχυρῶς αὐτῶν κατηγορεῖ καὶ ὑπευθύνους ἐγκλήματι βοᾷ γεγονέναι,
ἀλλ' ὅτι παρερχόμενοι τὰς ἐντολὰς καὶ ἀσεβοῦντες εἰς τὸν θεὸν ἐπιμεμορφασμένως
103 μὲν ἀνεγίνωσκον δῆθεν ὡς εὐσεβεῖς τὰ προστάγματα, κατὰ ψυχὴν δὲ οὐκ ἐδέχοντο
μετὰ πίστεως ἴσχοντες, ἀλλ' ἀπέπτυον ἔργοις ἀρνούμενοι. ἐντεῦθεν γὰρ τὴν ᾠδὴν ἐπὶ
τῆς ἀλλοτρίας ᾄδουσι κυρίου, ταπεινότερον περιέλκοντες καὶ ἐξηγούμενοι τὸν νόμον,
1 Petr. 2, 10. βασιλείαν αἰσθητὴν προσδοκῶντες, καὶ ἐπὶ γῆς ταύτης τῆς ἀλλοτρίας, ἣν παρελεύσεσθαι
λόγος, τιθέμενοι τὰς ἐλπίδας, ἔνθα οἱ αἰχμαλωτισταὶ δελεάζουσιν ἡδοναῖς λοχῶντες
πρὸς ἀπάτην.

V. Ἐοίκασι δὲ καὶ οἱ προσᾴδοντες τὸ εὐαγγέλιον ἄφροσιν ἐπὶ γῆς ἀλλοτρίας μελῳ-
δεῖν τὴν ᾠδὴν κυρίου, ἧς μή ἐστιν ὁ Χριστὸς γεωργός. ἀλλ' αἱ τὸ καθαρώτατον καὶ
φαιδρὸν καὶ ἀμιγὲς καὶ εὐλαβὲς καὶ εὐπρεπὲς τῆς παρθενίας ὑποδῦσαι καὶ ἀνα-
104 λάμψασαι κάλλος, καὶ στεῖραι καὶ ἄγονοι τῶν ῥευστῶν καὶ ἀλγεινῶν εὑρεθεῖσαι πα-
θῶν, ἐπὶ γῆς ἀλλοτρίας οὐ μελῳδοῦσι τὴν ᾠδήν, ὅτι μὴ φέρονται ταῖς ἐλπίσι τῇδε,
μηδὲ προστετήκασι θνητῶν σωμάτων τρυφαῖς, μηδὲ ταπεινῶς κατασκέπτονται τὸν νοῦν
τῶν ἐντολῶν, ἀλλ' εὖ καὶ γενναίως μετὰ φρονήματος ὑψηλοῦ τὰς ἐπαγγελίας ἄνω
περιαθροῦσι, τὸν οὐράνιον διψῶσαι καὶ σύμφυτον τόπον. ὅθεν ἀγάμενος αὐτῶν ὁ
θεὸς τὰ φρονήματα μεθ' ὁρκωμοσίας ἐξαιρέτους ἐπαγγέλλεται διδόναι τιμάς, ἐν ἀρχῇ
Ps. 136, 5. 6. τῆς εὐφροσύνης προανατάσσων καὶ καθιδρύων. λέγει γὰρ ὧδε „ἐὰν ἐπιλάθωμαί σου,
105 Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου,
ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφρο-
σύνης μου,“ Ἱερουσαλὴμ τὰς ἀμιάντους αὐτὰς δὴ ταύτας, ὡς ἔφην, καὶ ἀπήμονας
ψυχὰς εἶναι λέγων, αἵτινες ἄτρυγον τὸ τῆς παρθενίας αὐστηρῶς ἀμολύντοις χείλεσι
2 Cor. 2, 2. σπασάμεναι πόμα, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν καθαρμόζονται παραστῆσαι Χριστῷ
Sap. 4, 2. κατ' οὐρανόν, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασαι. ταύτῃ γὰρ καὶ Ἡσαΐας ὁ
Esa. 60, 1. προφήτης παρεγγυᾷ „φωτίζου, φωτίζου“ λέγων „Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς,
Philip. 3, 11. καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκε“. ταῦτα δὲ τὰ ἐπαγγέλματα μετὰ τὴν ἐξανά-
106 στασιν τελεσιουργηθήσεσθαι δῆλον καὶ παντί. οὐ γὰρ περὶ τῆς πολυθρυλλήτου κατὰ
Ἰουδαίαν πολίχνης τὸ πνεῦμα τὸ ἅγιον χρησμῳδεῖ, ἀλλὰ περὶ τῆς οὐρανουπόλεως ὡς
ἀληθῶς ἐκείνης καὶ μακαρίας Ἱερουσαλήμ, ἣν δή φησιν αὐτὴν εἶναι τὸ ἄθροισμα
τῶν ψυχῶν, ἃς προανατάξασθαι πρώτας ἐν ἀρχῇ τῆς εὐφροσύνης τῶν καινῶν αἰώνων
προφανῶς ὁ θεὸς ἐπαγγέλλεται, εἰς καθαρὰν οἴκησιν ἀδύτων φώτων τῷ λευκοτάτῳ
τῆς παρθενίας ἐστολισμένας κόσμῳ κατοικίζων, ὅτι μὴ ἐμνημόνευσαν τὸν κόσμον
ἀποδύσασθαι τὸν νυμφικόν, τουτέστι χαυνῶσαι τὸν λογισμὸν φαντασίαις ἐκτόποις.

Jer. 2, 32. VI. [1]Ἀμέλει τὸ μὴ ἐπιλαθέσθαι νύμφην τὸν κόσμον, μηδὲ παρθένον τὴν στη-
θοδεσμίδα αὐτῆς, λεγόμενον ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι καὶ χαλάσαι τὸν δεσμὸν
107 τῆς σωφροσύνης ἀπάταις δηλοῖ καὶ περισπασμοῖς. στήθη γὰρ αἱ φρένες εἰκότι λόγῳ
καὶ ὁ νοῦς ἡμῶν εἶναι νομίζεται· ἡ δὲ στηθοδεσμίς, ἡ συνδοῦσα ζώνη καὶ συσφίγ-
γουσα τὴν πρόθεσιν τῆς ψυχῆς εἰς ἁγνείαν, ἐστὶν ἡ πρὸς θεὸν ἀγάπη, ἣν ἐμοί τε
καὶ ὑμῖν ὁ στρατηγὸς ἡμῶν καὶ ποιμὴν Ἰησοῦς καὶ ἄρχων καὶ νυμφίος, ὦ καλλιπάρ-
θενοι, ἄῤῥηκτον καὶ ἐσφραγισμένην μέχρι τέλους τηρῆσαι παράσχοι. τούτου γὰρ τοῦ
κτήματος τοῖς ἀνθρώποις ἄμεινον βοήθημα οὐκ ἄν τις ῥᾳδίως ἕτερον λάβοι ἀρέσκον
θεῷ καὶ προςφιλές.' διὸ ἐγὼ χρῆναί φημι τὴν ἁγνείαν ἅπαντας τιμᾶν καὶ διαφερόν-
τως ἀσκεῖν τε καὶ ἐγκωμιάζειν.

108 Αὗταί σοι καὶ παρ' ἡμῶν αἱ ἀπαρχαὶ τῶν λόγων ἀνακείσθωσαν, ὦ Ἀρετή, τὰ
μὲν παιδιᾶς, τὰ δὲ καὶ σπουδῆς χάριν.

1) Ἀμέλει .. (p. 107) .. ἡ πρὸς Χριστὸν ἀγάπη. Haec fere ad verbum apud Phot. cod. 237. p. 308, b. 40. — p. 309, a. 5.

Ἀλλὰ δέχομαι τὸ δῶρον, ἔφη φάναι τὴν Ἀρετήν, καὶ κελεύω μετὰ σὲ τὴν Θάλλουσαν λέγειν· δεῖ γάρ με παρὰ μιᾶς ἑκάστης ὑμῶν ἀποδέξασθαι τὸν λόγον.

Λόγος ε΄.

Θάλλουσα.

I. *Τὴν οὖν Θάλλουσαν βραχὺ ἐπισχοῦσαν καὶ πρὸς ἑαυτήν τι σκεψαμένην εἰπεῖν
ἔφη, Ἀλλ', ὦ Ἀρετή, συλλήπτριαν ἀξιῶ παραστῆναί σε καὶ τὰ νῦν, ὅπως πρῶτον
μὲν σοῦ, καὶ τῶν παρόντων δὲ φανῶμεν ἄξια λέγειν. τὸ γὰρ μέγιστον καὶ ἐπιφα-
νέστατον ἀνάθημα καὶ δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πάρεστιν
ἀνθρώποις θεῷ, τὸν ἆθλον τῆς παρθενίας εἶναι πέπεισμαι διαρκῶς, ἀπὸ τῶν ἱερῶν* 109
*ᾐσθημένη γραμμάτων. οὐ γὰρ ἂν πολλῶν πολλὰ κατ' εὐχὰς ἐν τῷ νόμῳ καλὰ κα-
τεργασαμένων μόνοι μεγάλην εὐχὴν ἐλέγοντο πληροῦν οἱ σφᾶς αὐτοὺς αὐθαιρέτῳ
βουλῇ προσενέγκασθαι βουλόμενοι. ἔχει γὰρ τὸ ῥητὸν οὕτως „καὶ ἐλάλησε κύριος
πρὸς Μωυσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ* Num. 6, 1.
*γυνή, ὃς μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν κυρίῳ.“ εὔχεται χρυσᾶ καὶ
ἀργυρᾶ εἰς τὸν νεὼν σκεύη προσκομίσας ἀναθεῖναί τις, ἕτερος ἀναθεῖναι τὴν δεκάτην
τῶν καρπῶν, ἄλλος τῆς οὐσίας· ἕτερος τὰ κράτιστα τῶν ποιμνίων, ἄλλος τὴν ὕπαρ-
ξιν καθιεροῖ, καὶ οὐδέπω μεγάλην εὐχὴν εὔξασθαι δύναται τῷ κυρίῳ, ἀλλ' ἐκεῖνος ὁ* 110
ἑαυτὸν ἀναθεὶς τῷ θεῷ ὁλοτελῶς.

II. *Ἐπιχειρητέον γὰρ ἀληθεῖ λόγῳ πρὸς ὑμᾶς, ὦ παρθένοι, τὴν κατὰ τὸ πνεῦμα
διάνοιαν δηλῶσαι τῆς γραφῆς. ὁ γὰρ κατά τι μόριον φυλασσόμενος καὶ προσέχων,
κατά τι δὲ περισπώμενος καὶ πλημμελῶν ὅλος οὐκ ἀνάκειται θεῷ· χρῆν γὰρ τὸν
τέλειον πάντα ἀναθεῖναι καὶ τὰ τῆς ψυχῆς καὶ τὰ τῆς σαρκὸς, ὅπως ἄρτιος εἴη καὶ
μὴ ἐλλιπής. ταύτῃ δὴ καὶ τῷ Ἀβραὰμ ὁ θεὸς ὑφηγεῖται* [1] *„λάβε μοι δάμαλιν τριε-* Gen. 15, 9.
*τίζουσαν“ λέγων „καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα καὶ περι-
στερὰν,“ ὅ ἐστιν εὐφήμως (ἐπίστησον γὰρ ὅτι περὶ τούτων κἀκεῖνο παρεγγυᾷ)· προσ-* 111
*ένεγκέ μοι καὶ φύλαξον ἄζυγα καὶ ἀκάκωτόν σου τὴν ψυχὴν δαμάλεως δίκην, καὶ τὴν σάρκα
καὶ τὸν λογισμόν, τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα καὶ κρημνώδη περιπολεῖ, τὸν δὲ
ὡς κριόν, ἵνα μηδαμῶς ἀποσκιρτήσας ἐκπέσῃ καὶ ἐξολισθήσῃ τῆς ἀληθείας· οὕτω γὰρ
ἐντελὴς ἔσῃ καὶ ἀνεπίληπτος, ὦ Ἀβραάμ, ἀναθεὶς ἐμοὶ καὶ τὴν ψυχὴν καὶ τὴν αἴσθησιν
καὶ τὸν νοῦν· ἃ συμβολικῶς δάμαλιν ἔφη καὶ αἶγα καὶ κριὸν τριετίζοντα, οἱονεὶ τὴν
γνῶσιν ἀκακέμφατον τῆς τριάδος ἐπανῃρημένα. τάχα δὲ καὶ τὴν πρώτην καὶ τὴν μέσην
καὶ τὴν τελευταίαν τοῦ βίου τῆς ἡλικίας ἡμῶν αἰνίσσεται τρίβον, βουλόμενος, ὡς ἔνι
μάλιστα, καὶ τὸν τῶν παίδων καὶ τὸν τῶν ἀνδρῶν καὶ τὸν τῶν γεραιτέρων χρόνον* 112
σωφρόνως βιώσαντας αὐτῷ προσενέγκασθαι· καθ' ὃν τρόπον καὶ ὁ κύριος ἡμῶν ἐν Luc. 12, 35—38.
*εὐαγγελίοις παρακελεύεται Ἰησοῦς Χριστός, ὧδε νομοθετῶν „οἱ λύχνοι ὑμῶν μὴ
σβεννύσθωσαν, καὶ αἱ ὀσφύες ὑμῶν μὴ λυέσθωσαν. διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι
γίνεσθε ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων,
ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ εὐθέως ἀνοίξωσι. μακάριοί ἐστε, ὅτι ἀνακλινεῖ
ὑμᾶς καὶ παρελθὼν διακονήσει· κἂν τῇ δευτέρᾳ, κἂν τῇ τρίτῃ φυλακῇ, μακάριοί
ἐστε.“ ἐπισκέψασθε γὰρ ὅτι τρεῖς ὑποθέμενος φυλακὰς νυκτός, ἑσπερινὴν καὶ δευτέ-
ραν καὶ τρίτην, καὶ τρεῖς ἑαυτοῦ παρουσίας, ὦ παρθένοι, τὰς τρεῖς ἡμῶν τῆς ἡλι-* 113
*κίας ᾐνίξατο μεταβολάς, τὴν μειρακιώδη καὶ τὴν πρόσηβον καὶ τὴν πρεσβυτικήν, ἵνα
κἂν τὴν πρώτην ἄγοντας ἡλικίαν, τουτέστι παῖδας ὄντας, ἐὰν ἔλθῃ παραληψόμενος
τοῦ κόσμου, ἑτοίμους καταλάβῃ καὶ καθαρούς, μηδὲν ἐπιτετηδευκότας σκαιόν, κἂν
τὴν δευτέραν ὁμοίως, κἂν τὴν τρίτην. ἑσπερινὴ γὰρ φυλακὴ ὁ καιρός ἐστι τῆς ἀκμῆς
τοῦ ἀνθρώπου καὶ ἡ νεότης, καθ' ἣν ἄρχεται ταράσσεσθαι τὸ ἡγεμονικόν, ἐπιθολού-
μενον ταῖς ἐξαλλαγαῖς τοῦ βίου, ἡβώσης αὐτοῦ τῆς σαρκὸς ἤδη καὶ τρεπομένης εἰς
πάθη. δευτέρα δέ, ὁπηνίκα λοιπὸν εἰς ἄνδρα τέλειον ἐλάσας ἄρχεται στάσιν καὶ
βεβαιότητα τῶν θορύβων ὁ νοῦς προσλαμβάνειν καὶ τῆς οἰήσεως. τρίτη δέ, ὅτε αἱ* 114
*πλεῖσται φαντασίαι φθίνουσι τῶν ἐπιθυμιῶν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς καὶ
εἰς γῆρας προκοπτούσης.*

III. *Διὸ προσήκει ἄσβεστον ἐν τῇ καρδίᾳ τῆς πίστεως ἐξάψαντας τὸν λύχνον, καὶ τὴν
ὀσφῦν ἀναζωσαμένους τῇ σωφροσύνῃ, ἐγρηγορέναι καὶ προσδοκᾶν ἀεὶ τὸν κύριον, ἵνα,
κἂν ἐν τῇ πρώτῃ ἡλικίᾳ παραλαβεῖν ἡμῶν τινας βουληθῇ, κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ
τρίτῃ, ἐλθὼν καὶ εὑρὼν ἑτοιμοτάτους καὶ ἃ προσέταξεν ἐργαζομένους, ἀνακλίνῃ εἰς
Ἀβραὰμ κόλπους καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Ἱερεμίας δέ „ἀγαθὸν“ φησίν „ἀνδρί, ὅταν* Threr. 3, 27.

1) *Λάβε μοι* .. (p. 114) .. *προσδοκᾶν ἀεὶ τὸν κύριον.* Haec, paucis omissis, transscripta apud Phot. cod. 237. p. 309, a. 6. — p. 309, b. 2.

Jer. 17, 3. ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ καὶ ἀπὸ τοῦ κυρίου μὴ ἀποστῇ ἡ ψυχὴ αὐτοῦ.“ ἀγαθὸν
115 γὰρ ἐκ παίδων ὡς ἀληθῶς ὑποθέντα τὸν αὐχένα τῇ θείᾳ προσοχῇ μὴ ἀποσείσασθαι
μέχρι γήρως τὸν ἐπιβάτην καθαραῖς φρεσὶν ἐποχούμενον, ἀεὶ τὸν λογισμὸν εἰς τὸ
χεῖρον καθέλκοντος τοῦ πονηροῦ. τίς γὰρ οὐ τὰς δι᾽ ὀμμάτων, τίς δ᾽ οὐ τὰς δι᾽
ὤτων, τίς δ᾽ οὐ τὰς διὰ γεύσεως, ὀσφρήσεώς τε καὶ ἁφῆς ἡδονὰς καὶ τέρψεις ἀπο-
δέχεται, τὴν ἡνίοχον μὴ φέρων σωφροσύνην, εἴργουσαν καὶ καθαιμάττουσαν τὸν
ἵππον τῆς κακίας; ἕτερος μὲν οὖν εἰς ἕτερα ἐπιβλέψας ἄλλα δοξάσει, ἡμεῖς δὲ ἀνα-
τιθέναι λέγομεν ἑαυτὸν τελείως θεῷ, ὃς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλο-
τιμεῖται φυλάττειν, παρθενίαν ἀσκῶν. περισπουδάστους γὰρ καὶ μεγάλας ἐλπίδων
116 δωρεὰς τοῖς ἐφιεμένοις αὐτῆς ταχέως φέρει, τὰ λυμαντήρια τῆς ψυχῆς ἀπομαραί-
νουσα πάθη καὶ ὑπεκκαύματα. φέρε γὰρ εἰςηγήσωμαι πῶς ἀνακείμεθα τῷ κυρίῳ.
Num. 6, 2. IV. Τὸ γοῦν „μεγάλως εὔξασθαι εὐχήν,“ ἐν τοῖς Ἀριθμοῖς νομοθετούμενον,
τοῦτο παρίστησιν, ὅπερ ἐπὶ πλέον ἐγὼ διηγησαμένη ἀποφαίνω, μεγάλην εὐχὴν εἶναι
παρὰ πάσας εὐχὰς ἀποδεικνύουσα τὴν ἁγνείαν. τότε γὰρ ἀνάκειμαι προφανῶς πᾶσα
τῷ κυρίῳ, ὁπότε μὴ μόνον τὴν σάρκα συνουσίας ἀνέπαφον, ἀλλὰ καὶ τῶν λοιπῶν
1 Cor. 7, 34. ἀτοπημάτων ἄσπιλον τηρεῖν ἀγωνίζομαι. „ἡ γὰρ ἄγαμος“ φησί „μεριμνᾷ τὰ τοῦ
κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ,“ οὐ μόνον ἵνα μὴ χωλὴν τῆς ἀρετῆς κατά τι μόριον
ἀπενέγκηται τὴν δόξαν, ἀλλ᾽ ἄμφω, κατὰ τὸν ἀπόστολον, καὶ ἐν τῷ σώματι καὶ ἐν
117 τῷ πνεύματι ἁγιάζηται, ἀναθεῖσα τὰ μέλη κυρίῳ. τί γάρ ἐστι τὸ ἀναθεῖναι ἑαυ-
τὸν τελείως κυρίῳ, λεκτέον. ἐὰν ἐπὶ τῶνδε μὲν ἀνοίξω τὸ στόμα, ἐπὶ τῶνδε
δὲ κατακλείσω, οἷον ἀνοίξω μὲν περὶ τὰς ἐξηγήσεις τῶν γραφῶν εἰς τὸ ὀρθοδό-
ξως ὑμνῆσαι καὶ μεγαλοπρεπῶς κατὰ δύναμιν τὸν θεόν, κατακλείσω δὲ θύραν
Ps. 140, 3. αὐτῷ θεμένη καὶ φυλακὴν τοῦ μάταια μὴ λαλεῖν, ἁγνεύει μου τὸ στόμα καὶ ἀνάκει-
Ps. 64, 2. ται τῷ θεῷ, ἡ γλῶσσά μου κάλαμος γέγονεν, ὄργανον σοφίας· γράφει γὰρ δι᾽ αὐ-
τῆς ἀριδήλοις γράμμασιν, ἀπὸ τοῦ βάθους καὶ τῆς δεινότητος τῶν γραφῶν φωτίζων
118 τὸν νοῦν, τοῦ πνεύματος ὁ λόγος, ὁ κύριος, γραμματεὺς τῶν αἰώνων ὀξυγράφος,
ὅτι ταχέως καὶ ὀξέως τὴν βουλὴν ἀναγράφεται μόνος καὶ πληροῖ τοῦ πατρός, „ὀξέως
Esa. 8, 1. σκύλευσον“ ἀκούων „ταχέως προνόμευσον.“ τούτου κάλαμός ἐστιν ἡ γλῶσσά μου
τοῦ γραμματέως· ἡγνίσθη γὰρ αὐτῷ καὶ ἀνάκειται κάλαμος ὥςπερ ὡραῖος, ὡραιό-
τερα γράφων τῶν τὰ ἀνθρώπινα δόγματα κρατυνόντων ποιητῶν καὶ λογογράφων.
ἐὰν ἐθίσω καὶ τὰς ὄψεις μὴ ἐπιθυμεῖν ὥρας σωμάτων, μηδὲ τέρπεσθαι θέαις ἀσχή-
μοσιν, ἀλλὰ τὰ ἄνω περισκοπεῖν, ἁγνεύουσι καὶ οἱ ὀφθαλμοὶ καὶ ἀνάκεινται τῷ κυ-
119 ρίῳ. ἐὰν τὰ ὦτα φράξασα ἀπὸ δυσφημίας καὶ ψιθυρισμῶν ἀναπετάσω λόγῳ θεοῦ,
φοιτῶσα παρὰ σοφούς, ἀνατέθεικα καὶ τὰς ἀκοὰς τῷ κυρίῳ. ἐὰν ἀποστήσωμαι τὰς
Eccl. 6, 36. χεῖρας ἀπὸ καπηλείας, ἀπὸ μεταπράσεως, ἀπὸ φιλοχρημοσύνης, ἀπὸ πληκτισμοῦ,
ἁγνεύουσι καὶ αἱ χεῖρες θεῷ. ἐὰν ἐφέξω τὸ πορευτικὸν διεστραμμένας ὁδοὺς πορεύε-
σθαι, ἀνατέθεικα καὶ τοὺς πόδας, οὐκ εἰς δικαστήρια καὶ θιάσους παρερχομένη,
ὅθι τ᾽ ἄνδρες ἀλιτροδίκαι τελέθουσιν, ἀλλ᾽ εἰς τὸ κατορθῶσαι πληρώσασά τι τῶν
ἐντολῶν. τί μοι λοιπόν, ἐὰν διαγνεύω καὶ τὴν καρδίαν, πάσας τὰς διανοήσεις αὐτῆς
ἀναθεῖσα κυρίῳ; φαῦλον οὐδὲν διαλογίζομαι, τῦφος οὐκ ἐμπολιτεύεται καὶ ὀργὴ παρ᾽
Num. 6, 1. ἐμοί, τὸν νόμον καὶ ἐν ἡμέρᾳ μελετῶ κυρίου καὶ ἐν νυκτί· καὶ τοῦτ᾽ ἐστί „μεγάλην
120 ἁγνείαν ἁγνεῦσαι, μεγάλην εὐξάμενον εὐχήν.“
V. Πειράσομαι δὲ καὶ τὰ ἑξῆς ὑμῖν, παρθένοι, φράσαι τῶν διατάξεων, ἐπειδή-
περ τῶν σφετέρων ἐξήρτηται καὶ αὐτὰ κατορθωμάτων, θεσμοὶ περὶ παρθενίας ὄντα
καὶ χρησμοὶ διδάσκοντες ὧν ἀπέχεσθαι προςήκει, καὶ ἀναγωγὸν εἶναι τὴν παρθενίαν.
Num. 6, 1—4. γέγραπται γὰρ οὕτως „καὶ ἐλάλησε κύριος τῷ Μωυσῇ λέγων· λάλησον τοῖς υἱοῖς
Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνή, ὃς ἂν μαγάλως εὔξηται εὐχὴν ἀφαγνι-
σθῆναι κυρίῳ, ἀπὸ σίκερα καὶ οἴνου ἁγνισθήσεται, καὶ ὄξος ἐξ οἴνου καὶ ὄξος ἐκ σίκερα
καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς οὐ πίετε, καὶ σταφυλὴν πρόσφατον καὶ σταφίδα οὐ
121 φάγετε πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ,“ ὅπερ ἐστίν· ἀπὸ τοῦ φυτοῦ τῆς πονηρίας
τῶν γεννωμένων ὁ κατεγγυήσας ἑαυτὸν τῷ κυρίῳ καὶ ἀναθεὶς οὐ δρέψεται διὰ τὸ παρ-
εκτικὸν ἀεὶ μέθης αὐτὸ καὶ ἐκστάσεως πεφυκέναι.[1] δύο γὰρ ἀμπέλων διαφορὰς ἐκ τῶν
γραφῶν ᾐσθήμεθα, αἳ χωρὶς ἀλλήλων ἐγενέσθην ἀνομοίως τε ἔχετον. ἡ μὲν γὰρ
ἀθανασίας τε καὶ δικαιοσύνης ἐστὶ παρεκτική, ἡ δὲ μανίας αὖ καὶ παραφροσύνης.
Zach. 9, 17. ἄμπελος μὲν γὰρ νηφάλιος καὶ εὐφραντική, κλημάτων δίκην ἐκ τῶν μαθημάτων τοὺς
Ps. 103, 15. βότρυς ἱλαρῶς ἀπαιωροῦσα τῶν χαρισμάτων καταστάζοντας ἀγάπην, ὁ κύριος ἡμῶν
Jo. 15, 1. 5. ἐστιν Ἰησοῦς ὁ λέγων διαῤῥήδην τοῖς ἀποστόλοις „ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή,
122 ὑμεῖς τὰ κλήματα· ὁ δὲ πατήρ μου ὁ γεωργός,“ ἀγρία δὲ καὶ θανατηφόρος ὁ διά-
βολος, λύσσαν καὶ ἰὸν καὶ ὀργὴν ἀποστάζων, ὥςπερ δὴ καὶ Μωυσῆς ἐφηγεῖται δια-

1) Δύο γὰρ ἀμπέλων διαφορὰς .. (p. 122) .. θυμὸς ἀσπίδων ἀνίατος. Summam horum habet Photius cod. 237. p. 309, b. 5—10.

γράφων περὶ αὐτοῦ· „ἐκ γὰρ ἀμπέλου Σοδόμων“ φησὶν „ἡ ἄμπελος αὐτῶν, καὶ ἡ Deut. 32, 32.
κληματὶς αὐτῶν ἐκ Γομόῤῥας. ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας 33.
αὐτῶν. θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.“ ἐκ ταύτης Gen. 18, 20.
τρυγήσαντες οἱ Σοδόμων οἰκήτορες εἰς ἄκαρπον ἀῤῥένων ὄρεξιν οἰστρηλατήθησαν 19, 4.
τραπῆναι παρὰ φύσιν. ἐντεῦθεν καὶ ἐπὶ Νῶε κραιπαλήσαντες εἰς ἀπιστίαν κατώλι- Gen. 6, 7.
σθον καὶ ὑποβρύχιοι κατεποντώθησαν κατακλυσμῷ· ἐντεῦθεν ἀρυσάμενος ὁ Κάϊν τὰς Gen. 4, 8.
μισαδέλφους ἐφοίνιξε χεῖρας καὶ ἔχρανε τὴν γῆν λύθρῳ συγγενικῷ· ἐντεῦθεν μεθυ- 123
σκόμενα τὰ ἔθνη θήγουσιν ἑαυτῶν εἰς ἀλληλοφόνους μάχας τοὺς θυμούς. οὕτως γὰρ
οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥςπερ ἀπὸ ζήλου καὶ ὀργῆς·
οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ ἄσης, ὡς ἀπὸ ἔρωτος,
ὡς ἀπὸ ἀκρασίας. ἀπὸ ταύτης προςτέτακται τῆς ἀμπέλου μὴ γεύσασθαι τὴν παρθέ-
νον, ἵνα νηφάλιος ὑπάρχουσα καὶ ἄϋπνος ἀπὸ μερίμνης βιωτικῆς ἔκλαμπρον τὴν
λαμπάδα τοῦ φωτὸς τῆς δικαιοσύνης ἐξάπτῃ τῷ λόγῳ. „προςέχετε“ γάρ φησιν ὁ Luc. 21, 34.
κύριος „μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιω- 124
τικαῖς καὶ ἐπιστῇ ἐφ᾽ ὑμᾶς ἡ ἡμέρα ἐκείνη ὡς παγίς.“

VI. Οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προςτέτακται μη-
δαμῶς κατὰ μηδένα τρόπον προςψαύειν τὴν παρθένον, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῇ
καὶ παραπλησίων· σίκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος, κἄν τε
ἐκ τῶν φοινίκων κἂν ἐκ τῶν ἄλλων ἀκροδρύων σκευαζόμενος ᾖ. ἐπιστομίζουσι γὰρ
ὃν τρόπον αἱ ἐξ οἴνου προποσίαι καὶ ταῦτα σφοδρῶς τὸν λογισμόν. καὶ εἰ χρὴ
φάναι λόγῳ πρὸς ὑμᾶς ἀληθεῖ, [1] πᾶν τὸ μέθην φέρον καὶ ἔκστασιν τῇ ψυχῇ μετὰ
τὸν οἶνον ἐξ ἀμπέλου σίκερα κικλήσκουσιν οἱ σοφοί. ὅπως οὖν δὴ μὴ μόνον τῶν
γενικῶν ἁμαρτημάτων φυλασσομένη τῆς πονηρίας ὑπὸ τῶν ἀντιμίμων αὐτῇ χραίνηται 125
καὶ ἀντιῤῥόπων, ἑτέρων μὲν κρατοῦσα, ὑφ᾽ ἑτέρων δὲ κρατουμένη, τουτέστιν ἱματίων
διαφερόντων ὑφαῖς ἁβρυνομένη ἢ καὶ λίθοις καὶ χρυσῷ καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸ
σῶμα καλλωπισμοῖς, ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν· διὰ τοῦτο ταῦτα νομοθε-
τεῖ, ἵνα μὴ εἰς γυναικισμοὺς ἐκχέηται καὶ γέλωτας καὶ ἀπάτας ἀνασοβουμένη καὶ
μωρολογίας, ἃ περιδινοῦσι καὶ κυκῶσι τὸν λογισμόν, ὥςπερ καὶ ἐν ἑτέροις ἐμήνυσεν,
„οὐ φάγεσθε τὴν ὕαιναν“ εἰπὼν „καὶ τὰ ὅμοια αὐτῇ, καὶ τὴν γαλῆν καὶ τὰ ὅμοια Levit. 11, 29.
τούτοις.“ αὕτη γὰρ ὀρθὴ πρὸς οὐρανὸν καὶ σύντομος ὁδοιπορία, τὸ μὴ μόνον ἐμ- 126
πόδιον ἐφέλκεσθαί τι τῶν ἐκτραχηλιζόντων τὸν ἄνθρωπον ἐπτοημένον περὶ τὰς ἡδυ-
παθείας καὶ τέρψεις, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτοῖς· καὶ γὰρ θυσιαστήριον ἀναί-
μακτον εἶναι παρεδόθη θεοῦ τὸ ἄθροισμα τῶν ἁγνῶν. οὕτω μέγα τι χρῆμα καὶ
ἔνδοξον ἡ παρθενία φαίνεται. διὸ δὴ καὶ ἄχραντον αὐτὴν καὶ καθαρὰν πάντῃ φυ-
λακτέον, μηδὲν κοινωνοῦσαν ταῖς σαρκὸς ἀκαθαρσίαις, ἀλλ᾽ ἔσω κατὰ πρόςωπον τοῦ
μαρτυρίου σοφίᾳ κεχρυσωμένην εἰς τὰ ἅγια τῶν ἁγίων ἱδρῦσθαι, τὴν εὐωδίαν τῆς
ἀγάπης ἀναθυμιῶσαν κυρίῳ. „ποιήσεις“ γάρ „μοι“ φησί „μετὰ τὸ θυσιαστήριον Exod. 30, 1
τὸ περικεχαλκωμένον (εἰς ὃ τὰ ὁλοκαυτώματα ἀνεκομίζοντο καὶ αἱ προςφοραί) ἄλλο —9.
θυσιαστήριον ἐξ ἀσήπτων ξύλων, καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ, καὶ δώσεις αὐτὸ 127
ἀπέναντι τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου κατὰ πρόςωπον
τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ. καὶ θυ-
μιάσει ἐπ᾽ αὐτοῦ Ἀαρὼν θυμίαμα ἀρωμάτων ἐν πρωΐ, ὅτε ἀγαθύνῃ τοὺς λύχνους·
θυμιάσει ἐπ᾽ αὐτοῦ θυμίαμα διαπαντὸς ἔναντι κυρίου εἰς τὰς γενεὰς ὑμῶν. οὐκ
ἀνοίσεται ἐπ᾽ αὐτοῦ θυμίαμα ἀλλότριον καὶ ὁλοκαύτωμα· θυσίαν καὶ σπονδὴν οὐ
σπείσεται ἐπ᾽ αὐτοῦ.“

VII. Εἰ ὁ νόμος ἐστὶ κατὰ τὸν ἀπόστολον πνευματικός, τὰς εἰκόνας ἐμπεριέχων Hebr. 10, 1.
τῶν μελλόντων ἀγαθῶν, φέρε δὴ ἀπαμφιάσασαι τὸ ἐπ᾽ αὐτῷ κάλυμμα τοῦ γράμμα- 128
τος ἐφηπλωμένον ἐπισκεψώμεθα γυμνῶς τὴν ἀκρίβειαν. μίμημα τῆς ἐκκλησίας ἐκε-
λεύοντο δαιδάλλειν Ἑβραῖοι τὴν σκηνήν, ἵν᾽ ἔχοιεν διὰ τῶν αἰσθητῶν εἰκόνα τῶν
θείων προκαταγγέλλειν πραγμάτων. τὸ γὰρ ἐν τῷ ὄρει παράδειγμα παρενεχθέν, Exod. 25, 40.
πρὸς ὃ βλέπων ἐτεκτήνατο τὴν σκηνὴν ὁ Μωυσῆς, ἰδέα τις ἦν τῆς κατ᾽ οὐρανὸν οἰκή-
σεως ἀκριβής, ἣν ἡμεῖς τρανότερον μὲν τῶν τύπων, ἀμαυρότερον δὲ τῆς ἀληθείας
θεραπεύομεν νῦν. ἦλθε γὰρ ἀκραιφνὲς εἰς ἀνθρώπους, ὥςπερ ἔοικεν, οὔπω τὸ ἀλη-
θές, οἳ μηδὲ φέρομεν ἄκρατον ἐνταῦθα θεάσασθαι τὴν ἀφθαρσίαν, ὁπότε μηδὲ τὰς 129
ἡλιακὰς φέρομεν ἀνέδην ἰδεῖν ἀκτῖνας. ἀλλ᾽ Ἰουδαῖοι μὲν τὴν σκιὰν τῆς εἰκόνος τρί-
την ἀπὸ τῆς ἀληθείας κατηγγέλκασιν, ἡμεῖς δὲ τὴν εἰκόνα τῆς κατ᾽ οὐρανὸν διοική-
σεως ἐναργῶς ἐκθειάζομεν. τὸ γὰρ ἀληθὲς ἀκριβῶς μετ᾽ ἀνάστασιν δηλωθήσεται,
ὁπότε πρόςωπον κατὰ πρόςωπον τὴν ἁγίαν σκηνήν, τὴν πόλιν τὴν ἐν οὐρανοῖς, ἧς
τεχνίτης καὶ δημιουργὸς ὁ θεός, ἀλλ᾽ οὐ δι᾽ αἰνιγμάτων καὶ ἐκ μέρους ἐποπτεύσομεν. 1 Cor. 13, 12.

1) Hanc vocis σίκερα interpretationem Photius cod. 237, p. 309, b. 3. 4. contractam exhibet.

VIII. Ἰουδαῖοι μὲν γὰρ τὰ ἡμέτερα προανεφώνησαν, ἡμεῖς δὲ τὰ οὐράνια προαγ-
γέλλομεν, ἐπειδήπερ ἡ μὲν σκηνὴ σύμβολον ἦν τῆς ἐκκλησίας, ἡ δὲ ἐκκλησία τῶν οὐ-
130 ρανῶν. διὸ τούτων οὕτως ἐχόντων καὶ τῆς σκηνῆς ἐν τύπῳ τῆς ἐκκλησίας, ὡς ἔφην,
λαμβανομένης χρὴ καὶ τὰ θυσιαστήρια σύνθημά τι τῶν κατὰ τὴν ἐκκλησίαν πραγμάτων
φέρειν, καὶ τὸ μὲν περικεχαλκωμένον ἀπεικάζεσθαι τῇ γερουσίᾳ καὶ τῷ περιβόλῳ τῶν
χηρῶν (θεοῦ γάρ εἰσιν ἔμψυχος βωμός, εἰς ὃν ἀνακομίζοντες τοὺς μόσχους καὶ τὰς
δεκάτας καὶ τὰ ἑκούσια θυσίαν τελοῦμεν κυρίῳ), τὸ δὲ περίχρυσον θυσιαστήριον ἔνδον
ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἀνακείμενον κατὰ πρόσωπον τοῦ μαρτυρίου, εἰς ὃ ἀπείρηται
θυσίαν καὶ σπονδὴν ἀναφέρεσθαι, ταῖς ἐν παρθενίᾳ παραβλητέον, τῷ ἀκηράτῳ χρυσῷ
τὰ ἄσηπτα συνουσίας σώματα κατησφαλισμέναις. δύο γὰρ τὰ εἰς ἔπαινον θρυλλοῦνται
131 χρυσοῦ, ὅτι τε [1] ἰὸν οὐ παραδέχεται καὶ τὴν χροιὰν ταῖς ἡλίου μετρίως παραπλησιάζειν
φαντάζεται βολαῖς· σύμβολον δὲ εἰκότως ἄρα τοῦτο τῆς ἁγνείας τῆς μὴ προσιεμένης
ἐστὶ κηλῖδα καὶ σπῖλον, ἀλλὰ καὶ φωτὶ καταστραπτομένης ἀεὶ τοῦ λόγου. διὸ καὶ
ἔνδον εἰς τὰ ἅγια τῶν ἁγίων ἕστηκε πλησιαίτερον καὶ ἔμπροσθεν τοῦ παραπετάσματος,
ἀχράντοις χερσὶ θυμιαμάτων δίκην τὰς προσευχὰς ἀναπέμπουσα κυρίῳ, δεκτὰς εἰς
Apoc. 5, 8. ὀσμὴν εὐωδίας, καθὼς καὶ Ἰωάννης ἐμήνυσε, τὰ θυμιάματα τὰ ἐν ταῖς φιάλαις τῶν
εἰκοσιτεσσάρων πρεσβυτέρων προσευχὰς ἁγίων εἶναι φράσας.
132 Ταῦτά σοι ὡς ἐκ τοῦ παραχρῆμα κἀγὼ κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή,
συμβάλλομαι.

Λόγος ϛ'.

Ἀγάθη.

I. Εἰπούσης δὲ ταῦτα τῆς Θαλλούσης ἡ Θεοπάτρα ἔφη τῷ σκήπτρῳ τὴν Ἀρετὴν
ψαῦσαι τῆς Ἀγάθης, τὴν δ' αἰσθομένην εὐθέως ἀναστῆναι καὶ ἀποκρίνασθαι ὅτι Μετὰ
πολλῆς εὐτολμίας καὶ πειθοῦς καὶ τῆς τοῦ καλῶς εἰπεῖν ὑπολήψεως, ὦ Ἀρετή, σοῦ
παρομαρτούσης πειράσομαι δὴ κατὰ δύναμιν κἀγὼ εἰς τὸ προκείμενον εἰσενέγκασθαί
τι, κατ' ἐμαυτὴν μέντοι καὶ οὐ πρὸς τὰ εἰρημένα. οὐ γὰρ ἂν δυναίμην ἐφάμιλλα τού-
τοις οὕτω ποικίλως καὶ λαμπρῶς ἀπειργασμένοις φιλοσοφεῖν· δόξω γὰρ ἀποφέρεσθαι
ψόγον ἀβελτηρίας, εἰ τοῖς κατὰ σοφίαν ἐξισάζεσθαι κρείττοσι προσπηδῴην. εἰ οὖν
133 ἀνέξεσθε καὶ τῶν ὅπως ἂν τύχῃ ῥητορευόντων, ἐπιχειρῶ λέγειν, οὐδὲν προθυμίας κα-
θυφειμένη. ἀρκτέον δὲ ἐντεῦθεν.
Ἀμήχανον, ὦ παρθένοι, κάλλος καὶ συγγενὲς τῇ σοφίᾳ καὶ πρόσφορον ἅπαντες εἰς
τὸν κόσμον κεκτημένοι τοῦτον ἀφικνούμεθα. ἀπηκρίβωνται γὰρ αἱ ψυχαὶ τῷ γεννή-
σαντι τότε μάλιστα καὶ πλασαμένῳ, ὁπότε τὴν καθ' ὁμοίωσιν ἰδέαν ἄχραντον ἐκλάμ-
πουσαι καὶ τοὺς χαρακτῆρας τῆς ὄψεως ἐκείνης, πρὸς ἣν ἀφορῶν ὁ θεὸς ἀθάνατον
μορφὴν καὶ ἀνώλεθρον ἐχούσας αὐτὰς ἀπειργάζετο, τοιαῦται διαμένουσι. τὸ γὰρ ἀγέν-
134 νητον κάλλος καὶ ἀσώματον καὶ μήτε ἀρχόμενον μήτε φθῖνον, ἀλλ' ἄτρεπτον καὶ ἀγή-
ρων καὶ ἀπροσδεὲς αὐτὸς ἐν ἑαυτῷ καὶ [εἰς] αὐτόφως ἐν ἀφράστοις καὶ ἀπροσίτοις
ἀναπαυόμενον, ἐξουσίας περιουσίᾳ πάντα περιέχων καὶ κτίζων καὶ μετασκευάζων ἐτε-
κτήνατο κατ' εἰκόνα τῆς εἰκόνος ἑαυτοῦ τὴν ψυχήν. διὸ καὶ λογικὴ καὶ ἀθάνατός ἐστι·
κατ' εἰκόνα γὰρ δημιουργηθεῖσα τοῦ μονογενοῦς, ὡς ἔφην, ἀνυπέρβλητον ἔχει τὸ κάλ-
Ephes. 6, 12. λος. διὸ δὴ καὶ τὰ πνευματικὰ τῆς πονηρίας ἐρῶσιν αὐτῆς καὶ ἐφεδρεύουσι, χρᾶναι
βιαζόμενα τὴν θεοείκελον αὐτῆς ἐκείνην καὶ ἐπέραστον ἰδέαν, ὥσπερ δὴ καὶ ὁ προφή-
135 της Ἱερεμίας παρίστησιν ὀνειδίζων Ἱερουσαλὴμ „ὄψις πόρνης ἐγένετό σοι· ἀπηναισχύν-
Jerem. 3, 3. τησας ἀπέναντι τῶν ἐραστῶν σου,“ τὴν παρασχοῦσαν ἑαυτὴν ταῖς ἀντικειμέναις δυνά-
μεσιν εἰς βεβήλωσιν λέγων. ἐρασταὶ γάρ εἰσιν ὁ διάβολος καὶ οἱ περὶ αὐτὸν ἄγγελοι,
οἱ τὸ λογικὸν ἡμῶν καὶ διορατικὸν τῆς φρονήσεως κάλλος μιαίνειν καὶ μολύνειν τῇ
ἑαυτῶν ἐπιμιξίᾳ τεχναζόμενοι καὶ μοιχοὶ γενέσθαι πάσης τῆς τῷ κυρίῳ νενυμφευμένης
ἐπιθυμοῦντες ψυχῆς.
II. Ἐὰν οὖν ἀμόλυντον τοῦτο τηρήσῃ τις τὸ κάλλος καὶ ἀσινὲς καὶ τοιοῦτον, ὁποῖον
αὐτὸς ὁ συστησάμενος αὐτὸ καὶ ζωγραφήσας ἀπετύπωσε, τὴν αἰώνιον ἀπομιμησάμενος
φύσιν καὶ νοητήν, ἧς καὶ χαρακτήρ ἐστιν ὁ ἄνθρωπος καὶ ἀπεικόνισμα, γεγονὼς οἷον
136 ἄγαλμά τι περικαλλέστατον καὶ ἱερόν· ἐντεῦθεν μετενεχθεὶς εἰς τὴν μακάρων πόλιν
τοὺς οὐρανούς, ὥσπερ ἐν ναῷ κατοικισθήσεται. ἄχραντον γὰρ τὸ κάλλος ἡμῶν ἄριστα
τότε τηρεῖται καὶ ἀσφαλῶς, ὁπόταν δὴ παρθενίᾳ σκεπόμενον ὑπὸ τοῦ καύσωνος ἔξωθεν
μὴ μελαίνηται τῆς φθορᾶς, ἀλλ' αὐτὸ ἐφ' ἑαυτῷ μένον δικαιοσύνῃ κοσμῆται, νυμφαγω-
Matth. 25, 1. γούμενον τῷ υἱῷ τοῦ θεοῦ ὃν τρόπον δὴ καὶ αὐτὸς εἰσηγεῖται, χρῆναι παραινῶν ὥσπερ

1) Hanc auri laudem Photius cod. 237. p. 309, b. 11. consignavit.

ἐν λαμπάσι ταῖς σφετέραις σαρξὶ τὸ φῶς ἀνακαίεσθαι τῆς ἁγνείας, ἐπειδήπερ ὁ τῶν
δέκα παρθένων ἀριθμὸς τὰς εἰς Χριστὸν Ἰησοῦν πεπιστευκυίας ἀριθμεῖσθαι βούλεται
ψυχάς, τῷ Ι' τὴν ἀπευθύνουσαν μόνην ὁδὸν εἰς τοὺς οὐρανοὺς ἀποτυπούμενος. ἀλλ' 137
αἱ μὲν πέντε ἔμφρονες ἐτύγχανον ἄρα καὶ σοφαί, αἱ δὲ πέντε μωραὶ καὶ ἄσοφοί τινες·
οὐ γὰρ ἐπρομηθεύσαντο ἐλαίου σφῶν τὰ ἀγγεῖα πλήρη παρασκευάσαι, δικαιοσύνης
ἀπομείνασαι κεναί. αἰνίσσεται γὰρ διὰ τούτων τὰς ἐπὶ πέρατα παρθενίας ἐπισπερχομένας
ἐλθεῖν καὶ πάντα εἰς τὸ πληρωθῆναι συντείνοντα τὸν ἔρωτα τοῦτον κοσμίως
δρώσας καὶ σωφρόνως, καὶ τὰς ἐπαγγελλομένας μὲν καὶ σεμνυνομένας τοῦτο σκοπεῖν,
ὀλιγωρούσας δὲ καὶ ἡττωμένας τοῦ κόσμου ταῖς ἐξαλλαγαῖς καὶ ὥςπερ σκιαγραφούσας
μᾶλλον εἴδωλον ἀρετῆς ἢ αὐτὴν ἐργαζομένας ἔμπνουν τὴν ἀλήθειαν.

III. [1] Τὸ γὰρ λεγόμενον ὡμοιῶσθαι τὴν βασιλείαν τῶν οὐρανῶν δέκα παρθένοις, Matth. 25, 1.
αἵτινες ἔλαβον τὰς λαμπάδας αὐτῶν καὶ ἐξῆλθον ἀπαντήσουσαι τῷ νυμφίῳ, σημαίνειν 138
βούλεται τὴν αὐτὴν ὁδὸν τοῦ ἐπιτηδεύματος πάσας ἐπανῃρημένας, διὰ τὴν ἔμφασιν τοῦ Ι'
στοιχείου. ἐστείλαντο μὲν γὰρ παραπλησίως ἑαυτὰς εἰς τοῦτο καθομολογήσασαι, καὶ
ταύτῃ κικλήσκονται δέκα, ἐπειδὴ τὴν αὐτήν, ὡς ἔφην, εἵλοντο πρόθεσιν· οὐκέτι δὲ
ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ. αἱ μὲν γὰρ τροφὴν ἄφθονον καὶ εἰςαῦθις
ἐπορίσαντο ταῖς ἐλαιοθρέπτοις λαμπάσιν, αἱ δὲ κατεῤῥᾳθύμησαν, τοῦ παρόντος μόνον
ἐπιμεληθεῖσαι. διὸ δὴ καὶ ἰσάριθμοι πρὸς πέντε διαιροῦνται, ἐπειδήπερ τὰς πέντε
αἰσθήσεις αἱ μὲν αὐτῶν ἐφυλάξαντο καθαρὰς καὶ παρθένους ἁμαρτημάτων, ἃς οἱ πλεῖ- 139
στοι σοφίας προςηγόρευσαν πύλας, αἱ δὲ τοὐναντίον πλήθεσιν ἀδικημάτων ἐλωβήσαντο
φυράσασαι κακίᾳ. ἐγκρατευσάμεναι γὰρ καὶ ἁγνεύσασαι δικαιοσύνης εὐφόρησαν μᾶλλον
παραπτώμασιν· ἐξ οὗ δὴ καὶ συνέβη τῶν θείων ἔξω περιβόλων ἀποκλεισθείσας ἀπαγορευθῆναι.
εἴτε γὰρ κατορθοῦμεν εἴτε πλημμελοῦμεν, διὰ τούτων ἑκάτερα καὶ τὰ
ἀνδραγαθήματα κρατύνεται καὶ τὰ κακοπραγήματα. καὶ ὥςπερ ἡ Θάλλουσα καὶ ὀφθαλμῶν
ἔφη καὶ ὤτων ἁγνείαν εἶναι καὶ γλώσσης καὶ τῶν λοιπῶν καθεξῆς αἰσθητηρίων,
οὕτω δὴ καὶ ἐνταῦθα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν πέντε διόδων τῆς ἀρετῆς,
ὁράσεως, γεύσεως, ὀσφρήσεως, ἁφῆς τε καὶ ἀκοῆς, πέντε προςαγορεύονται παρθένοι, διὰ 140
τὸ τὰς πέντε τῆς αἰσθήσεως ἁγνὰς ἀποκαταστῆσαι τῷ Χριστῷ φαντασίας, ἀφ' ἑκάστης
αὐτῶν οἷα λαμπάδα τὴν ὁσιότητα λάμπουσαν τρανῶς. ἡ γὰρ πεντάφωτος ἡμῶν ὡς ἀληθῶς
λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα δᾳδὸς δίκην τῷ νυμφίῳ παρίσταται
Χριστῷ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, παραφαίνουσα διὰ πασῶν τῶν αἰσθήσεων διεκθρώσκουσαν
λαμπρὰν τὴν πίστιν, καθὼς αὐτὸς ἐδίδαξεν εἰπὼν „πῦρ ἦλθον βαλεῖν εἰς τὴν Luc. 12, 49.
γῆν, καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη;“ γῆν ἡμῶν τὰ σκηνώματα φράσας, εἰς ἃ ἐβούλετο
ταχέως ἀναφθῆναι τὴν ὀξυκίνητον τῆς διδασκαλίας αὐτοῦ καὶ διάπυρον πρᾶξιν. τὸ 141
γὰρ ἔλαιον τῇ σοφίᾳ καὶ τῇ δικαιοσύνῃ παραβλητέον· ἀνομβρούσης γὰρ ταῦτα τῆς
ψυχῆς ἀφθόνως καὶ ἐπιχεούσης τῷ σώματι εἰς ὕψος ἀναφλέγεται τῆς ἀρετῆς ἄσβεστον
τὸ φῶς, ἔμπροσθεν τῶν ἀνθρώπων ἐκλάμπον τὰς πράξεις τὰς καλάς, ὡς δοξασθῆναι Matth. 5, 6.
τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς.

IV. Τοιοῦτον ἔλαιον ἄρα κἀκεῖνοι προσέφερον ἐν τῷ Λευϊτικῷ, „ἄτρυγον ἔλαιον, Levit. 24, 2.
καθαρόν, κεκομμένον καῦσαι λύχνον ἔξω τοῦ καταπετάσματος ἔναντι κυρίου.“ ἀλλ'
ἐκείνοις μὲν βραχύτατον φῶς προςτέτακτο θεραπεύειν ἀφ' ἑσπέρας εἰς ἕω. ὁ γάρ τοι
λύχνος αὐτῶν ἔοικεν εἰκάζεσθαι τῷ λόγῳ τῷ προφητικῷ τὴν ἐπὶ σωφροσύνῃ φαίνοντι
παῤῥησίαν, τρεφόμενος ἀπὸ τῶν πράξεων καὶ τῆς πίστεως τοῦ λαοῦ, ὁ δὲ ναὸς τῷ 142
σχοινίσματι τῆς κληρονομίας, ἐπειδήπερ λύχνος περὶ οἶκον ἕνα μόνον δύναται φαίνειν.
πρὸ τῆς ἡμέρας οὖν ἐχρῆν τοῦτον καίεσθαι τὸν λύχνον· „καύσουσι“ γάρ „αὐτόν“ Ps. 104, 11.
φησίν „ἕως πρωΐ,“ τουτέστιν ἕως παρουσίας τοῦ Χριστοῦ, ὅτι τοῦ ἡλίου τῆς ἁγνείας Levit. 24, 3.
ἀνατείλαντος καὶ τῆς δικαιοσύνης οὐ χρεία λύχνου. ὅσον μὲν οὖν ὁ λεὼς ἐκεῖνος χρό- Malach. 4, 2.
νον ἀπεθησαύριζε τὰ τρέφοντα τὸν λύχνον ἐπιχορηγῶν τὸ ἔλαιον διὰ τῶν ἔργων, ὁ
λύχνος αὐτοῖς οὐκ ἔσβεστο τῆς σωφροσύνης, ἀλλ' ἦν φαινόμενος ἀεὶ καὶ λάμπων ἐν
τῷ σχοινίσματι τῆς κληρονομίας· ὅτε δὲ ἐπέλιπε τὸ ἔλαιον ἀπὸ τῆς πίστεως εἰς 143
ἀκολασίαν αὐτῶν ἐκτροπαλιζομένων, ὁ λύχνος ἄρδην ἀπεσβέσθη, ἵνα δὴ πάλιν ἐξαστράψωσι
τὰς λαμπάδας ἐπαλλήλοις διαδοχαῖς ἄνωθεν αἱ παρθένοι τῷ κόσμῳ πυρσεύουσαι
τὴν ἀφθαρσίαν. χορηγητέον οὖν δὴ τὸ ἄτρυγον ἔλαιον καὶ νῦν τῶν καλῶν
ἔργων ἀδεῶς καὶ τῆς συνέσεως, πάσης κάτω βριθούσης ἀφυλισμένον φθορᾶς, ἵνα
μὴ χρονίσαντος τοῦ νυμφίου σβεσθῶσιν ὁμοίως καὶ ἡμῶν αἱ λαμπάδες. ὁ γάρ τοι
χρονισμός ἐστι τὸ πρὸ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ, ὁ δὲ νυσταγμὸς καὶ ἡ
κοίμησις τῶν παρθένων ἡ ἔξοδος ἀπὸ τοῦ βίου, τὸ δὲ μεσονύκτιον ἡ βασιλεία τοῦ

1) Apud Phot. cod. 237. p. 309, b. 12. — p. 310, a. 13. haec usque ad illa: (p. 144) εἰς τὴν ἀπάντησιν ἁρπασθέντες τοῦ κυρίου. omissis in medio positis illis: (p. 141) ἀνομβρούσης γὰρ ταῦτα .. (p. 143) .. καὶ ἡμῶν αἱ λαμπάδες, in compendium relata reperiuntur.

Exod. 11, 4. ἀντιχρίστου, καθ' ἣν ὁ ὀλοθρευτὴς ἄγγελος ἐπιπορεύεται τὰς οἰκίας. ἡ δὲ κραυγὴ ἡ
Matth. 25, 6. γενομένη καὶ λέγουσα „ἰδοὺ ὁ νυμφίος ἔρχεται· ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ“ ἔστιν
144 ἡ φωνὴ ἡ ἀπὸ τῶν οὐρανῶν καὶ ἡ σάλπιγξ, ὁπότε πάντες ἐξαναστάντων αὐτοῖς οἱ
ἅγιοι τῶν σωμάτων ἐπὶ νεφελῶν οἰχήσονται, εἰς τὴν ἀπάντησιν ἁρπασθέντες τοῦ κυρίου.
Matth. 25, 7. προσεκτέον γὰρ ὅτι μετὰ τὴν κραυγὴν ἐγηγέρθαι πάσας ἔφη τὰς παρθένους ὁ λόγος,
τουτέστι μετὰ τὴν ἐκ τῶν οὐρανῶν ἐνεχθεῖσαν βοὴν ἀναστήσεσθαι τοὺς νεκρούς, ὥς
1 Thess. 4, 16. 17. που καὶ Παῦλος παρεγγυᾷ ὅτι „αὐτὸς ὁ κύριος“ λέγων „ἐν κελεύσματι, ἐν φωνῇ ἀρ-
χαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ
ἀναστήσονται πρῶτον“ (τουτέστι τὰ σκηνώματα· ἐνεκρώθησαν γὰρ ἀπαμφιασθέντα
145 τῶν ψυχῶν)· „ἔπειτα ἡμεῖς οἱ ζῶντες ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα,“ τὰς ψυχὰς λέ-
γων· ἡμεῖς γὰρ κυρίως οἱ ζῶντές ἐσμεν αἱ ψυχαί, αἵτινες μετὰ τῶν σωμάτων, ἀπει-
λήφυῖαι ταῦτα, ἐν νεφέλαις ἀπαντησόμεθα τὰς λαμπάδας φέρουσαι κεκοσμημένας οὐκ
ἀλλοτρίῳ καὶ κοσμικῷ κόσμῳ τινί, ἀλλὰ τῷ φρονήσεως καὶ σωφροσύνης, ἄστρων δίκην
ἀποστιλβόντων σέλας αὐγῆς αἰθερίου πεπληρωμένον.

V. Ταῦτα τῶν ἡμετέρων, ὦ καλλιπάρθενοι, τὰ ὄργια μυστηρίων· αὗται τῶν ἐν
Sap. 4, 2. παρθενίᾳ μυσταγωγηθέντων αἱ τελεταί· ταῦτα τὰ ἐπίχειρα τῶν ἀμιάντων ἄθλων τῆς
σωφροσύνης. νυμφεύομαι τῷ λόγῳ καὶ τὸν ἀΐδιον τῆς ἀφθαρσίας προῖκα λαμβάνω
146 στέφανον καὶ πλοῦτον παρὰ τοῦ πατρός, καὶ ἐν τοῖς αἰῶσι στεφανηφοροῦσα πομπεύω
τὰ λαμπρὰ καὶ ἀμάραντα τῆς σοφίας ἄνθη· συγχορεύω βραβεύοντι τῷ Χριστῷ κατ'
οὐρανὸν ἀμφὶ τὸν ἄναρχον καὶ ἀνώλεθρον βασιλέα· ἀδύτων γέγονα λαμπαδηφόρος
φώτων καὶ ἐφυμνῶ τὸ καινὸν μετὰ τῆς ὁμηγύρεως ᾆσμα τῶν ἀρχαγγέλων, τὴν καινὴν
χάριν ἐξαγγέλλουσα τῆς ἐκκλησίας· ξυνέπεσθαι γὰρ ἀεὶ τὸν ὅμιλον τῶν παρθένων τῷ
κυρίῳ καὶ συνθιασωτεύειν ἔνθα ἂν εἴη λόγος ἔχει. τοῦτο καὶ Ἰωάννης ἐν τῇ τῶν ἑκα-
Apoc. 7, 4. τὸν χιλιάδων καὶ τεσσαράκοντα καὶ τεσσάρων αἰνίσσεται μνήμῃ. ἴτε οὖν, ὦ νεολαία
τῶν καινῶν αἰώνων, ἴτε τὰ ἀγγεῖα πληρώσατε σφῶν δικαιοσύνης· ὥρα γὰρ λοιπὸν ἐξε-
147 γείρεσθαι καὶ ὑπαντιάζειν τῷ νυμφίῳ. ἴτε τὰς ἴυγγας καὶ τὰ θέλγητρα κούφως παρα-
μείψασαι τοῦ βίου τὰ περιδινοῦντα καὶ γοητεύοντα τὴν ψυχήν· τεύξεσθε γὰρ τῶν
ἐπαγγελμάτων,

ναὶ μὰ τὸν ἁμετέρας ζωᾶς δείξαντα κέλευθον.

*Σοὶ τόνδε πλεκτὸν στέφανον ἐκ τῶν προφητικῶν λειμώνων, ὦ Ἀρετή, κἀγὼ κοσμή-
σασα προσφέρω.*

*Διαπεραναμένης οὖν ἄριστα καὶ Ἀγάθης, ἔφη, τὸν λόγον καὶ εὐδοκιμησάσης ἐφ'
οἷς ἠγόρευσε, πάλιν ἡ Ἀρετὴ τὴν Προκίλλαν ἐκέλευσε λέγειν.*

Λόγος ζ'.

Πρόκιλλα.

148 1. Ἡ δὲ ἀναστᾶσα καὶ ἔμπροσθεν παρελθοῦσα τῆς κλισιάδος ἔλεξε τοιάδε· Ἀποῤ-
ῥαθυμεῖν καὶ μετὰ τοσούτους οὐ θέμις μοι λόγους, ὦ Ἀρετή, ἀναμφισβητήτως πεπι-
στευκυῖαν τῇ πολυποικίλῳ σοφίᾳ τοῦ θεοῦ, πλουσίως ἐχούσῃ διδόναι καὶ διαφόρως
ὅτῳ βούλεται. καὶ γὰρ πελάγιοι πλωτῆρές φασι φέρεσθαι μὲν τοῖς ναυτιλλομένοις τὸ
αὐτὸ πνεῦμα, ἄλλους δὲ τὰ περὶ τὸν πλοῦν ἀλλοίως αὐτῶν μεταχειριζομένους οὐκ εἰς
τὴν αὐτὴν εἰσορμίσασθαι σπεύδειν· οἷς μὲν γὰρ τὸ πνεῦμα κατὰ πρύμναν οὔριον ἵστα-
ται, τοὺς δὲ καὶ ἐξ ἐγκαρσίων φέρει, καὶ ὅμως ἑκατέροις ὁ πλοῦς ἀνύεται ῥᾷστα.
ἀτὰρ δὴ καὶ τὸ τῆς σοφίας νοερὸν πνεῦμα καὶ ἅγιον καὶ μονογενές, ἀπὸ τῶν πατρῴων
149 ἄνωθεν πρᾴως καταπνεόμενον θησαυρῶν, πάσαις ἡμῖν λιγυρὸν οὖρον πνεῦσαν γνώσεως
Sap. 7, 22. ἐπαρκέσει τὸν δρόμον ἀλύπως ἀπευθῦναι τῶν λόγων· ἐμοὶ γὰρ καιρὸς ἤδη λέγειν.

Εἷς τρόπος ἀληθὴς ἐπαίνων οὗτός ἐστιν, ὦ παρθένοι, καὶ σεμνός, ὁπόταν ὁ ἐπαι-
νῶν τοῦ ἐπαινουμένου καὶ τῶν ἐπαίνων κρείττω παρέχῃ μάρτυρα· πάρεστι γὰρ ἐντεῦ-
θεν μαθεῖν ἀκριβῶς ὅτι μὴ πρὸς χάριν μηδὲ ἐξ ἀνάγκης μηδὲ κατὰ δόξαν ἡ εὐφημία
γίνεται τῶν λόγων, ἀλλὰ κατὰ ἀλήθειαν καὶ ἀθώπευτον κρίσιν. καὶ γὰρ οἱ πληρέ-
στερον εἰσηγησάμενοι περὶ τοῦ υἱοῦ τοῦ θεοῦ προφῆται καὶ ἀπόστολοι καὶ μᾶλλον
αὐτὸν τῶν ἄλλων θεολογήσαντες ἀνθρώπων οὐκ εἰς ἀγγελικὴν ἀνήγαγον αὐτῷ ῥῆσιν
150 τοὺς ἐπαίνους, ἀλλ' εἰς αὐτὸν τὸν ἀνημμένον πάντων τὸ κῦρος καὶ τὸ κράτος· ἦν γὰρ
Joann. 14, 28. ἐμπρεπὲς τὸν ἁπάντων μείζονα τῶν ἄλλων μετὰ τὸν πατέρα μόνῳ τῷ ἑαυτοῦ μείζονι
πατρὶ χρήσασθαι μάρτυρι. καὶ δὴ καὶ τῆς ἁγνείας οὐκ εἰς ἀνθρωπίνην ἀνοίσω κἀγὼ
δόξαν τοὺς ἐπαίνους, ἀλλ' εἰς αὐτόν, ᾧ μέλομεν καὶ ὃς τὸ πᾶν ἀνήρτηται, γεωργὸν
αὐτῆς ἀποδεικνύουσα τοῦτον καὶ ἐραστὴν τῆς ὥρας ὄντα καὶ ἀξιόχρεων μάρτυρα. καὶ
τοῦτο καὶ ἐν τῷ τῶν ᾀσμάτων Ἄισματι πάρεστι διαθρῆσαι τῷ βουλομένῳ φανερῶς,
Cant. 2, 2. ἔνθα αὐτὸς ὁ Χριστὸς τὰς ἐν παρθενίᾳ παγίως καταγεγενημένας ἐγκωμιάζων φησί „ὡς

κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἐν μέσῳ τῶν θυγατέρων," κρίνῳ πα-
ρεικάζων διὰ τὸ καθαρὸν καὶ εὔπνουν καὶ ἡδὺ καὶ ἱλαρὸν τὸ χάρισμα τῆς ἁγνείας· 151
ἐαρινὸν γὰρ ἡ ἁγνεία καὶ ἐπανθοῦν ἁβρῶς ἀεὶ λευκοῖς τοῖς κάλυξι τὴν ἀφθαρσίαν.
ὅθεν δὴ καὶ ἐρᾶσθαι τοῦ κάλλους τῆς ἀκμῆς αὐτῆς ὁμολογεῖν οὐκ ἐπαισχύνεται, „ἐκαρ- Cant. 4, 9—12.
δίωσας ἡμᾶς" ἐν τοῖς ἑξῆς „ἀδελφή μου νύμφη," λέγων „ἐκαρδίωσας ἡμᾶς ἐν ἑνὶ ἀπὸ
ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλου σου. ὅτι ἐκαλλιώθησαν μαστοί σου, καὶ
ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα ἀρώματα. κηρίον ἀποστάζουσι χείλη σου, νύμφη· μέλι
καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. κῆπος κε-
κλεισμένος, ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη." ταῦτα Χρι- 152
στὸς ταῖς ἐπὶ πέρατα παρθενίας ἐλθούσαις τὰ ἐγκώμια ψάλλει, πάσας ἑνὶ περιγράψας
τῷ νύμφης ὀνόματι, ἐπειδὴ τὴν νύμφην ἡρμόσθαι μὲν δεῖ καὶ κατωνομάσθαι τῷ μνη-
στευσαμένῳ, ἄχραντον δὲ ἔτι καὶ ἀμιγῆ τυγχάνειν, παράδεισον ὥσπερ ἐσφραγισμένην,
ἐν ᾧ πάντα τῆς εὐωδίας τῶν οὐρανῶν φύει τὰ ἀρώματα, ἵνα μόνος ἐλθὼν αὐτὰ δρέ-
ψηται Χριστὸς ἀσωμάτοις βλαστήσαντα σποραῖς. ἐρᾷ γὰρ ὁ λόγος οὐδενὸς τῶν σαρ-
κός, ὅτι μὴ πέφυκεν ἀποδέχεσθαί τι τῶν φθειρομένων, οἷον χεῖρας ἢ πρόσωπον ἢ
πόδας, ἀλλ' εἰς αὐτὸ τὸ ἄϋλον καὶ πνευματικὸν βλέπων εὐφραίνεται κάλλος, μὴ ἀπτό-
μενος τοῦ σώματος τῆς ὥρας. 153

II. Ἐπισκέψασθε γὰρ ὅτι τό „ἐκαρδίωσας ἡμᾶς," ὦ παρθένοι, λεγόμενον πρὸς
αὐτοῦ τῇ νύμφῃ, „ἐν ἑνὶ ἀπὸ ὀφθαλμῶν σου" τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν
δείκνυσιν, ὁπότε δὴ τοῦτον ὁ ἔσω σμήξας ἄνθρωπος καθαρῶς τρανότερον τὴν ἀλήθειαν
ἐποπτεύει· δισσὴν γὰρ ὄψεως εἶναι δύναμιν παντί που καταφανές, μίαν μὲν ψυχῆς,
θατέραν δὲ σώματος. ἀλλ' οὐχὶ τῆς τοῦ σώματος ἐρᾶν ὁ λόγος ὁμολογεῖ, ἀλλὰ τῆς
κατὰ διάνοιαν μόνον, „ἐν ἑνί" φάσκων „ἐκαρδίωσας ἡμᾶς ἀπὸ ὀφθαλμῶν σου, καὶ
ἐν μιᾷ ἐνθέματι τραχήλου σου," ὅπερ ἐστίν· ὦ αὕτη, τῷ ἐπεράστῳ σου βλέμματι τῆς
συνέσεως ἀνεπτέρωσας ἡμῶν τὴν καρδίαν εἰς πόθον, ἔσωθεν τὸν ἀρίδηλον κόσμον ἐξα-
στράπτουσα τῆς σωφροσύνης. ἐνθέματα γὰρ τραχήλων καλεῖται τὰ περιδέραια, τὰ ἐκ 154
ποικίλων καὶ τιμίων συντιθέμενα λίθων. ἀλλ' αἱ μὲν σωμασκοῦσαι ψυχαὶ τὸν αἰσθη-
τὸν τουτονὶ κόσμον ἀμφὶ τὸν τράχηλον τὸν ἔξω τῆς σαρκὸς περιτιθέασι πρὸς ἀπάτην
τῶν θεωμένων, αἱ δὲ ἁγνεύουσαι ἔνδοθεν ἔμπαλιν τὸν κόσμον ἐξάπτονται, τὸν ἀπὸ
τῶν τιμίων καὶ ποικίλων ὡς ἀληθῶς συγκείμενον λίθων τῆς ἐλευθερίας, τῆς μεγαλο-
φροσύνης, τῆς σοφίας, τῆς ἀγάπης, ὀλίγα φροντίσασαι τῶν τῇδε ποικιλμάτων, ἃ φύλ-
λων δίκην πρὸς ὥραν θάλλοντα συναφαυαίνονται τοῦ σώματος ταῖς τροπαῖς. διπλοῦς
γὰρ ὁ περὶ τὸν ἄνθρωπον φαίνεται κόσμος, ὧν τὸν ἔνδον ὁ κύριος ἀποδέχεται, τὸν 155
ἀκήρατον, ἐν μιᾷ λέγων τραχήλων ἐνθέματι τῆς νύμφης κεκαρδιῶσθαι, οἱονεὶ τοῦ ἔσω-
θεν ἀνθρώπου τῆς καταστολῆς αἴγλην ἀποστίλβοντος ὠρέχθαι σημαίνων, ὥς που καὶ
ὁ ψαλμῳδὸς μαρτυρεῖ, „πᾶσα" λέγων „ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν." Psal. 44, 14.

III. Μὴ ὑπολαμβανέτω δέ τις ἀποκρίνεσθαι τὸν ἕτερον ὅμιλον τῶν πεπιστευκό-
των, δόξας ἡμᾶς τὰς παρθένους μόνας εἰςηγεῖσθαι τευξομένας τῆς ἐπαγγελίας, οὐ
συννοήσας ὅτι καὶ φυλαὶ καὶ πατριαὶ καὶ τάγματα κατ' ἀναλογίαν ἑκάστων ἔσονται
τῆς πίστεως. καὶ τοῦτο καὶ Παῦλος διαγράφει, „ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα 1 Cor. 15, 41.
σελήνης" λέγων „καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.
οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν." καὶ ὁ κύριος δὲ οὐ πᾶσι τὰς αὐτὰς ὁμολογεῖ 156
διδόναι τιμάς, ἀλλ' ἑτέρους μὲν ἐν βασιλείᾳ καταριθμεῖται τῶν οὐρανῶν, ἄλλοις Matth. 5, 3. 5. 8.
κληρονομίαν ἐπαγγέλλεται γῆς, ἑτέροις ὄψεσθαι τὸν πατέρα. καὶ δὴ καὶ ἐνταῦθα
πρῶτον τὸ τάγμα καὶ τὸν χορὸν τὸν ἅγιον αὐτῷ τῶν παρθένων ὥσπερ εἰς νυμφῶνα
τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων ἐφομαρτοῦντα συνειςελεύσεσθαι χρησμῳδεῖ. ἐμαρ-
τύρησαν γὰρ οὐ κατά τι μόριον χρόνου ἐν βραχεῖ καρτερήσασαι σωμάτων ἀχθηδό-
νας, ἀλλὰ διὰ παντὸς ἔτλησαν τοῦ βίου μὴ ἀποδειλιάσασαι τὸν ἀγῶνα τὸν Ὀλυμπια-
κὸν ἀληθῶς διαθλῆσαι τῆς ἁγνείας· βασάνοις τε γὰρ ἀγρίοις ἡδονῶν καὶ φόβοις καὶ
λύπαις ἀντισχοῦσαι καὶ τοῖς ἄλλοις τῆς πονηρίας τῶν ἀνθρώπων κακοῖς, ἀποφέρον- 157
ται τὰ γέρα πρῶται τῶν ἄλλων, εἰς τὸν ἀμείνω τῆς ἐπαγγελίας ἐκτασσόμεναι χῶρον.
[1] ἀμέλει ταύτας μόνον ἐκλεκτὴν νύμφην τὰς ψυχὰς καὶ γνησίαν ὁ λόγος ἑαυτοῦ καλεῖ,
τὰς δὲ λοιπὰς παλλακὰς καὶ νεανίδας καὶ θυγατέρας, λέγων ὧδε „ἑξήκοντά εἰσι βα- Cant. 6, 7. 8.
σίλισσαι καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεανίδες ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶ
περιστερά μου, τελεία μου· μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν. εἶδο- 158
σαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσιν αὐτήν, βασίλισσαι καί γε παλλακαὶ αἰνέσουσιν

1) Photius cod. 237. p. 310, a. 13. — p. 311, a. 19. haec usque ad illa: (p. 167) ὃ δή ἐστι τοῖς ἐπιτηδεύμασι τῆς ἀφθαρσίας fere ad verbum refert, omissis tamen istis: (p. 158) ἐὰν .. ἐκκλησίαν: (p. 159) τοιαῦτα .. (p. 160) .. ἑξήκοντα λεκτέον: (p. 161) καὶ πῶς ὁ ἄνθρωπος .. τῆς κακίας τοῦ σοφιστοῦ: (p. 162) καὶ πρῶτοι τῶν πρωτογόνων .. βλαστήσαντες καρπός: (ibid.) ἥτις αὐτοῦ .. καὶ βοηθός: (p. 165) ἑξήκοντα γάρ εἰσι ... τελεία μου: (p. 166) μόνη γὰρ .. καὶ ἑνωθεῖσαν.

αὐτήν.“ πολλῶν γὰρ οὐσῶν δηλονότι τῆς ἐκκλησίας τῶν θυγατέρων μία ἐστὶ μόνη
ἐκλεκτὴ καὶ τιμιωτάτη ἐν ὀφθαλμοῖς αὐτῆς ὑπὲρ πάσας, τὸ τάγμα τῶν παρθένων.

IV. Ἐὰν δέ τῳ περὶ τούτων ἀμφισβήτησις, ὡς οὐδέπω τῶν κεφαλαίων ἱκανῶς
ἐπεξειργασμένων, καὶ ἔτι βούλοιτο κατ᾽ ἀναγωγὴν αὐτῶν πνευματικὴν διαρθρωθῆναι
πληρέστερον τίνες εἰσὶν αἱ βασίλισσαι καὶ αἱ παλλακαὶ καὶ αἱ νεάνιδες, λέξομεν δύνα-
σθαι ταῦτα λελαλῆσθαι καὶ ἐπὶ τῶν ἐξ ἀρχῆς κατὰ πρόβασιν χρόνων ἐν δικαιοσύνῃ
διαπρεψάντων, οἷον τῶν πρὸ τοῦ κατακλυσμοῦ καὶ τῶν μετὰ τὸν κατακλυσμὸν καὶ τῶν
ἀπὸ τοῦ Χριστοῦ καθεξῆς· εἶναι γὰρ νύμφην μὲν τὴν ἐκκλησίαν, βασιλίσσας δὲ τὰς
βασιλικὰς ἐκείνας, τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχάς, εὐαρέστους τῷ θεῷ γεγενημένας,
159 τουτέστι τὰς ἀμφὶ τὸν Ἄβελ καὶ τὸν Σὴθ καὶ τὸν Ἐνώχ, παλλακὰς δὲ τὰς μετὰ τὸν
κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλ-
λακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόνῳ καὶ καθαρᾷ φιλο-
σοφίᾳ, ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν, πνεῦμα σωτηρίας. τοιαῦτα γὰρ ἀπο-
βλαστήματα φύουσιν αἱ ψυχαί, ἀείμνηστον φέροντα κλέος, ὁπόσαις ἂν ὁ Χριστὸς
συναναχραθῇ. εἰ γὰρ βούλεσθε εἰς Μωυσέως ἀποβλέψαι τὰς βίβλους ἢ Δαβὶδ ἢ Σο-
λομῶνος ἢ Ἡσαΐου ἢ τῶν καθεξῆς προφητῶν, ὦ παρθένοι, εἴσεσθε οἷα καταλελοί-
πασιν ἑαυτῶν ἔκγονα τῷ βίῳ σωτήρια διὰ τὴν πρὸς τὸν υἱὸν τοῦ θεοῦ κοινωνίαν.
160 ὅθεν τεθεωρημένως παλλακὰς προσηγόρευσε τὰς ψυχὰς τὰς προφητικὰς ὁ λόγος, ὅτι
μὴ φανερῶς αὐτὰς οὕτω καθάπερ δὴ καὶ τὴν ἐκκλησίαν ἐπηγάγετο, θύσας δι᾽ αὐτὴν
Luc. 15, 23. τὸν μόσχον τὸν σιτευτόν.

V. Ἐπαπορητέον δὲ καὶ τοῦτο πρὸς τούτοις, ἵνα μηδὲν ἡμᾶς τῶν ἀναγκαίων
ἀποδρᾶναι δυνηθῇ, τί δήποτε τὰς μὲν βασιλίσσας ἑξήκοντα ἔφη, τὰς δὲ παλλακὰς
ὀγδοήκοντα, τὰς δὲ νεάνιδας τοσαύτας, ὅσον μηδὲ ἀριθμεῖσθαι διὰ τὴν πληθύν, τὴν
δὲ νύμφην μίαν. καὶ πρῶτον μὲν περὶ τῶν ἑξήκοντα λεκτέον. ἑξήκοντα βασιλίσσας
ἐντεῦθεν, ὡς οἶμαι, δὴ τοὺς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι Νῶε κατὰ διαδοχὴν εὐα-
161 ρεστήσαντας ἐκάλεσε τῷ θεῷ, ἐπειδήπερ ἑτέρων οὗτοι παραγγελμάτων καὶ θεσμῶν εἰς τὸ
σωθῆναι χρείαν οὐκ ἐσχήκασιν, ἔτι προσφάτου τῆς κατὰ τὴν ἑξαήμερον οὔσης αὐτοῖς
τοῦ κόσμου συστάσεως. ἐμέμνηντο γὰρ οὗτοι ὡς ἐν ἓξ ἡμέραις ὁ θεὸς ἐτεκτήνατο
τὴν κτίσιν, τά τε ἐν τῷ παραδείσῳ γεγονότα καὶ πῶς ὁ ἄνθρωπος ἐντολὴν ἔχων μὴ
ἅψασθαι τοῦ φυτοῦ τῆς φρονήσεως ἐξώκειλεν, ἀποβουκολήσαντος αὐτὸν τοῦ τῆς κα-
Gen. 3, 3. κίας σοφιστοῦ. ἐντεῦθεν δὴ τὰς ἀπὸ τῆς συστάσεως εὐθέως τοῦ κόσμου κατὰ δια-
δοχὴν τὸν θεὸν ποθεῖν ἑλομένας ψυχάς καὶ σχεδόν, εἰ χρὴ φάναι, τοῦ πρώτου αἰῶ-
162 νος οὔσας ἔκγονα καὶ γείτονας τῆς μεγάλης ἑξαημέρου ἑξήκοντα βασιλίσσας ἔφη
συμβολικῶς, διὰ τὸ μετὰ τὴν ἑξαήμερον εὐθέως, ὡς ἔφην, γεγονέναι. μεγάλην γὰρ
ἐσχήκασιν οὗτοι τιμήν, ἀγγέλοις συνομιλήσαντες καὶ τὸν θεὸν ὕπαρ, οὐκ ὄναρ πολ-
λάκις θεασάμενοι. ἐπισκέψασθε γὰρ ὅσην ἔσχε παῤῥησίαν ὁ Σὴθ πρὸς τὸν θεόν,
ὅσην ὁ Ἄβελ, ὅσην ὁ Ἐνώς, ὅσην ὁ Ἐνώχ, ὅσην ὁ Μαθουσάλα, ὅσην ὁ Νῶε, πρῶ-
τοι δικαιοσύνης γεγονότες ἐρασταὶ καὶ πρῶτοι τῶν πρωτοτόκων τέκνων τῶν ἀπογε-
γραμμένων ἐν οὐρανοῖς τῆς βασιλείας καταξιωθέντες, ὥσπερ ἀπαρχή τις τῶν φυτευ-
Hebr. 12, 23. μάτων εἰς σωτηρίαν πρώϊμος τῷ θεῷ βλαστήσαντες καρπός. καὶ περὶ μὲν τούτων
αὐτάρκως· περὶ δὲ τῶν παλλακῶν πάλιν λεκτέον.

VI. Τοῖς μετὰ τὸν κατακλυσμὸν ἀπωτέρω λοιπὸν ἡ γνῶσις ἦν τοῦ θεοῦ, καὶ
ἔχρῃζον ἑτέρας διδαχῆς, ἑρπούσης ἤδη τῆς εἰδωλολατρείας, ἥτις αὐτοῖς αὖθις ἀλεξίκακος
163 ἔσοιτο καὶ βοηθός. ὁ οὖν θεός, ἵνα μὴ πάντῃ τὸ γένος τῶν ἀνθρώπων ἀϊστωθῇ
λήθῃ τῶν καλῶν, τὸν ἴδιον παῖδα τοῖς προφήταις ἐκέλευσεν ὑπηχῆσαι τὴν ἐσομένην
ἑαυτοῦ παρουσίαν διὰ σαρκὸς εἰς τὸν βίον, καθ᾽ ἣν ἡ τῆς πνευματικῆς ὀγδοάδος
χαρὰ καὶ γνῶσις κηρυχθήσεται, ἀφέσεως ἁμαρτημάτων οὖσα καὶ ἀναστάσεως παρεκτική·
περιτμηθήσεσθαι γὰρ δι᾽ αὐτῆς τῶν ἀνθρώπων τὰ πάθη καὶ τὴν φθοράν. καὶ διὰ
τοῦτο τὸν κατάλογον τῶν ἀπὸ τοῦ Ἀβραὰμ προφητῶν, διὰ τὴν τῆς περιτομῆς πρε-
σβείαν τὸν ὀκτὼ περιεχούσης ἀριθμόν, ἧς ἐξήρτηται καὶ ὁ νόμος, ὀγδοήκοντα παλ-
λακὰς ἐκάλεσεν, ὅτι πρῶτοι, πρὶν τὴν νύμφην τὴν ἐκκλησίαν κατεγγυηθῆναι τῷ λόγῳ,
164 τὰ θεῖα συλλαβόντες σπέρματα, τῆς νοητῆς προεξήγγειλαν ὀγδοάδος τὴν περιτομήν.
νεάνιδας δὲ πάλιν εἰς ἀναρίθμητον συντελούσας ὅμιλον τὰ ὑπὸ τοῖς κρείττοσι δικαιο-
πραγήσαντα πλήθη καὶ νεανικῶς καὶ γενναίως διαθλήσαντα πρὸς τὴν ἁμαρτίαν καλεῖ.

VII. Ἀλλὰ τούτων οὔθ᾽ αἱ βασίλισσαι οὔθ᾽ αἱ παλλακαὶ οὔθ᾽ αἱ νεάνιδες συγκρίνονται
τῇ ἐκκλησίᾳ· ἡ γὰρ τελεία καὶ ἐκλεκτὴ παρὰ πάσας αὐτὰς νομιζομένη, ἡ ἐκ πάντων
συνεστῶσά τε καὶ συνηνωμένη τῶν ἀποστόλων, ἐστὶν ἡ ὑπερβάλλουσα νύμφη τῷ κάλλει
τῆς ἀκμῆς καὶ τῆς παρθενίας πάσας. διὸ καὶ μακαρίζεται καὶ αἰνεῖται πρὸς τῶν ἄλλων,
ὅτι αὕτη καὶ εἶδε καὶ ἤκουσεν ἀφθόνως, ἃ ἐκεῖναι ἐπεπόθησαν κἂν ἐκ βραχέως θεά-
165 σασθαι καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι καὶ οὐκ ἤκουσαν. „μακάριοι“ γάρ φησιν „οἱ
Matth. 13, 16. 17. ὀφθαλμοὶ ὑμῶν“ ὁ κύριος τοῖς μαθηταῖς „οἱ βλέποντες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν

ὅτι πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ
ἀκούετε, καὶ οὐχ ἤκουσαν.“ οὐκοῦν διὰ ταῦτα μακαρίζουσι ταύτην οἱ προφῆται καὶ
θαυμάζουσιν, ὅτι ὧν αὐτοὶ μὴ ἐπέτυχον ἀκροαταὶ γενέσθαι καὶ θεάμονες ἡ ἐκκλησία
κατηξιώθη καὶ μετείληφεν. „ἑξήκοντα“ γὰρ „εἰσὶ βασίλισσαι καὶ ὀγδοήκοντα παλ- Cant. 6, 7.
λακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶ περιστερά μου, τελεία μου.“
VIII. *Δυνήσεται δέ τις καὶ ἑτέρως τὴν νύμφην φάναι τὴν σάρκα τὴν ἀμόλυντον* 166
εἶναι τοῦ κυρίου, ἧς χάριν τὸν πατέρα καταλείψας κατῆλθεν ἐνταῦθα καὶ προσεκολ-
λήθη καὶ ἐγκατεσκήνωσεν ἐνανθρωπήσας εἰς αὐτήν. διὸ δὴ καὶ περιστερὰν αὐτὴν ἔφη
τροπικῶς, ἐπειδὴ τιθασὸν τὸ ζῶον καὶ ὑπωρόφιον καὶ διαίτῃ τῇ τῶν ἀνθρώπων
ἐνασμενίζον. μόνη γὰρ ὡς ἔπος εἰπεῖν ἄσπιλος καὶ ἀμίαντος εὑρέθη καὶ πάντας
ὑπερέχουσα τῷ τῆς δικαιοσύνης κόσμῳ καὶ κάλλει, ὥςτε μηδένα καὶ τῶν εἰς ἄκρον
εὐαρεστησάντων τῷ θεῷ ταύτης δυνηθῆναι πέλας ὡς πρὸς σύγκρισιν ἀρετῆς στῆναι,
καὶ διὰ τοῦτο κατηξιῶσθαι κοινωνὸν αὐτὴν γενέσθαι τῆς βασιλείας τοῦ μονογενοῦς,
αὐτῷ καθηρμοσμένην τε καὶ ἑνωθεῖσαν. καὶ ἐν τεσσαρακοστῷ δὲ καὶ τετάρτῳ ψαλμῷ 167
ἡ ἐκ τῶν πλειόνων παρισταμένη ἐκ δεξιῶν βασίλισσα τοῦ θεοῦ μερῶν, ἡ τῷ διαχρύσῳ Psal. 44, 10.
τῆς ἀρετῆς κόσμῳ κατεστολισμένη, ἧς ἐπεθύμησε τοῦ κάλλους ὁ βασιλεύς, ἡ σάρξ
ἐστιν, ὡς ἔφην, ἡ ἄχραντος ἐκείνη καὶ μακαρία, ἣν αὐτὸς ἀνακομίσας ὁ λόγος εἰς
οὐρανοὺς ἐκ δεξιῶν παρέστησε τοῦ πατρός, ἐν ἱματισμῷ διαχρύσῳ κεκοσμημένην, ὃ
δή ἐστι τοῖς ἐπιτηδεύμασι τῆς ἀφθαρσίας, ἃ συμβολικῶς ἔφησε χρυσᾶ κροσσωτά,
ἐπειδήπερ ἐκ ποικίλων ποικίλλεται τοῦτο καὶ συγκαθυφαίνεται κατορθωμάτων τὸ
ἔνδυμα, οἷον ἁγνείας, φρονήσεως, πίστεως, ἀγάπης, ὑπομονῆς καὶ τῶν λοιπῶν ἀγα-
θῶν, ἃ δὴ κατακαλύπτοντα τὴν ἀσχημοσύνην τῆς σαρκὸς κοσμεῖ τὸν ἄνθρωπον κό- 168
σμῳ χρυσῷ.
IX. *Ἔπειτα τί δὴ πάλιν καὶ ἐν τοῖς ἑξῆς τοῦ ψαλμοῦ μετὰ τὸ τὸν ἄνθρωπον ἐκ*
δεξιῶν ἐνθρονισθῆναι τοῦ πατρός, ὃν ἀνείληφεν ὁ λόγος, τὸ πνεῦμα παραδίδωσιν,
ἐπισκεπτέον. „ἀπενεχθήσονται“ φησί „τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς· αἱ πλη- Psal. 44, 15. 16.
σίον αὐτῆς ἀπενεχθήσονταί σοι. ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθή-
σονται εἰς ναὸν τοῦ βασιλέως.“ πάνυ προφανῶς ἐνθάδε λοιπὸν ἔοικεν ἐγκωμιάζειν
τὸ πνεῦμα τὴν ἁγνείαν, μετὰ τὴν νύμφην, ὡς ἀποδεδώκαμεν, τοῦ κυρίου δευτέρας
προσιέναι τῷ παντοκράτορι ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ τὰς παρθένους ἐπαγγελλό-
μενον, ὑπ᾽ ἀγγέλων δορυφορουμένας τε καὶ παραπεμπομένας. οὕτω γὰρ ἐπέραστόν
τι τὸ τῆς παρθενίας ἐστὶν ὡς ἀληθῶς καὶ τριπόθητον κλέος, ὥςτε ὀπίσω τῆς βασι- 169
λίσσης, ἣν ἀνήγαγεν ὁ κύριος ἀναμάρτητον ἀποτορνεύσας τῷ πατρί, τὸν χορὸν τῶν
παρθένων καὶ τὸ τάγμα προςκομίζεσθαι, τὰ δευτερεῖα τῆς νύμφης κεκληρωμένον.
Ταῦτά σοι καὶ παρ᾽ ἡμῶν, ὦ Ἀρετή, τὰ γυμνάσματα τῶν λόγων ὑπὲρ ἁγνείας
ἐστηλιτεύσθω.
Εἰπούσης δὲ ταῦτα τῆς Προκίλλης, Ἐμὸς ὁ κλῆρος, ἡ Θέκλα ἔφη, μετὰ ταύτην
ἐφεξῆς ἀγωνίζεσθαι, καὶ χαίρω ξυνέμπορον ἔχουσα κἀγὼ τὴν Σοφίαν τῶν λόγων,
αἰσθανομένη κιθάρας δίκην ἔσωθεν ἁρμοζομένην με καὶ παρασκευάζουσαν εἰς τὸ με-
μελημένως εἰπεῖν καὶ εὐσχημόνως.
ΑΡΕΤ. Ἄριστα, ὦ Θέκλα, τὴν προθυμίαν ἀπεδεξάμην, ᾗ καὶ πιστεύω εἰς δύ- 170
ναμιν πρέποντας ἀποδοῦναί σέ μοι τοὺς λόγους· φιλοσοφίας τε γὰρ τῆς ἐγκυκλίου
καὶ παιδείας οὐδενὸς ὑστερήσεις· τῆς εὐαγγελικῆς τε αὖ καὶ θείας, τί χρὴ καὶ λέγειν,
παρὰ Παύλῳ σεσοφισμένην;

Λόγος η΄.

Θέκλα.

I. *Οὐκοῦν λέγωμεν δὴ πρῶτον, αὐτόθεν ἀπ᾽ ἀρχῆς ἀπαρξάμεναι τῆς ἐπωνυμίας,*
δι᾽ ἣν αἰτίαν ἐκλήθη παρθενία τοῦτο τὸ κορυφαιότατον καὶ μακάριον ἐπιτήδευμα,
οἷόν τε ὂν τυγχάνει καὶ δύναμιν ἣν ἔχει, καὶ εἰςύστερον, ὁποίους καρποὺς ἀποτελεῖ.
κινδυνεύουσι γὰρ ὀλίγου ξύμπαντες αὐτὴν ἠγνοηκέναι, μυρίῳ διαφέρουσαν τῶν ἄλλων
τῆς ἀρετῆς πλεονεκτημάτων, ὁπόσα εἰς κάθαρσιν καὶ κόσμον διαπονούμεθα τῆς ψυ- 171
χῆς. [1]*παρθεία γὰρ ἡ παρθενία κατὰ μίαν ἀπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ*
μόνη τὸν ἔχοντα καὶ τετελεσμένον αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ παρεικάζουσα,
οὗ μεῖζον ἀγαθὸν ἀδύνατον εὑρεῖν, ἡδονῆς καὶ λύπης ἀπῳκισμένον· ᾗ καὶ τὸ τῆς
ψυχῆς καταρδόμενον ἀληθῶς αὔξεταί τε καὶ κουφίζεται πτέρωμα, τῶν ἀνθρωπίνων

1) *Παρθεία ... ἀδύνατον εὑρεῖν.* Hanc etymologiam Photius cod. 237. p. 311. a. 20—23. totidem fere verbis transscripsit, uti p. 311. a. 24—26. illam vocis *ἀρετή* ap. Method. p. 172. *εἴτε δι᾽ ἑαυτὴν .. τὴν ἐπωνυμίαν.*

ἐξίπτασθαι καθ' ἡμέραν ἐθιζόμενον σπουδασμάτων. ἐπειδὴ γὰρ πανήγυριν τὸν βίον
172 ἡμῶν σοφῶν παῖδες εἰρήκασιν εἶναι, ἡμᾶς δὲ τὸ δρᾶμα τῆς ἀληθείας τὴν δικαιοσύ-
νην ἥκειν ὡς εἰς θέατρον ἐπιδειξομένους, ἀντιτεχνούντων ἡμῖν καὶ ἀνταγωνιζομένων
τοῦ διαβόλου καὶ τῶν δαιμόνων, ἀνανεύοντας ἄνω δεῖ καὶ ἀνιπταμένους μετεωρίζε-
σθαι καὶ φεύγειν τὰ θέλγητρα τῆς καλλιφωνίας αὐτῶν καὶ τὰ σχήματα, ἔξωθεν φαν-
τασίᾳ σωφροσύνης ἐπικεχρωσμένα, ἢ τὰς Σειρῆνας μᾶλλον τὰς Ὁμηρικάς. κηλούμε-
νοι γὰρ ταῖς ἡδοναῖς τῆς πλάνης πτερορρυοῦσι πολλοὶ καὶ βαρύνονται εἰς τὸν καθ'
ἡμᾶς ἥκοντες βίον, χαυνωθέντων αὐτοῖς καὶ χαλασθέντων τῶν τόνων, καθ' οὓς ἡ
τῶν πτερῶν τῆς σωφροσύνης συγκρατεῖται φύσις, κουφίζουσα τὰ κάτω νεύοντα περὶ
τὴν φθορὰν τῶν σωμάτων. ὅθεν, ὦ Ἀρετή, εἴτε ὅτι δι' ἑαυτὴν αἱρετή, εἴτε διὰ τὸ
173 αἴρειν καὶ μετεωρίζειν πρὸς οὐρανὸν ταύτην ἔσχηκας τὴν ἐπωνυμίαν, ἐπὶ λευκοτάτων
ἀεὶ βαίνουσα φρενῶν, ἴθι μοι συναντιληψομένη τοῦ λόγου, ὃν αὐτὴ προσέταξας εἰπεῖν.

II. Οἱ γὰρ πτερορρυήσαντες καὶ πεσόντες εἰς τὰς ἡδονὰς οὐ πρότερον λήγουσι
λύπης καὶ πόνων, ἔστ' ἂν τῇ τοῦ πάθους ἐπιθυμίᾳ τὴν ἀνάγκην ἐκπληροῦντες τῆς
ἀκρασίας ἀμύητοι καὶ ἀτελεῖς τοῦ τῆς ἀληθείας ἀπομείνωσι ὁράματος, ἀντὶ τῆς μετ'
αἰδοῦς καὶ σωφροσύνης παιδοποιήσεως ἀγρίαις ἐρώτων λυττήσαντες ἡδοναῖς. αἱ δὲ
εὔπτεροι καὶ κοῦφαι εἰς τὸν ὑπερκόσμιον τόπον ὑπερκύψασαι τοῦ βίου καὶ ἰδοῦσαι
πόρρωθεν ἃ μὴ ἕτερος ἀνθρώπων ἐθεάσατο, τοὺς λειμῶνας αὐτοὺς τῆς ἀφθαρσίας,
174 ἀμήχανα κάλλη καὶ ἄνθη φέροντας καὶ πεπληρωμένους, ἀεὶ πρὸς αὐτοῖς εἰσιν, ἀνα-
πολοῦσαι τὰ ἐκεῖ θεάματα, καὶ διὰ τοῦτο μικρὰ ἡγοῦνται τὰ ἐνταῦθα νομιζόμενα
καλά, πλούτους καὶ δόξας καὶ γένη καὶ γάμους, καὶ οὐδέν τι ἐκείνων περὶ πλείονος
ποιοῦνται. ἀλλὰ καὶ εἴ τις αὐτῶν θηρίοις ἢ πυρὶ βούλοιτο τὰ σώματα παραδιδόναι
καὶ τιμωρεῖσθαι, ἑτοίμως ἔχουσι τῶν ἀλγηδόνων ἀφροντιστεῖν διὰ τὸν ἐκείνων πόθον
καὶ τὴν ἐκείνων ἔκπληξιν, ὥστε δοκεῖν αὐτὰς ἐν κόσμῳ οὔσας μὴ εἶναι ἐν κόσμῳ, ἀλλὰ
τῷ φρονήματι καὶ τῇ ὁρμῇ τῆς ἐπιθυμίας εἰς τὴν ἄγυριν ἤδη τῶν ἐν τοῖς οὐρανοῖς
τυγχάνειν. οὐ γὰρ θέμις ἐπὶ γῆς βρίθειν κατὰ τὴν ἑαυτοῦ φύσιν τῷ τῆς παρθενίας
175 πτερῷ, ἀλλ' ἄνω φέρειν εἰς οὐρανόν, εἰς καθαρὸν αἰθέρα καὶ τὸν τῶν ἀγγέλων γεί-
τονα βίον. ὅθεν καὶ πρῶται τῶν ἄλλων μετὰ τὴν ἀνάκλησιν καὶ τὴν ἐντεῦθεν ἐκδη-
μίαν αἱ ὀρθῶς καὶ πιστῶς παρθενεύσασαι τῷ Χριστῷ τὰ νικητήρια φέρονται τῶν
ἄθλων, τοῖς τῆς ἀφθαρσίας ἄνθεσι στεφθεῖσαι πρὸς αὐτοῦ· ἅμα γὰρ τῷ καταλεῖψαι
τὸν κόσμον τὰς ψυχὰς λόγος ταῖς παρθένοις ὑπαντῶντας ἀγγέλους μετὰ πολλῆς εὐ-
φημίας εἰς τοὺς προειρημένους παραπέμπειν λειμῶνας αὐτάς, εἰς οὓς καὶ πρόσθεν
ἐλθεῖν ἐγλίχοντο, μακρόθεν αὐτοὺς φαντασιωθεῖσαι τότε, ὁπότε ἔτι ἐνδημοῦσαι τοῖς
σώμασιν ἰνδάλλοντο τὰ θεῖα.

III. Ἐνταῦθα δὴ ἐλθούσας θαυμαστά τινα θεάσασθαι καὶ ἔκλαμπρα καὶ μακάρια
κάλλη καὶ ὁποῖα ἐξειπεῖν εἰς ἀνθρώπους δυσχερές. εἶναι γὰρ αὐτὴν δικαιοσύνην καὶ
176 σωφροσύνην, ἀγάπην αὐτὴν ἐκεῖ καὶ ἀλήθειαν καὶ φρόνησιν καὶ τὰ ἄλλα ὡσαύτως
ἐπιφανῆ τῆς σοφίας ἄνθη καὶ φυτά, ὧν ἡμεῖς ἐνθάδε σκιὰς μόνας φασματώδεις ὀνει-
ρώσσοντες ἀπὸ τῶν πράξεων ἡγούμεθα τῶν ἀνθρωπίνων συνίστασθαι, ὅτι μὴ ἔστιν
αὐτῶν δεῦρο μηδὲν εἴδωλον καταφανές, ἀλλ' ἀπεικονίσματα μόνον ἀειδῆ, ἃ δὴ καὶ
αὐτὰ σκοτεινῶς πολλάκις ἀπεικάζοντες αἰσθανόμεθα. οὐ γὰρ ἄν πώποτε δικαιοσύνης
αὐτῆς ἢ συνέσεως ἢ εἰρήνης ὀφθαλμοῖς ἐθεάσατό τις μέγεθος ἢ σχῆμα ἢ κάλλος·
ἐκεῖ δὲ ἐν τῷ ὄντι, ὡς εἰσίν, ὁλοτελῆ βλέπονται καὶ σαφῆ. εἶναι γὰρ δένδρον τι
177 σωφροσύνης αὐτῆς, εἶναι ἀγάπης, εἶναι συνέσεως, ὥσπερ καὶ τῶν ἐνθάδε τὰ φυτὰ
καρπῶν, οἷον σταφυλῆς, ῥοιᾶς καὶ μήλων. οὕτω δὴ κἀκείνων βλέπεσθαι μὲν καὶ
ἐσθίεσθαι τοὺς καρπούς, οὐ μὴν ἀπόλλυσθαι καὶ φθίνειν, ἀλλ' εἰς ἀθανασίαν αὔξειν
καὶ θειότητα τοὺς δρεπομένους, καθὼς κἀκεῖνος, ἐξ οὗ πάντες ἐσμέν, πρὸ τοῦ πα-
ραπεσεῖν καὶ πηρωθῆναι τὰς ὄψεις ἐν τῷ παραδείσῳ τυγχάνων ἀπεκαρπεύετο, τοῦ
θεοῦ θεμιστεύοντος τὸν ἄνθρωπον τῶν τῆς σοφίας ἐργάτην τεθῆναι καὶ φύλακα φυ-
τῶν. τοιούτους γὰρ ἦν καρποὺς πεπιστευμένος γεωργεῖν καὶ ὁ πρῶτος Ἀδάμ. καὶ ὁ
Ἱερεμίας δὲ ταῦτα τυγχάνειν ἰδικῶς ἔν τινι τόπῳ καὶ ἀφεστῶτι μεγάλην ἀπόστασιν
178 τῆς καθ' ἡμᾶς οἰκουμένης οἶδεν, ἔνθα τοὺς ἐξολισθήσαντας τῶν αἰωνίων ἀγαθῶν
Bar. 3, 14. 15. κατοικτίζων λέγει „μάθετε ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστι σύνεσις, τοῦ
γνῶναι ἅμα ποῦ ἐστι μακροβίωσις καὶ ζωή, ποῦ ἐστι φῶς ὀφθαλμῶν καὶ εἰρήνη. τίς
εὗρε τὸν τόπον αὐτῆς, ἢ τίς εἰσῆλθεν εἰς τοὺς θησαυροὺς αὐτῶν;" τούτων οὖν διελθούσας
εἰς τοὺς θησαυροὺς ἀποκαρπεύεσθαι λόγος τῶν ἀρετῶν τὰς παρθένους, εὐτάκτοις φωσὶ
καὶ πολλοῖς καταρδομένας, ἃ δίκην πηγῆς αὐταῖς ὁ θεὸς ἀνερεύγεται, καταλάμπων
ἐκεῖνον τὸν αἰῶνα φωσὶν ἀδύτοις. αἱ δὲ χορεύουσιν ἐμμελῶς γεραίρουσαι τὸν θεόν·
περικέχυται γὰρ αὐταῖς ἀὴρ καθαρὸς καὶ μὴ καθιππευόμενος ἡλίῳ.

179 IV. Νῦν οὖν, ὦ παρθένοι, σωφροσύνης ἀχράντου θυγατέρες, ὑπὲρ ζωῆς ὑμῖν
ἀφθόνου καὶ βασιλείας οὐρανῶν ἡ σπουδή. εἰς τὴν αὐτὴν δόξαν τῆς ἁγνείας καὶ

ὑμεῖς προθύμως ταῖς πρὸ ὑμῶν συμφρονήσατε, ὀλίγα φροντίσασαι τοῦ βίου· οὐ γὰρ
μικρὸν εἰς ῥᾳστώνην ἀφθαρσίας ἁγνεία, ἄνω φέρουσα καὶ πρὸς ὕψος αἴρουσα καὶ τὸ
κάθυγρον ἀναξηραίνουσα καὶ πηλῶδες βάρος ὁλκῇ μείζονι. μηδὲ βριθέτω τῆς ἀκοῆς
ὁ ῥύπος ῥέπων εἰς τὴν γῆν, μηδὲ μετακοσμείτω λύπη τὴν χαράν, ἐκτήκουσα τὰς ἐπὶ
τοῖς κρείττοσιν ἐλπίδας· ἀλλ' ἀτρύχως ἀποσείεσθε τὰς ἐπισυμβαινούσας ὑμῖν συμ-
φοράς, μὴ θολοῦσαι γόοις τὸν λογισμόν. νικάτω γὰρ ἡ πίστις πάντῃ, καὶ ἀπωθεί- 180
σθω τὸ φῶς αὐτῆς τὰ φερόμενα τοῦ πονηροῦ περὶ τὴν καρδίαν φάσματα. ὥςπερ
γὰρ ὅταν ἡ σελήνη τὸν οὐρανὸν αἴγλης ἐκλάμψασα πληρώσῃ καὶ πᾶς ὁ ἀὴρ αἴθριος
γενηθῇ, ἄφνω δὲ νεφέλαι ποθὲν ἐκ δυσμῶν ὑποδραμοῦσαι βάσκανοι τὸ φῶς αὐτῆς
πρὸς ὀλίγον ἐπισκιάζουσιν, οὐ μὴν ἀφαιροῦνται, ἅτε εὐθέως τῇ ῥύμῃ τοῦ πνεύματος
ἐξωθούμεναι· οὕτω δὴ καὶ ὑμεῖς ἐν τῷ κόσμῳ λάμπουσαι τὴν ἁγνείαν, ὑπὸ θλίψεων
ὀχληθεῖσαι καὶ πόνων, ὦ παρθένοι, μὴ ὀκλάσητε πρὸς τὰς ἐλπίδας. ἐξωθοῦνται
γὰρ τῷ πνεύματι τὰ ἐκ τοῦ πονηροῦ νέφη, ἐὰν ὥςπερ ἡ μήτηρ ὑμῶν καὶ ὑμεῖς ἡ
γεννῶσα τὸν ἄρσενα, παρθένοι, ἐν τῷ οὐρανῷ μὴ δειλιάσητε λοχῶντα καὶ ἐφεδρεύοντα 181
τὸν ὄφιν· περὶ ἧς ἐγὼ πρὸς ὑμᾶς ἀμηγέπῃ διεξελεύσομαι δηλοῦσα· καιρὸς γὰρ τὰ
νῦν. „καὶ ὤφθη μέγα σημεῖον ἐν τῷ οὐρανῷ" τὴν Ἀποκάλυψιν ὁ Ἰωάννης ἐξηγού- Apoc. 12, 1—6.
μενος λέγει „γυνὴ περιβεβλημένη τὸν ἥλιον· καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐ-
τῆς· καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα· καὶ ἐν γαστρὶ ἔχουσα
κράζει ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν. καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ·
καὶ ἰδοὺ δράκων πυῤῥὸς μέγας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς
κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα· καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον μέρος τῶν ἀστέ-
ρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον 182
τῆς γυναικὸς τῆς μελλούσης ἐκτεκεῖν, ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς καταφάγῃ. καὶ
ἔτεκεν υἱὸν ἄρσενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρ-
πάγη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ· καὶ ἡ γυνὴ ἔφυ-
γεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ὑπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ
τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα." τὰ μὲν οὖν περὶ τῆς γυναικὸς
ἱστορούμενα καὶ τοῦ δράκοντος ὡς ἐν ἐπιτομῇ τέλος ἔχει· περὶ δὲ τοῦ τὴν ἐπίλυσιν
αὐτῶν ἀνεύρασθαι καὶ εἰπεῖν μεῖζον ἢ καθ' ἡμᾶς. ὅμως τολμητέον, πιστεύσασαν τῷ Joan. 5, 39.
κελεύσαντι τὰς γραφὰς ἐρευνᾶν. εἰ οὖν καὶ σφῷν τὰ λεγόμενα συνδοκεῖ, χαλεπὸν 183
οὐδὲν ἤδη στείλασθαι· πάντως γὰρ συγγνώσεσθε, πρὸς τὴν ἀκρίβειαν τῆς γραφῆς
ἐὰν μὴ δυνηθῶ διαρκέσαι.

V. [1] Ἡ ὀφθεῖσα περιβεβλημένη τὸν ἥλιον ἐν τῷ οὐρανῷ γυνὴ καὶ στέφανον ἐκ
τῶν ἀστέρων περικειμένη δώδεκα, ἧς τὴν ἕδραν εἶχεν ἡ σελήνη πρὸς τοῖς ποσί, καὶ
ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν, αὕτη κυρίως ἐστὶ κατὰ τὸν ἀκριβῆ λόγον ἡ μήτηρ
ἡμῶν, ὦ παρθένοι, δύναμίς τις οὖσα καθ' ἑαυτὴν ἑτέρα τῶν τέκνων, ἣν ὁτὲ μὲν Ἱε-
ρουσαλὴμ οἱ προφῆται κατὰ τὴν σύνοψιν τῶν ἐπιφερομένων, ὁτὲ δὲ νύμφην, ὁτὲ δὲ
Σιὼν ὄρος, ὁτὲ δὲ ναὸν καὶ σκηνὴν θεοῦ κεκλήκασιν. ἡ γὰρ παρωρμημένη φωτίζε-
σθαι δύναμις ἐν τῷ προφήτῃ, „φωτίζου" κεκραγότι „Ἱερουσαλήμ· ἥκει γάρ σου 184
τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. ἰδοὺ καλύψει σκότος καὶ γνόφος Esai. 60, 1—4.
γῆν, καλύψει ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται κύριος, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ
ὀφθήσεται. καὶ πορεύσονται βασιλεῖς τῷ πυρί σου καὶ ἔθνη τῇ λαμπρότητί σου.
ἀνάβλεψον κύκλῳ τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. ἥκασι
πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται,"
ἔστιν ἡ ἐκκλησία, ἧς τὰ τέκνα πασσυδὶ μετὰ τὴν ἀνάστασιν πάντοθεν πρὸς αὐτὴν
ἥξει καταθέοντα· αὕτη δεχομένη τε τὸ φῶς τὸ ἀνέσπερον, τὴν λαμπρότητα στο- 185
λῆς σχήματι περιβεβλημένη τοῦ λόγου, ἥδεται. ποίῳ γὰρ ἄλλῳ τιμαλφεστέρῳ κό-
σμῳ ἢ τιμιωτέρῳ τὴν βασίλισσαν ἔπρεπε κοσμηθεῖσαν νυμφαγωγηθῆναι τῷ κυρίῳ,
φῶς ὡς ἱμάτιον λαβοῦσαν; διὸ καὶ αὐτὴν ὑπὸ τοῦ πατρὸς ἀνακληθῆναι. ἴτε γὰρ
ἀναβᾶσαι τῷ λόγῳ θεάσασθε ὥςπερ τὰς πρὸς γάμον παρθένους γυναῖκα μεγάλην,
καθαρὸν καὶ ἄχραντον ὅλον καὶ μόνιμον κάλλος καὶ οὐδὲν ἐλαττούμενον τῆς λαμ-
πρότητος τῶν φώτων ἀποστίλβουσαν, καὶ ἀντὶ μὲν στολῆς αὐτὸ φῶς ἠμφιεσμένην,
ἀντὶ δὲ λίθων τιμίων ἀστράσι φαιδροῖς τὴν κεφαλὴν κεκοσμημένην. ὃ γὰρ ἡμῖν ἐσθής,
τοῦτο ἐκείνῃ φῶς· ὃ δὲ ἡμῖν χρυσὸς ἢ διαφανεῖς λίθοι, τοῦτο ἐκείνῃ ἄστρα, ἄστρα 186
δὲ οὐχ ὁποῖα ταῦτα τὰ ἐν τῷ ὁρατῷ κείμενα τόπῳ, ἀλλά τινα κρείττω καὶ εὐφεγ-
γέστερα, ὥςτε εἰκόνας ἐκείνων μᾶλλον νομίζεσθαι ταῦτα καὶ ἀπεικάσματα.

VI. *Βεβηκέναι* τε ἐπὶ τῆς σελήνης, σελήνην, ὡς ἡγοῦμαι, τροπικῶς τὴν πίστιν τῶν
ἀποκαθαιρομένων τὴν φθορὰν τῷ λουτρῷ λέγων, διὰ τὸ προςεοικέναι τὸ φῶς αὐτῆς

1) Allegoricam, quae h. l. incipit, interpretationem verborum Apoc. 12, 1—6. et omnino allegoricam rationem, quam Methodius in interpretanda scriptura sacra sectatur, Photius cod. 237. p. 311, a. 42. — p. 311, b. 4. breviter notat.

μᾶλλον ὕδατι χλιαρῷ καὶ πᾶσαν ἐξ αὐτῆς ἠρτῆσθαι τὴν ὑγρὰν οὐσίαν. ἐφέστηκεν οὖν
ἐπὶ τῆς πίστεως καὶ προςλήψεως ἡμῶν ἡ ἐκκλησία κατὰ τὴν τῆς σελήνης σύνοψιν, μέ-
χριπερ ἂν εἰςέλθῃ τὸ πλήρωμα τῶν ἐθνῶν, ὠδίνουσα καὶ ἀναγεννῶσα τοὺς ψυχικοὺς
εἰς πνευματικούς, καθ' ὃν λόγον καὶ μήτηρ ἐστίν. ὥςπερ γὰρ σπορὰν ἀνδρὸς ἀμόρ-
187 φωτον ὑποδεξαμένη γυνὴ περιόδοις χρόνων ἄνθρωπον ὁλόκληρον ἀποκύει, ταύτῃ δὴ
καὶ τοὺς προςφυγόντας τῷ λόγῳ φήσειεν ἄν τις συλλαβοῦσαν ἀεὶ τὴν ἐκκλησίαν, καὶ
τὴν καθ' ὁμοίωσιν ἰδέαν αὐτοὺς καὶ μόρφωσιν μορφοῦσαν τοῦ Χριστοῦ, περιόδοις
χρόνων πολίτας τῶν μακαρίων ἐκείνων αἰώνων ἐργάζεσθαι. ὅθεν ἐξ ἀνάγκης αὐτὴν
ἐφεστάναι δεῖ τῷ λουτρῷ τοὺς λουομένους γεννῶσαν· τούτῳ γὰρ σελήνη κέκληται τῷ
τρόπῳ ἡ περὶ τὸ λουτρὸν αὐτῆς ἐνέργεια, ἐπειδὴ νέον σέλας ἀνανεασθέντες οἱ ἀναγεν-
νώμενοι λάμπουσιν, ὅ ἐστι νέον φῶς, ὅθεν καὶ νεοφώτιστοι καλοῦνται παραφραστι-
κῶς, τὴν πνευματικὴν πανσέληνον αὐτοῖς κατὰ τὴν περίοδον τοῦ πάθους καὶ τὴν ἀνάμνη-
188 σιν νέαν ἀεὶ παραφαινούσης, ἔστ' ἂν ἡ αὐγὴ καὶ τὸ φῶς τὸ τέλειον ἀνατείλῃ τῆς με-
γάλης ἡμέρας.

VII. Ἐὰν δέ τις (οὐδὲν γὰρ χαλεπὸν ἔτι διαῤῥήδην εἰπεῖν) ἀγανακτήσας φράσῃ
πρὸς τὰ εἰρημένα, Καὶ πῶς ὑμῖν ἡ ἐξήγησις, ὦ παρθένοι, γίνεται κατὰ νοῦν τῆς γρα-
φῆς, ὁπότε ἡ μὲν Ἀποκάλυψις ἄρσενα τὴν ἐκκλησίαν διορίζεται γεννᾶν, ὑμεῖς δὲ ἀπὸ
τῶν ἀπολουτρουμένων παρειλήφατε τὰς τελεσφόρους ὠδῖνας αὐτῆς πληροῦσθαι λουομένας;
λέξομεν, Ἀλλ', ὦ φιλαίτιε, ἀλλ' οὐδέ σοι πάρεστιν ἐπιδεῖξαι τὸν Χριστὸν αὐτὸν εἶναι
τὸν γεννώμενον· πάλαι γὰρ πρὸ τῆς Ἀποκαλύψεως ἐπεπλήρωτο τὸ μυστήριον τῆς ἐναν-
θρωπήσεως τοῦ λόγου, ὁ δὲ Ἰωάννης περὶ παρόντων καὶ μελλόντων θεσμῳδεῖ. ὁ δὲ
189 Χριστὸς πάλαι κυηθεὶς οὐχ ἡρπάσθη ὁπότε ἐτέχθη πρὸς τὸν θρόνον τοῦ θεοῦ, φόβῳ
τοῦ μὴ λυμήνασθαι αὐτὸν τὸν ὄφιν· ἀλλὰ διὰ τοῦτο ἐγεννήθη καὶ κατῆλθεν αὐτὸς
ἀπὸ τῶν θρόνων τοῦ πατρός, ἵνα τὸν δράκοντα χειρώσηται μείνας ἐπιτρέχοντα τῇ
σαρκί. ὥςτε ἀνάγκη ὁμολογεῖν δὴ καὶ σὲ τὴν ἐκκλησίαν εἶναι τὴν ὠδίνουσαν καὶ γεν-
Esai. 66, 7. 8. νῶσαν τοὺς ἀπολουτρουμένους, ὥς που καὶ ἐν Ἡσαΐᾳ τὸ πνεῦμά φησι „πρὶν τὴν ὠδί-
νουσαν τεκεῖν καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. τίς
ἤκουσε τοιοῦτο; καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ ἐν μιᾷ ἡμέρᾳ, καὶ εἰ ἐγέννη-
190 σεν ἔθνος εἰςάπαξ, ὅτι ὠδίνησε Σιὼν καὶ ἔτεκεν ἄρσενα;“ τίνα ἐξέφυγεν; ἢ πάντως τὸν
δράκοντα, ἵνα γεννήσῃ τὸν λαὸν ἡ νοητὴ Σιὼν τὸν ἄρσενα, τὸν τῶν γυναικείων παθῶν
καὶ τῆς ἐκλύσεως εἰς τὴν ἑνότητα τοῦ κυρίου καταντήσαντα καὶ ἀπαρσενωθέντα τῇ
σπουδῇ;

VIII. Λέγωμεν οὖν πάλιν ἐξ ἀρχῆς ἐπαναπολήσασαι, μέχριπερ ἂν καθεξῆς πρὸς τὸ
τέλος ἔλθωμεν ἐξηγούμεναι τὰ εἰρημένα. σκόπει οὖν ἐάν πως καὶ σοὶ δοκῇ πρὸς εὐ-
δοξίαν ὁ λόγος πληροῦσθαι. ἐγὼ γὰρ τὸν ἄρσενα ταύτῃ γεννᾶν εἰρῆσθαι νομίζω τὴν
ἐκκλησίαν, ἐπειδὴ τοὺς χαρακτῆρας καὶ τὴν ἐκτύπωσιν καὶ τὴν ἀῤῥενωπίαν τοῦ Χρι-
στοῦ προςλαμβάνουσιν οἱ φωτιζόμενοι, τῆς καθ' ὁμοίωσιν μορφῆς ἐν αὐτοῖς ἐκτυπου-
191 μένης τοῦ λόγου καὶ ἐν αὐτοῖς γεννωμένης κατὰ τὴν ἀκριβῆ γνῶσιν καὶ πίστιν, ὥςτε
ἐν ἑκάστῳ γεννᾶσθαι τὸν Χριστὸν νοητῶς. καὶ διὰ τοῦτο ἡ ἐκκλησία σπαργᾷ καὶ
Gal. 4, 19. ὠδίνει, μέχριπερ ἂν ὁ Χριστὸς ἐν ἡμῖν μορφωθῇ γεννηθείς, ὅπως ἕκαστος τῶν ἁγίων
τῷ μετέχειν Χριστοῦ Χριστὸς γεννηθῇ, καθ' ὃν λόγον καὶ ἔν τινι γραφῇ φέρεται „μὴ
Psal. 104, 15. ἅψησθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύησθε,“ οἱονεὶ Χριστῶν
γεγονότων τῶν κατὰ μετουσίαν τοῦ πνεύματος εἰς Χριστὸν βεβαπτισμένων, συμβαλλούσης
ἐνταῦθα τὴν ἐν τῷ λόγῳ τράνωσιν αὐτῶν καὶ μεταμόρφωσιν τῆς ἐκκλησίας. βεβαιοῖ
Ephes. 3, 14 —17. δὲ καὶ ταῦτα Παῦλος φανερῶς διδάσκων, ἔνθα φησί „τούτου χάριν κάμπτω τὰ γόνατά
192 μου πρὸς τὸν θεὸν καὶ πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζε-
ται, ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ
τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως
ἐν ταῖς καρδίαις ὑμῶν.“ εἰς γὰρ τὰς τῶν ἀναγεννωμένων ψυχὰς ἀναγκαῖον ἐξομοργνύ-
μενον ἐκτυποῦσθαι τὸν λόγον τῆς ἀληθείας.

IX. [1] Ἔοικε δὲ τοῖς εἰρημένοις καὶ τοῦτο μάλιστα προςεοικέναι καὶ συμφωνεῖν τὸ
χρησμῳδούμενον ἄνωθεν ἐξ αὐτοῦ τοῦ πατρὸς τῷ Χριστῷ ἐπὶ τὸν ἁγνισμὸν ἥκοντι τοῦ
Psal. 2, 17. ὕδατος ἐν τῷ Ἰορδάνῃ „υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε.“ παρατηρητέον γὰρ
193 ὅτι τὸ μὲν υἱὸν αὐτοῦ εἶναι ἀορίστως ἀπεφήνατο καὶ ἀχρόνως· „εἶ“ γάρ „υἱός“ αὐτῷ
ἔφη, καὶ οὐ „γέγονας,“ ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχηκέναι τῆς υἱοθεσίας, μήτε
αὖ προϋπάρξαντα μετὰ ταῦτα τέλος ἐσχηκέναι, ἀλλὰ προγεννηθέντα καὶ ἔσεσθαι καὶ
εἶναι τὸν αὐτόν. τὸ δέ „ἐγὼ σήμερον γεγέννηκά σε“ ὅτι „προόντα ἤδη πρὸ τῶν αἰώ-
νων“ λέγει „ἐν τοῖς οὐρανοῖς ἐβουλήθην καὶ τῷ κόσμῳ γεννῆσαι,“ ὃ δή ἐστι πρόσθεν
ἀγνοούμενον γνωρίσαι. ἀμέλει τοῖς μηδέπω τῶν ἀνθρώπων συνῃσθημένοις τὴν πολυποίκιλον

1) Ἔοικε δὲ τοῖς εἰρημένοις .. (p. 193) .. οὐδέπω πεφανέρωται. Haec fere ad verbum ap. Phot. cod. 237. p. 311, a. 27—41.

σοφίαν τοῦ θεοῦ ὁ Χριστὸς οὐδέπω γεγέννηται, ὅπερ ἐστὶν οὐδέπω ἐγνώσθη, οὐδέπω
πεφανέρωται, οὐδέπω ἐφάνη. εἰ δὲ αἴσθοιντο καὶ οὗτοι τῆς χάριτος τὸ μυστήριον, 194
τότε δὴ καὶ αὐτοῖς, ὁπότε ἐπέστρεψαν καὶ ἐπίστευσαν, κατὰ τὴν γνῶσιν καὶ τὴν σύνεσιν
γεννᾶται. διὸ προσηκόντως ἐντεῦθεν ἡ ἐκκλησία τὸν ἄρσενα λόγον ἐν τοῖς ἁγνιζομένοις
ἀεὶ μορφοῦν λέγεται καὶ γεννᾶν. καὶ τὰ μὲν δὴ περὶ τῶν ὠδίνων αὐτῆς εἰς δύναμιν
εἴρηται· τὰ δὲ περὶ τοῦ δράκοντος καὶ τῶν ἄλλων τῇδε μεταληπτέον. οὐκοῦν πειρώ-
μεθα πάλιν ἀμωσγέπως δηλοῦν, ὦ παρθένοι, μηδὲν ἀποδειλιῶσαι πρὸς τὸ μέγεθος
τῶν αἰνιγμάτων τῆς γραφῆς· ἐὰν δέ τι δύςκολον ἐμπίπτῃ τοῖς λόγοις, ἐγὼ πάλιν ὑμᾶς
ὥςπερ ποταμὸν διαβιβάσω.

X. Ὁ δράκων ὁ μέγας, ὁ πυῤῥός, ὁ πολύτροπος, ὁ πολυσχιδής, ὁ ἑπτακέφαλος, ὁ
κερασφόρος, ὁ σύρων τὸ τρίτον τῶν ἀστέρων, ὃς ἕστηκεν ἐφεδρεύων, ἵνα τὸ τέκνον τῆς ὠδι-
νούσης γυναικὸς καταφάγῃ, ὁ διάβολος οὗτός ἐστιν ὁ ἐνεδρεύων, ὁ λοχῶν λυμήνασθαι 195
τῶν φωτισθέντων τὸν χριστόληπτον νοῦν καὶ τὴν ἐκτύπωσιν καὶ τράνωσιν τὴν ἐν αὐ-
τοῖς ἀποτεχθεῖσαν τοῦ λόγου. ἀλλ' ἀστοχεῖ καὶ σφάλλεται τῆς ἄγρας, ἄνω πρὸς ὕψος
ἁρπαζομένων τῶν ἀναγεννωμένων πρὸς τὸν θρόνον τοῦ θεοῦ· ὃ δή ἐστιν, ἄνω περὶ τὴν
θείαν ἕδραν καὶ τὴν ἀσκανδάλιστον ὑπόβασιν τῆς ἀληθείας αἴρεται τὸ φρόνημα τῶν
ἀνακαινισθέντων, τὰ ἐκεῖ βλέπειν καὶ τὰ ἐκεῖ φαντάζεσθαι παιδαγωγούμενον, ἵνα μὴ
ἀπατηθῇ πρὸς τοῦ δράκοντος βρίθοντος κάτω· οὐ γὰρ αὐτῷ θέμις τοὺς ἄνω νεύοντας
καὶ τοὺς ἄνω βλέποντας ἀφανίσαι. οἱ δὲ ἀστέρες εἰσίν, οὓς τῷ τῆς οὐρᾶς ἄκρῳ κατὰ
κορυφῆς ἐφαπτόμενος εἰς τὴν γῆν κατασπᾷ, τῶν αἱρέσεων αἱ συστροφαί· ἀστέρας γὰρ 196
σκοτεινούς, ἀμυδροὺς καὶ ταπεινοστρεφεῖς τὰς ἐπισυνόδους τῶν ἑτεροδόξων εἶναι φρα-
στέον, ἐπειδὴ τῶν οὐρανίων ἐπιστήμονες εἶναι δὴ βούλονται καὶ αὐτοὶ καὶ εἰς Χρι-
στὸν πεπιστευκέναι καὶ τὴν ἕδραν ἔχειν τῆς ψυχῆς ἐν τοῖς οὐρανοῖς καὶ πλησιάζειν τοῖς
ἄστροις ὡς φωτὸς τέκνα. ἀλλὰ κατασύρονται τοῦ δράκοντος ἐκσεισθέντες ταῖς πλοκαῖς,
ὅτι μὴ τῶν τριγώνων εἴσω τῆς εὐσεβείας ἔστησαν σχημάτων, πταίσαντες αὐτῆς περὶ τὴν
ὀρθόδοξον θρησκείαν, ὅθεν καὶ τρίτον τῶν ἀστέρων ἐκλήθησαν μέρος, οἷον περὶ ἕνα
τῶν ἀριθμῶν τῆς τριάδος διεσφαλμένοι, ὁτὲ μὲν τὸν τοῦ πατρός, ὡς Σαβέλλιος, αὐτὸν
τὸν παντοκράτορα λέξας πεπονθέναι, ὁτὲ δὲ τὸν τοῦ υἱοῦ, ὡς Ἀρτεμᾶς καὶ οἱ δοκήσει 197
αὐτὸν ἀποφηνάμενοι πεφυκέναι, ὁτὲ δὲ περὶ τὸν τοῦ πνεύματος, ὡς Ἐβιωναῖοι, ἐξ ἰδίας
κινήσεως τοὺς προφήτας λελαληκέναι φιλονεικοῦντες· Μαρκίωνος γὰρ καὶ Οὐαλεντίνου
καὶ τῶν περὶ τὸν Ἐλκεσαῖον καὶ τοὺς ἄλλους καλὸν μηδὲ μνημονεῦσαι.

XI. Ἡ δὲ γεννῶσα καὶ γεννήσασα τὸν ἀῤῥενωπὸν ἐν ταῖς καρδίαις τῶν πιστευόν-
των λόγον, καὶ ἄχραντος καὶ ἀβλαβὴς ὑπὸ τοῦ θηρὸς τῆς ὀργῆς εἰς τὴν ἔρημον παραγε-
γενημένη, ἡ μήτηρ ἡμῶν ἐστιν, ὡς ἀποδεδώκαμεν, ἡ ἐκκλησία. ἡ δὲ ἔρημος, εἰς ἣν
ἐλθοῦσα τρέφεται τὰς χιλίας καὶ διακοσίας ἡμέρας καὶ ἑξήκοντα, ἡ κακῶν ἔρημος
ἀληθῶς καὶ ἄγονος καὶ στεῖρα φθορᾶς καὶ δυςπρόσιτος καὶ δύςβατος τοῖς πολλοῖς, 198
εὔκαρπος δὲ καὶ εὔβοτος καὶ εὐθαλὴς καὶ εὐεπίβατος ἁγίοις καὶ πλήθουσα σοφίας
καὶ βλαστάνουσα ζωήν, αὐτὸ δὴ τοῦτο τῆς Ἀρετῆς ἐστι τὸ κάλλιστον καὶ καλλίδεν-
δρον καὶ καλλίπνουν χωρίον, ἔνθα „ἐξηγέρθη ὁ νότος καὶ διέπνευσεν ὁ βοῤῥᾶς, Cant. 4, 16.
καὶ ῥέουσι τὰ ἀρώματα“ καὶ πάντα τῶν ἀμβροσίων πεπλήρωται δρόσων, ἀθανάτου
ζωῆς βλάσταις ἀμαράντοις κατεστεμμένα, εἰς ὅ ἐσμεν ἡμεῖς ἀνθολογοῦσαι νῦν καὶ πλέ-
κουσαι τῇ βασιλίσσῃ τὸν ἁλουργῆ στέφανον καὶ ἔκλαμπρον τῆς παρθενίας ἀθίκτοις
δακτύλοις· Ἀρετῆς γὰρ κοσμεῖται καρποῖς ἡ νύμφη τοῦ λόγου. αἱ δὲ χίλιαι καὶ δια- 199
κόσιαι ἡμέραι καὶ ἑξήκοντα, ἃς ἐνθάδε ἐσμὲν εἰς ἐπιδημίαν, ἡ τοῦ πατρός ἐστιν, ὦ
παρθένοι, καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος κατ' εὐθεῖαν ἀκριβὴς καὶ ἀρίστη σύνεσις,
ᾗ γέγηθεν ἡμῶν ἡ μήτηρ αὐξανομένη καὶ ἀγάλλεται τουτονὶ τὸν χρόνον, μέχριπερ ἂν
τῆς ἀποκαταστάσεως τῶν καινῶν αἰώνων εἰς τὴν ἄγυριν ἐλθοῦσα κατὰ τοὺς οὐρανοὺς
μηκέτι δι' ἐπιστήμης κατασκέψηται τὸ ὄν, ἀλλὰ τρανῶς ἐποπτεύσῃ Χριστῷ συνειςβᾶσα.
τὰ γὰρ χίλια ἐν ἑκατοντάσι δεκαπλασιασθέντα τέλειον ἀριθμὸν καὶ πλήρη περιέχει,
ὃ δή ἐστι σύμβολον αὐτοῦ τοῦ πατρὸς τοῦ ἀφ' ἑαυτοῦ δημιουργήσαντος καὶ ἐν ἑαυτῷ
συγκρατοῦντος τὸ πᾶν, τὰ δὲ διακόσια τὸν ἐκ δύο τελείων ἀριθμῶν συνεζευγμένον, ὃ 200
δή ἐστι σύμβολον τοῦ ἁγίου πνεύματος, καθὸ τῆς γνώσεώς ἐστι τοῦ υἱοῦ τοῦτο καὶ
τοῦ πατρὸς περιεκτικόν. τὰ δὲ ἑξήκοντα τὸν ἓξ ἀριθμὸν ἐν δεκάσιν ἔχει, ὅ δή ἐστι
σύμβολον τοῦ Χριστοῦ, ἐπειδήπερ ὁ τῶν ἓξ ἀπὸ μονάδος προϊὼν ἀριθμὸς ἐκ τῶν ἰδίων
συντίθεται μερῶν, ὥςτε μήτε λείπειν ἐν ἑαυτῷ τι μήτε πλεονάζειν· εἰς τὰ ἑαυτοῦ γὰρ
μέρη ἀναλυόμενος συμπληροῦται, οἷον τῶν ἓξ εἰς ἴσα μέρη ἐξ ἴσων τεμνομένων μερῶν
ἀνάγκη τὴν αὐτὴν ἐκ τῶν διαμερισθέντων τμημάτων πάλιν ποσότητα πληροῦσθαι.
πρῶτον γὰρ μέρος κατὰ μέσον διαιρούμενος ποιεῖ τὸν τρία, εἶτα εἰς τρία διαιρούμε-
νος μέρη ποιεῖ τὸν δύο, εἶτα εἰς ἓξ μερισθεὶς ποιεῖ τὸν ἕνα, καὶ συμπληροῦται πάλιν 201
εἰς ἑαυτόν· εἰς γὰρ δὶς τρία καὶ τρὶς δύο καὶ ἑξάκις ἓν διαιρούμενος, συντιθεμένων
τῶν τριῶν καὶ τῶν δύο καὶ τοῦ ἑνός, πάλιν ἀναπληροῖ τὸν ἕξ. τέλειον δὲ πᾶν ἓξ

ἀνάγκης ἐστὶ τὸ μήτε προςδεόμενον εἰς συμπλήρωσιν ἑτέρου μήτε πλεονάζον ἑαυτοῦ
πώποτε. τῶν δὲ ἄλλων ἀριθμῶν οἱ μὲν ὑπερτέλειοί εἰσιν, ὡς ὁ δώδεκα (τὸ γὰρ ἴσον
αὐτοῦ μέρος τὰ ἕξ, καὶ τὸ τρίτον τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ τρία, καὶ τὸ ἕκτον
τὰ δύο, καὶ τὸ δωδέκατον τὸ ἕν, εἰς ἃ δύναται μερίζεσθαι, συντεθέντα ὑπερβάλλουσι
τὸν δώδεκα, οὐ τηρήσαντος ἑαυτὸν ἴσον τοῖς αὐτοῦ μέρεσιν, ὡς ὁ ἕξ), οἱ δὲ ὑποτέ-
λειοι, ὡς ὁ ὀκτώ. τὸ γὰρ ἥμισυ αὐτοῦ τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ δύο, καὶ τὸ
202 ὄγδοον τὸ ἕν, εἰς ἃ τέμνεται μέρη, συντεθέντα ποιεῖ τὸν ἑπτά, καὶ προςδεῖται μονά-
δος εἰς τὴν ἑαυτοῦ συμπλήρωσιν, οὐχ ὡς ὁ ἕξ παντοίως ἑαυτῷ σύμφωνος ὤν. διὸ καὶ
τὴν ἀναφορὰν εἰς τὸν υἱὸν εἴληφε τοῦ θεοῦ, ἀπὸ τοῦ πληρώματος τῆς θεότητος εἰς τὸν
Phil. 2,7. βίον ἐληλυθότος· κενωθεὶς γὰρ καὶ τὴν μορφὴν τοῦ δούλου προςλαβὼν εἰς τὴν ἑαυτοῦ
τελειότητα πάλιν ἀνεπληρώθη καὶ τὴν ἀξίαν. αὐτὸς γὰρ ἐν ἑαυτῷ σμικρυνθείς, καὶ ἐν
τοῖς ἑαυτοῦ μέρεσιν ἀναλυθείς, ἐκ τῆς ἑαυτοῦ σμικρότητος καὶ τῶν ἑαυτοῦ μερῶν εἰς τὴν
συμπλήρωσιν πάλιν τὴν ἑαυτοῦ καὶ τὸ μέγεθος κατέστη, οὐδέποτε τοῦ τέλειος εἶναι
μειωθείς. ἀλλὰ καὶ ἡ τοῦ κόσμου κτίσις ἐκ τούτου φαίνεται πᾶσα συγκειμένη τοῦ
203 ἀριθμοῦ καὶ τῆς ἁρμονίας, ἐν ἓξ ἡμέραις ποιήσαντος τοῦ θεοῦ τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ τὰ ἐν αὐτοῖς, τῆς ποιητικῆς δυνάμεως τοῦ λόγου τὸν ἓξ ἐμπεριέχοντος ἀριθμόν,
καθ' ὃν ἡ τριὰς σωμάτων ἐστὶ ποιητική· μῆκος γὰρ καὶ πλάτος καὶ βάθος σῶμα ἐρ-
γάζεται, ὁ δὲ ἓξ ἐκ τῶν τριγώνων ἐστὶ συγκείμενος. καὶ περὶ μὲν τούτων οὐκ ἔστι
καιρὸς πρέπων ἐν τῷ παρόντι δι' ἀκριβείας διεξελθεῖν, ἵνα μὴ τὸ προκείμενον ἐάσαν-
τες τὸ πάρεργον σκοπῶμεν.

XII. Οὐκοῦν δεῦρο εἰς τὴν ἔρημον ἐλθοῦσα ταύτην καὶ ἄγονον κακῶν ἡ ἐκκλησία
τρέφεται, πτερουμένη τοῖς οὐρανοπόροις τῆς παρθενίας πτεροῖς, ἃς ἀετοῦ μεγάλου
Ezech. 17,3. πτέρυγας ὁ λόγος ἔφη, νικήσασα τὸν ὄφιν καὶ τῆς πληροσελήνου τῆς ἑαυτῆς τὰς νεφέ-
204 λας τὰς δυςχειμέρους ἀπωσαμένη. τούτων γὰρ χάριν μεταξὺ πάντες οὗτοι παρηνέχθη-
σαν λόγοι, διδάσκοντες ὑμᾶς, ὦ καλλιπάρθενοι, κατὰ κράτος μιμεῖσθαι τὴν μητέρα,
μὴ ἐπιθολοῦσθαι δὲ ταῖς ἀχθηδόσι καὶ τροπαῖς καὶ θλίψεσι τοῦ βίου, ἵνα συνειςέλ-
θητε γαῦροι μετ' αὐτῆς εἰς τὸν νυμφῶνα, παραφαίνουσαι τὰς λαμπάδας. μὴ οὖν ἀπο-
δειλιάσητε πρὸς τὰς μεθοδείας καὶ διαβολὰς τοῦ θηρός, ἀλλὰ καρτερῶς ἐνσκευάσασθε
Ephes. 6,17. πρὸς τὴν μάχην, τὴν κόρυν τοῦ σωτηρίου καὶ τὸν θώρακα καὶ τὰς κνημῖδας ἐξωπλι-
σμέναι. μυρίαν γὰρ αὐτῷ κατάπληξιν παρέξετε μετὰ πολλοῦ λήμματος καὶ εὐψυχίας
προςβάλλουσαι, οὐδὲ στήσεται πάντως ἐκ τοῦ κρείττονος ὁρῶν τὰς ἀντιπάλους παρατε-
205 ταγμένας, ἀλλ' αὐτόθεν ἄρασθαι τῶν ἑπτὰ παλαισμάτων ὑμᾶς συγχωρήσει τὰ ἀριστεῖα
ὁ πολυκέφαλος καὶ πολυπρόσωπος θήρ,

πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ Χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο·
καὶ τὴν μὲν κατέπεφνε πατρὸς τεράτεσσι πιθήσας
Χριστὸς ἄναξ· πολλοὺς γὰρ ἀπώλεσεν, οὐδέ τις ἔτλη
λοίγιον ἐκ γενύων ἀφρὸν ἐρευγομέναν,

εἰ μὴ πρότερον ἐκλύσας αὐτὴν κατειργάσατο καὶ ἀσθενῆ καὶ εὐκαταφρόνητον ἡμῖν παν-
τελῶς ἐποίησε Χριστός.

206 XIII. Διὸ θυμὸν ἄῤῥενα λαβοῦσαι καὶ νήφοντα ἐναντία θέσθε τῷ θηρὶ σφριγῶντι
τὰ ὅπλα, μηδὲ ὑποχωρήσητε τὸ σύνολον, ἐφ' οἷς θρασύνεται ταραχθεῖσαι· μυρίον γὰρ
ἕξετε κλέος, ἐὰν ἀφέλητε νικήσασαι τοὺς ἐπ' αὐτοῦ στεφάνους ἑπτά, δι' οὓς ὁ ἀγὼν
Ephes. 6,12. ἡμῖν πρόκειται καὶ ἡ πάλη κατὰ τὸν διδάσκαλον Παῦλον. ἡ γὰρ καταγωνισαμένη τὸν
διάβολον πρότερον καὶ νεκρώσασα τὰς ἑπτὰ κεφαλὰς τῶν ἑπτὰ στεφάνων τῆς ἀρετῆς
ἐγκρατὴς γίνεται, τοὺς ἑπτὰ μεγίστους ἀγῶνας διαθλήσασα τῆς ἁγνείας. κεφαλὴ γὰρ
τοῦ δράκοντός ἐστιν ἡ ἀκρασία καὶ ἡ τρυφή· ὁ ταύτην συνθλάσας ἀναδεῖται τὸν στέ-
φανον τῆς σωφροσύνης. κεφαλή ἐστι καὶ ἡ δειλία καὶ ἡ θρύψις· ὁ ταύτην πατήσας
τὸν στέφανον ἀναιρεῖται τοῦ μαρτυρίου. κεφαλή ἐστι καὶ ἡ ἀπιστία καὶ ἡ ἄνοια καὶ
207 τὰ ἄλλα ὡςαύτως τῆς πονηρίας πλεονεκτήματα· ὁ ταῦτα κατεργασάμενος καὶ ἀνελὼν
τὰς ἐπ' αὐτοῖς τιμὰς ἀποφέρεται, πολυτρόπως ἐκκεραϊζομένης τοῦ δράκοντος τῆς ἰσχύος.
καὶ γὰρ καὶ τὰ δέκα κέρατα καὶ κέντρα, ἅπερ ἐπὶ ταῖς κεφαλαῖς ἐλέχθη φέρειν, αἱ
δέκα ἀντιθέσεις εἰσίν, ὦ καλλιπάρθενοι, τοῦ Δεκαλόγου, αἷς ἀνακεραΐζειν εἴωθε καὶ
Deut. 6,5. βάλλειν τὰς τῶν πλείστων ψυχάς, τῇ „ἀγαπήσεις“ ἐντολῇ „τὸν κύριόν σου“ τὰ ἐναν-
τία φρονῶν καὶ τεκταινόμενος καὶ τοῖς ἑξῆς νομοθετήμασιν. ἰδὲ γὰρ κέρας αὐτοῦ
διάπυρον καὶ πικρὸν τὴν πορνείαν, ᾧ τοὺς ἀκράτορας βάλλει, ἰδὲ τὴν μοιχείαν,
ἰδὲ τὸ ψεῦδος, ἰδὲ τὴν φιλαργυρίαν, ἰδὲ τὴν κλοπὴν καὶ τὰ ἄλλα τούτοις ἀδελ-
208 φὰ καὶ συγγενῆ, ὁπόσα ἐξισχύουσιν ἀμφὶ ταῖς κεφαλαῖς αὐτοῦ ταῖς ἀνθρωποκτό-
νοις πεφυκότα· ἃς ὑμεῖς συμμαχήσαντος Χριστοῦ ἐκκεραΐσασαι λήψεσθε, τοῖς κατὰ
τοῦ δράκοντος καταναθεμῶσαι στεφανώμασιν ὑμῶν τὰς θείας κεφαλάς. ἡμέτερον προ-
κρίνειν γὰρ τὰ κρείττω καὶ προτάσσειν τῶν γηγενῶν, αὐτοκράτορα καὶ αὐτεξούσιον

τὸν λογισμὸν εἰληφότας καὶ πάσης ἀνάγκης ἐκτὸς εἰς τὸ αὐτοδεσπότως αἱρεῖσθαι τὰ
ἀρέσκοντα, οὐ δουλεύοντας εἱμαρμένῃ καὶ τύχαις. ὡς οὐκ ἄνθρωπος αὑτοῦ κύριος
ἔσοιτο καὶ ἀγαθός, εἰ μὴ τῷ ἀνθρωπίνῳ παραδείγματι χρώμενος τοῦ Χριστοῦ καὶ
πρὸς ἐκεῖνον ἑαυτὸν ζωγραφῶν κἀκεῖνον μιμούμενος βιώσει. πάντων γὰρ κακῶν μέ-
γιστον ἔμφυτον τοῖς πολλοῖς τὸ τὰς αἰτίας τῶν ἁμαρτημάτων εἰς τὰς τῶν ἀστέρων 209
κινήσεις ἀναφέρειν καὶ τὸν βίον ἡμῶν οἰακίζεσθαι τῆς εἱμαρμένης ταῖς ἀνάγκαις λέ-
γειν, καθάπερ οἱ μετὰ ἀλαζονείας πολλῆς ἀστεροσκοπήσαντες· ὑπονοίᾳ γὰρ μᾶλλον
ἢ τῷ φρονεῖν πεπιστευκότες, ὃ μεταξὺ τῆς ἀληθείας ἐστὶ καὶ τοῦ ψεύδους, πολὺ τῆς
τῶν ὄντως ὄντων θέας ἐξηπατήθησαν. ὅθεν εἰ παρίῃς, ὦ Ἀρετή, πληρωθέντος ἤδη
μοι τοῦ λόγου, ὃν αὐτὴ προσέταξας, δέσποινα, ῥηθῆναι, πειράσομαι δὴ συναγωνιζο-
μένης σου καὶ συμπνεούσης πρὸς τοὺς χαλεπαίνοντας καὶ ἀμφιςβητοῦντας ὡς οὐκ
ἀληθῆ λέγομεν, αὐτεξούσιον εἶναι φάσκουσαι τὸν ἄνθρωπον, διευκρινήσασθαι ὅτι 210

σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε᾽ ἔχουσιν,

αἱρούμενοι τὰ ἡδέα πρὸ τῶν συμφερόντων.

ΑΡΕΤΗ. Ἀλλὰ παρίημι καὶ συναγωνίζομαι· τελέως γὰρ ὁ λόγος κεκοσμήσεται
καὶ τούτων προςαφθέντων.

XIV. *ΘΕΚΛΑ.* Πάλιν οὖν δὴ πρῶτον περὶ τούτων εἰς δύναμιν εἴπωμεν, τὴν
γοητείαν αὐτῶν, ἐφ᾽ ᾗ θρασύνονται, γυμνώσαντες, ὡς μόνων κατειληφότων ἐξ οἵων
ὁ οὐρανὸς κεκόσμηται σχημάτων κατὰ τὰς Αἰγυπτίων καὶ Χαλδαίων ὑποθέσεις. φά-
σκουσι γὰρ ὥςπερ σφαίρας ἐντόρνου στροφαῖς ἀπεικάζεσθαι τὴν περιφέρειαν τοῦ
κόσμου, τῆς γῆς κέντρου καὶ σημείου τόπον ἐπεχούσης. περιφορᾶς γὰρ οὔσης σφαι- 211
ρικῆς, ἀνάγκη, φασί, κατὰ τὰς ὁμοίας διαστάσεις τῶν αὐτῶν ὄντων διαστημάτων
μέσην τοῦ παντὸς τὴν γῆν τυγχάνειν, περὶ ἣν ὁ οὐρανὸς περιδινεῖται προγενεστέραν
οὖσαν. εἰ γὰρ ἐκ σημείου καὶ κέντρου περιφέρεια συνέστηκεν, ὃ δὴ κύκλος εἶναι
δοκεῖ, ἀδύνατον δὲ χωρὶς σημείου καταγραφῆναι κύκλον, κύκλον δ᾽ ἔσεσθαι ἀδύνα-
τον ἄνευ σημείου· πῶς οὐ πρὸ πάντων ἡ γῆ, φησί, συνέστηκε καὶ τὸ κατ᾽ αὐτὴν
χάος καὶ βάθος; εἰς χάος γὰρ καὶ βάθος ὄντως κατωλίσθησαν οἱ σχέτλιοι πλάνης,
οἳ „γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ᾽ ἐματαιώθησαν ἐν Rom. 1, 21.
τοῖς διαλογισμοῖς, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία," καὶ ταῦτα καὶ τῶν
παρ᾽ αὐτοῖς εἰρηκότων σοφῶν ὡς οὐδὲν Ὀλυμπίων ἐντιμότερον γηγενὲς καὶ πρεσβύ-
τερον. ὅθεν οὐκ ἀεὶ παῖδες ὄντως οἱ Χριστὸν ἐγνωκότες, καθάπερ Ἕλληνες, οἳ μύ- 212
θοις μᾶλλον καὶ πλάσμασιν ἢ τέχνῃ τῶν λόγων τὴν ἀλήθειαν χώσαντες, καὶ τοῖς
οὐρανοῖς τὰς τῶν ἀνθρώπων προσαρμόσαντες συμφοράς, οὐδὲν αἰσχύνονται καταγρά-
φοντες τὴν τῆς οἰκουμένης περιφορὰν γεωμετρικοῖς θεωρήμασι καὶ σχήμασι, καὶ τὸν
οὐρανὸν εἰδώλοις πτηνῶν καὶ νηκτῶν καὶ χερσαίων εἰςηγούμενοι κεκοσμῆσθαι καὶ
τὰς ποιότητας τῶν ἀστέρων ἐκ τῶν περὶ τοὺς ἀρχαίους ἀνθρώπους συμφορῶν κατε-
σκευάσθαι, ὥςτε τὰς τῶν πλανητῶν αὐτοῖς κινήσεις ἐκ τοιούτων ἠρτῆσθαι σωμάτων.
εἰλίσσεσθαι γὰρ περὶ τὴν τῶν δώδεκα ζωδίων φύσιν φασὶ τοὺς ἀστέρας, ἑλκομένους
τοῦ ζωδιακοῦ κύκλου τῇ φορᾷ, ὡς καὶ διὰ συγκράσεως αὐτῶν ὁρᾶσθαι τὰ ἀποβαί- 213
νοντα πολλοῖς κατὰ τὰς πρὸς ἀλλήλους αὐτῶν συναφείας τε καὶ ἀποῤῥοίας, ἀνατολάς
τε αὖ καὶ δύσεις. σφαιροειδὴς γὰρ ὑπάρχων ὁ πᾶς οὐρανὸς καὶ κέντρῳ καὶ σημείῳ
κατ᾽ αὐτοὺς τῇ γῇ χρώμενος, διὰ τὸ πάσας ἀπὸ τῆς περιφορᾶς τὰς προςπιπτούσας
εὐθείας ἐπὶ τὴν γῆν ἴσας ἀλλήλαις εἶναι, ὑπὸ τῶν περιεχόντων αὐτὸν διακρατεῖται
κύκλων· ὧν μείζων μὲν ὁ μεσημερινὸς δοκεῖ, καὶ δεύτερος ὁ εἰς ἴσα τέμνων μέρη
καλούμενος ὁρίζων, τρίτος δὲ ὁ τούτους ἐπιδιαιρῶν ἰσημερινός. παρ᾽ ἑκάτερα δὲ
τούτου τροπικοὶ δύο, θερινὸς καὶ χειμερινός· καὶ ὁ μὲν πρὸς τοῖς ἀρκτίοις, ὁ δὲ
πρὸς τοῖς νοτίοις μέρεσιν. τούτων ὁ λεγόμενος ἄξων, περὶ ὃν αἵ τε Ἄρκτοι, ὅ τε
ἀρκτικὸς ἔξωθεν ἔχων τὸν τροπικόν. καὶ αἱ μὲν Ἄρκτοι περὶ αὐτὰς στρεφόμεναι 214
καὶ βρίθουσαι τὸν διὰ τῶν πόλων ἄξονα τὴν τοῦ παντὸς ἀπεργάζονται κίνησιν κό-
σμου, κατὰ τὰς ἀλλήλων ἰξύας ἔχουσαι τὰς κεφαλὰς καὶ ἄχραντοι τοῦ καθ᾽ ἡμᾶς
ὁρίζοντος οὖσαι. τὸν ζωδιακὸν δὲ πάντων ἐφάπτεσθαι τῶν κύκλων, λοξὴν ποιούμε-
νον τὴν κίνησιν, εἶναί τε ἐν αὐτῷ ζωδίων ἀριθμόν, ἃ καλεῖται δωδεκατημόρια δώ-
δεκα, ἀπὸ Κριοῦ τὴν ἀρχὴν ἔχοντα μέχρι τῶν Ἰχθύων, ἃ κατηστερίσθαι παριστᾶσιν
ἐχεμύθοις αἰτίαις, τὸν μὲν Κριὸν φάσκοντες τὸν τὴν Ἕλλην εἶναι τὴν Ἀθάμαντος
διακομίσαντα καὶ Φρύξον εἰς Σκύθας, τὸ δὲ Βούκρανον, εἰς τιμὴν Διός, τοῦ τὴν Εὐ-
ρώπην ταύρου διαπεραιώσαντος εἰς τὴν Κρήτην· καὶ τὸν καλούμενον δὲ Γαλαξίαν
κύκλον, ὃς τὴν ἀρχὴν ἀπὸ τοῦ συνδέσμου τῶν Ἰχθύων ἐπὶ τὸν Κριὸν ποιεῖ, ἀπὸ 215
τῶν τῆς Ἥρας μαζῶν Ἡρακλεῖ προχυθῆναι λόγος Διὸς ταγαῖς. ὥςτε κατ᾽ αὐτοὺς πρὸ
τῆς Εὐρώπης ἢ Φρύξου καὶ τοῖν Διοσκούροιν καὶ τῶν ἄλλων ζωδίων τῶν ἐξ ἀνθρώ-
πων καὶ θηρῶν καταστερισθέντων οὔπω γένεσις ἦν. ἀλλὰ χωρὶς γενέσεως ἐβίωσαν

ἡμῶν οἱ παλαιότεροι· ἐπιχειρητέον γὰρ μή πως τὸ ψεῦδος ἰσχύσωμεν ὥςπερ ἰατροὶ
φαρμάκοις τῶν λόγων ἀμβλύναντες ἰατικοῖς σβέσαι, τῇδε σκοποῦσαι τὴν ἀλήθειαν.
XV. *Εἰ κρεῖσσον ἦν τὸ ὑπὸ γένεσιν εἶναι τοὺς ἀνθρώπους, ὦ σχέτλιοι, τοῦ μὴ
216 εἶναι, δι' ἣν αἰτίαν οὐκ αὐτόθεν, ἀφ' οὗπερ ἔφυ τὸ γένος τῶν ἀνθρώπων, γένεσις
ἦν; εἰ δὲ ἦν, τίς χρεία τῶν ὑπόγυιον καταστερισθέντων, Λέοντος, Καρκίνου, Δι-
δύμων, Παρθένου, Ταύρου, Ζυγοῦ, Σκορπίου, Κριοῦ, Τοξότου, Ἰχθύων, Αἰγόκερω,
Ὑδροχόου, Περσέως, Κασσιοπείας, Κηφέως, Πηγάσου, Ὕδρου, Κόρακος, Κρατῆρος,
Λύρας, Δράκοντος, καὶ τῶν ἄλλων, ἐξ ὧν εἰςηγεῖσθε κατακοσμηθέντας τοὺς πολλοὺς
κατειληφέναι τὴν μαθηματικὴν ταύτην, μᾶλλον δὲ καταθεματικὴν πρόγνωσιν; ἤτοι
οὖν καὶ ἐπὶ τῶν ἔμπροσθεν γένεσις ἦν, καὶ μάταιος ἡ τούτων σύστασις, ἢ οὐκ ἦν,
καὶ εἰς τὴν κρείσσονα κατάστασιν καὶ διαγωγὴν ὁ θεὸς τὸν βίον μετέστησε, τῶν
217 ἔμπροσθεν χείρονα βιωσάντων χρόνον. ἀλλὰ κρείττους οἱ παλαιότεροι τῶν νῦν,
ὅθεν καὶ χρυσοῦν ἐκλήθησαν γένος. οὐκ ἄρα γένεσις. εἰ ὁ ἥλιος καθιππεύων τοὺς
κύκλους καὶ ἐπιπορευόμενος ἐτησίοις τὰ ζώδια περιόδοις τὰς μεταβολὰς ἀποτελεῖ καὶ
τὰς τροπὰς τῶν καιρῶν, οἱ πρὸ τοῦ καταστερισθῆναι τὰ ζώδια γεγονότες καὶ κοσμη-
θῆναι τούτοις τὸν οὐρανον πῶς διήρκεσαν, μηδέπω θέρους, μετοπώρου, χειμῶνος,
ἔαρος διακεκριμένων, δι' ὧν ἡ τοῦ σώματος αὔξεται καὶ συγκρατεῖται φύσις; ἀλλ'
ἐξήρκεσαν καὶ πολυχρονιώτεροι γεγόνασι καὶ ῥωμαλεώτεροι παρὰ τοὺς νῦν, ὁμοίως
καὶ τότε διευθύναντος τοὺς καιροὺς τοῦ θεοῦ. οὐκ ἄρα ἐκ τοιούτων ὁ οὐρανὸς πε-
218 ποίκιλται σχημάτων. εἰ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄλλα ἄστρα, τὰ εἰς διορισμὸν
Gen. 1, 17. καὶ φυλακὴν ἀριθμῶν χρόνου γεγονότα καὶ κόσμον οὐρανοῦ καὶ τροπὰς καιρῶν, θεῖά
ἐστι καὶ κρείττω τῶν ἀνθρώπων, ἀνάγκη καὶ κρείττονα βίον καὶ μακάριον αὐτὰ καὶ
εἰρηνικὸν καὶ πολλῷ τοῦ ἡμετέρου βίου διαλλάττοντα δικαιοσύνῃ καὶ ἀρετῇ διάγειν,
κινούμενα κίνησιν εὔτακτον καὶ εὐδαίμονα. [1] εἰ δὲ τὰς τῶν θνητῶν συμφορὰς καὶ κακο-
φροσύνας αὐτὰ τεκταίνεται καὶ ἐνεργεῖ, περὶ τὰς ἀσελγείας ἀσχολούμενα καὶ τὰς με-
ταβολὰς καὶ τροπὰς τοῦ βίου ἄρα ἀθλιώτερα τῶν ἀνθρώπων ἐστίν, εἰς τὴν γῆν
βλέποντα καὶ τὰς ἐπικήρους καὶ ἀθέσμους πράξεις καὶ μηδὲν κρεῖττον τῶν ἀνθρώ-
219 πων διάγοντα, εἴ γε τῆς ἐκείνων ἀποῤῥοίας καὶ κινήσεως ὁ ἡμέτερος ἤρτηται βίος.
XVI. *Εἰ πᾶσα πρᾶξις χωρὶς ἐπιθυμίας οὐ γίνεται*, οὐδὲ μὴν ἐπιθυμία χωρὶς ἐν-
δείας, ἀνενδεὲς δὲ τὸ θεῖον, ἀνεννόητον ἄρα πονηρίας. καὶ εἰ ἡ τῶν ἄστρων φύσις
ἐγγυτέρω τέτακται θεοῦ, κρείττων οὖσα τῆς τῶν κρειττόνων ἀνθρώπων ἀρετῆς, ἀνεν-
νόητα κακίας ἐστὶ καὶ ἀνενδεῆ τὰ ἄστρα. καὶ ἄλλως. πᾶς ἡμῖν ὁμολογήσει τῶν
πεπεισμένων τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας εἶναι θεῖα, καὶ μακρὰν
ἀπῳκίσθαι κακίας καὶ τῶν γηγενῶν πράξεων, ἀνεπίδεκτα πάθους ἡδονῆς ὄντα καὶ
λύπης· οὐ γὰρ προσεῖναι τοῖς οὐρανίοις τοιαύτας ὀρέξεις βδελυκτάς. εἰ δὲ τούτων
220 ἐκτὸς καὶ ἀνενδεῆ πεφύκασι, πῶς τοῖς ἀνθρώποις ἃ μὴ αὐτοὶ βούλονται καὶ ὧν
ἐκτός εἰσι τεκταίνονται; οἱ δὲ ὁριζόμενοι τὸν ἄνθρωπον μὴ εἶναι αὐτεξούσιον, ἀλλ'
ἀνάγκαις ἀφύκτοις εἱμαρμένης λέγοντες οἰακίζεσθαι καὶ ἀγράφοις προστάγμασιν, εἰς
αὐτὸν ἀσεβοῦσι τὸν θεόν, παρεκτικὸν αὐτὸν τῶν ἀνθρωπίνων κακῶν καὶ ποιητὴν
εἰςηγούμενοι. εἰ γὰρ τῶν ἀστέρων ἅπασαν κυκλικὴν κίνησιν ἐμμελῶς αὐτὸς ἀφράστῳ
σοφίᾳ καὶ ἀνεννοήτῳ διέπει, κατευθύνων τὸν οἴακα τῆς οἰκουμένης, οἱ δὲ ἀστέρες
τὰς ποιότητας τῆς κακίας καὶ τῆς ἀρετῆς ἐκτελοῦσι τῷ βίῳ, ἀνάγκης δεσμοῖς τοὺς
ἀνθρώπους ἕλκοντες εἰς ταῦτα, αἴτιον τῶν κακῶν τὸν θεὸν ἀποφαίνονται καὶ δότην.
221 ἀλλ' ἀναίτιος πᾶσι πάσης βλάβης ὁ θεός. οὐκ ἄρα γένεσις. πᾶς ὅςτις κἂν βραχὺ
συνετὸς ὁμολογήσει τὸ θεῖον δίκαιον, ἀγαθόν, σοφόν, ἀληθές, ὠφέλιμον, ἀναίτιον
κακῶν, ἀσύμπλοκον πάθους καὶ πᾶν ὅ τι τοιοῦτον. καὶ εἰ οἱ δίκαιοι κρείσσους
εἰσὶ τῶν ἀδίκων καὶ ἔστιν αὐτοῖς ἡ ἀδικία βδελυκτή, χαίρει δὲ ὁ θεὸς τῇ δικαιο-
σύνῃ, δίκαιος ὤν, στυγητὴ αὐτῷ ἡ ἀδικία, ἐναντίον οὖσα καὶ ἐχθρὸν τῇ δικαιοσύνῃ.
οὐκ ἄρα ἀδικίας αἴτιος ὁ θεός. εἰ τὸ ὠφελοῦν πάντως ἐστὶν ἀγαθόν, ὠφέλιμον δὲ
σωφροσύνη καὶ οἴκῳ καὶ βίῳ καὶ φίλοις, ἀγαθὸν ἄρα ἐστὶν ἡ σωφροσύνη. καὶ εἰ ἡ
σωφροσύνη φύσει ἀγαθόν, ἀκολασία δὲ ἐναντίον σωφροσύνῃ, τὸ δὲ ἐναντίον τῷ
222 ἀγαθῷ κακόν, κακὸν ἄρα ἡ ἀκολασία. καὶ εἰ ἡ ἀκολασία φύσει κακόν, κατὰ ἀκο-
λασίαν δὲ μοιχεῖαι γίνονται καὶ κλοπαὶ καὶ ὀργαὶ καὶ φόνοι, φύσει ἄρα κακόν
ἐστιν ὁ ἀκόλαστος βίος. τὸ δὲ θεῖον κακῶν ἀσύμπλοκον πέφυκεν. οὐκ ἄρα γένεσις.
εἰ οἱ σώφρονες βελτίους εἰσὶ τῶν ἀκολάστων καὶ ἔστιν αὐτοῖς ἡ ἀκρασία βδελυκτή,
χαίρει δὲ ὁ θεὸς τῇ σωφροσύνῃ, παθῶν ἀνεννόητος ὤν, στυγητὴ ἄρα καὶ τῷ θεῷ ἡ
ἀκρασία. ὅτι δὲ ἡ κατὰ σωφροσύνην πρᾶξις, ἀρετὴ οὖσα, κρείττων ἐστὶ τῆς κατὰ
ἀκρασίαν, κακίας οὔσης, μαθεῖν ἔστιν ἀπὸ βασιλέων, ἀπὸ ἀρχόντων, ἀπὸ στρατη-

1) *Εἰ δὲ* .. (p. 219) .. *ἀνενδεῆ τὰ ἄστρα.* Haec, uti illa: (p. 224) *εἰ τὸ ἀνελεῖν τινα* .. (p. 226) .. *οὐκ ἄρα γένεσις*, postpositis verbis: (p. 222) *ὅτι δὲ ἡ κατὰ σωφρ.* .. (p. 223) .. *βλαβερός*, paulo breviora exhibet Phot. cod. 237. p. 311, b. 6. — p. 312, a. 2.

γῶν, ἀπὸ γυναικῶν, ἀπὸ τέκνων, ἀπὸ πολιτῶν, ἀπὸ δεσποτῶν, ἀπὸ οἰκετῶν, ἀπὸ
παιδαγωγῶν, ἀπὸ διδασκάλων· ἕκαστος γὰρ τούτων καὶ ἑαυτῷ καὶ τῷ κοινῷ ὠφέλι- 223
μος γίνεται σωφρονῶν, ἀκολασταίνων δὲ καὶ ἑαυτῷ καὶ τῷ κοινῷ βλαβερός. καὶ εἰ
ἔστι διαφορά τις κιναίδων καὶ ἀνδρείων, ἀκολάστων καὶ σωφρόνων, καὶ ἔστι κρείσ-
σων ἡ τῶν ἀνδρείων καὶ σωφρόνων, χείρων δὲ ἡ τῶν ἐναντίων, οἱ δὲ τῆς κρείσσονος
ἐγγύς εἰσι καὶ φίλοι θεοῦ καὶ οἱ τῆς χείρονος μακρὰν καὶ ἐχθροί, οἱ λέγοντες
γένεσιν τὸ αὐτὸ τὴν ἀδικίαν εἶναι καὶ τὴν δικαιοσύνην διορίζονται, κιναιδίαν καὶ
ἀνδρείαν, ἀκρασίαν καὶ σωφροσύνην, ὅπερ ἀδύνατον. εἰ γὰρ τῷ κακῷ τἀγαθὸν
ἐναντίον, τὸ δὲ ἄδικον κακόν, τοῦτο δὲ ἐναντίον τῷ δικαίῳ, τὸ δὲ δίκαιον ἀγαθόν,
τὸ δὲ ἀγαθὸν ἐχθρὸν τοῦ κακοῦ, ἀνόμοιον δὲ τὸ κακὸν τῷ ἀγαθῷ, ἕτερον ἄρα τὸ 224
δίκαιον τοῦ ἀδίκου. οὐκ ἄρα αἴτιος κακῶν ὁ θεός, οὐδὲ χαίρει τοῖς κακοῖς, ὡς
συνίστησιν αὐτὸς ὁ λόγος, ἀγαθὸς ὤν. εἰ εἰσὶ δὲ πονηροί τινες, κατὰ ἔνδειαν φρε- 1 Cor. 13, 6.
νῶν εἰσιν οὗτοι πονηροὶ καὶ οὐ κατὰ γένεσιν,

σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε᾽ ἔχοντες.

εἰ τὸ ἀνελεῖν τινα καὶ φόνῳ τὰς χεῖρας αἱμάξαι γένεσις ἐργάζεται, τοῦτο δὲ νόμος
κωλύει, κολάζων τοὺς ἀλάστορας καὶ δι᾽ ἀπειλῆς ἀπείργων τὰ τῆς γενέσεως δόγματα,
οἷον τὸ ἀδικῆσαι, μοιχεύσασθαι, κλέψαι, φαρμακεῦσαι, ἐναντίον ἄρα ὁ νόμος γενέ-
σει. ὅσα μὲν γὰρ γένεσις ὥρισε, ταῦτα νόμος κωλύει, ὅσα δὲ νόμος κωλύει, ταῦτα 225
γένεσις ποιεῖν βιάζεται. πολέμιον ἄρα γενέσει νόμος. εἰ δὲ πολέμιον, οὐκ ἄρα κατὰ
γένεσιν οἱ νομοθέται νομοθέται· τὰ γὰρ ἐναντία δογματίζοντες γενέσει γένεσιν λύουσιν.
ἤτοι οὖν γένεσις ἔστι, καὶ οὐκ ἐχρῆν εἶναι νόμους, ἢ εἰσὶ νόμοι, καὶ οὐκ εἰσὶ κατὰ
γένεσιν. ἀλλ᾽ ἀμήχανον χωρὶς γενέσεως φῦναί τινα καὶ διαπράξασθαί τι· οὐδὲ γὰρ
τὸν δάκτυλον ἐξεῖναί φασι χωρὶς εἱμαρμένης κινῆσαί τινι. κατὰ γένεσιν ἄρα καὶ
Μίνως καὶ Δράκων καὶ Λυκοῦργος καὶ Σόλων καὶ Ζάλευκος νομοθέται φύντες διε-
τάξαντο τοὺς νόμους, ἀπαγορεύοντες μοιχείας, φόνους, βίας, ἁρπαγάς, κλοπάς, ὡς
οὐκ ὄντων τούτων καὶ γινομένων κατὰ γένεσιν. εἰ δὲ κατὰ γένεσιν καὶ ταῦτα, οὐ 226
κατὰ γένεσιν οἱ νόμοι· οὐ γὰρ ἂν αὐτὴ ὑφ᾽ ἑαυτῆς ἀνῃρεῖτο ἡ γένεσις, αὐτὴ ἑαυτὴν
ἀκυροῦσα καὶ αὐτὴ ἑαυτῇ μαχομένη, καὶ ἐνταῦθα μὲν ἀπαγορευτικοὺς μοιχείας καὶ
φόνων νόμους τιθεμένη καὶ τιμωρουμένη καὶ ἐπεξερχομένη τοὺς κακούς, ἐνταῦθα δὲ
φόνους καὶ μοιχείας ἐργαζομένη. ἀλλὰ τοῦτο ἀδύνατον· οὐδὲν γὰρ ἀλλόκοτον αὐτὸ
ἑαυτῷ καὶ αὐτὸ ἑαυτῷ ἀπεχθανόμενον καὶ αὐτὸ ἑαυτὸ καταλῦον καὶ ἀσύμφωνον
αὐτὸ ἑαυτῷ. οὐκ ἄρα γένεσις. εἰ κατὰ γένεσιν πᾶν ὅ τί ποτ᾽ οὖν γίνεται καὶ ἔστι
δίχα γενέσεως οὐδέν, ἀνάγκη καὶ τὸν νόμον γενέσει γεγονέναι. ἀλλὰ νόμος γένεσιν
ἀναιρεῖ, διδακτὴν διδάσκων τὴν ἀρετὴν καὶ ἐξ ἐπιμελείας προσγινομένην, φευκτὴν δὲ 227
τὴν κακίαν καὶ ἐξ ἀπαιδευσίας φυομένην. οὐκ ἄρα γένεσις. εἰ τὸ ἀλλήλους ἀδικεῖν
καὶ τὸ ὑπ᾽ ἀλλήλων ἀδικεῖσθαι γένεσις ποιεῖ, τίς χρεία νόμων; εἰ δὲ ἵνα τοὺς ἁμαρ-
τάνοντας ἀμύνωνται, φροντίζοντος τοῦ θεοῦ τῶν ἀδικουμένων, ἄμεινον ἦν τὸ κακὸν μὴ
ποιῆσαι καθ᾽ εἱμαρμένην ἢ μετὰ τὸ ποιῆσαι νόμοις ἐπανορθοῦσθαι. ἀλλ᾽ ἀγαθὸς ὁ
θεὸς καὶ σοφὸς καὶ τὰ κρείσσω ποιῶν. οὐκ ἄρα γένεσις. ἤτοι ἀνατροφαὶ καὶ τὰ ἔθη
τῶν ἁμαρτημάτων εἰσὶν αἴτια, ἢ τὰ πάθη τῆς ψυχῆς καὶ αἱ διὰ σώματος ἐπιθυμίαι.
ὁπότερον δ᾽ ἂν τούτων ᾖ τὸ αἴτιον, οἷς ἂν ᾖ αἴτιον, θεὸς ἀναίτιος. εἰ κρεῖσσόν ἐστι
τὸ δίκαιον εἶναι τοῦ ἀδίκου, διὰ τί τοιοῦτος αὐτόθεν ὁ ἄνθρωπος ἀπὸ τῆς γενέσεως
οὐ γίνεται; εἰ δὲ ὕστερον, ὅπως ἀμείνων γενηθῇ, σωφρονίζεται μαθήμασι καὶ νόμοις, 228
ὡς αὐτεξούσιος ἄρα σωφρονίζεται καὶ οὐκ ἐκ φύσεως ὢν κακός. εἰ οἱ πονηροὶ πονηροὶ κατὰ
γένεσιν φύουσι προνοίας ταγαῖς, οὐκ εἰσὶ μεμπτοὶ καὶ ἄξιοι τιμωρίας τῆς ἐκ τῶν νόμων,
ζῶντες κατ᾽ αὐτὴν τὴν οἰκείαν φύσιν, ἐπεὶ μὴ δεδύνηνται μεταβληθῆναι. καὶ ἄλλως.
εἰ οἱ ἀγαθοὶ κατὰ τὴν οἰκείαν φύσιν ζῶντές εἰσιν ἐπαινετοί, τῆς γενέσεως οὔσης αἰτίας
τοῦ εἶναι τοὺς ἀγαθοὺς ἀγαθούς, οὐδὲ οἱ πονηροὶ ἄρα, κατὰ τὴν οἰκείαν φύσιν ζῶντες,
αἰτιατέοι παρὰ δικαίῳ κριτῇ. καὶ εἰ χρὴ διαῤῥήδην εἰπεῖν, ὁ κατὰ τὴν προσοῦσαν αὐτῷ
φύσιν ζῶν οὐδὲν ἁμαρτάνει· οὐ γὰρ ἑαυτὸν ἐποίησε τοιοῦτον, ἀλλ᾽ ἡ εἱμαρμένη, καὶ 229
ζῇ κατὰ τὴν ταύτης κίνησιν, ἀγόμενος ἀφύκτοις ἀνάγκαις. οὐδεὶς οὖν κακός. ἀλλ᾽ εἰσὶ
κακοί, καὶ ἡ μὲν κακία ψεκτὴ καὶ ἐχθρὰ τῷ θεῷ, ὡς συνέστησεν ὁ λόγος, ἡ δὲ ἀρετὴ
προσφιλὴς καὶ ἐπαινετή, θεοῦ διατάξαντος νόμον τιμωρὸν κακῶν. οὐκ ἄρα εἱμαρμένη.

XVII. Καὶ τί τοσοῦτον ἐπιδιατρίβουσα τοῖς ἐλέγχοις εἰς μῆκος ἐξάγω τὸν λόγον,
τὰ ἀναγκαιότερα πρὸς πειθὼ καὶ συγκατάθεσιν τοῦ συμφέροντος ἐκθεμένη καὶ πρό-
δηλον πᾶσι καὶ ἐξ ὀλίγων τὴν διαφωνίαν τοῦ τεχνάσματος αὐτῶν ἐξεργασαμένη; ὥστε
διορᾶν καὶ ἐπαισθάνεσθαι τὴν πλάνην ἤδη καὶ παιδίον, ὡς ἐφ᾽ ἡμῖν ἐστι τὸ δια- 230
πράξασθαι τὸ καλὸν ἢ τὸ κακὸν καὶ οὐκ ἐν τοῖς ἀστράσι. δύο γὰρ κινήσεε ἐν ἡμῖν
ἐστόν· ἐπιθυμία πεφυκότε σαρκὸς καὶ ψυχῆς, διαφέρετον ἀλλήλοιν. ὅθεν καὶ δύο Gal. 5, 17.
ἐλαβέτην ὀνόματε· ἡ μὲν γὰρ ἀρετῆς, ἡ δὲ κακίας. δεῖν δὲ τῇ καλλίστῃ καὶ χρυσῇ
πείθεσθαι τῆς ἀρετῆς ἀγωγῇ, τὰ βέλτιστα πρὸ τῶν φαύλων αἱρουμένους. ἀλλὰ περὶ

τούτων ἅλις ἤδη, καὶ ἐφέξω τὸν λόγον. αἰδοῦμαι γὰρ μετὰ τοὺς τῆς ἁγνείας λόγους καὶ ἐγκαλύπτομαι, τὰς τῶν μετεωρολόγων ἢ ματαιοσκόπων ἀνθρώπων ἀναγκαζομένη δόξας εἰςηγεῖσθαι, οἳ τὸν τῆς ζωῆς μετ' οἰήσεως ἀναλίσκουσι χρόνον, οὐδενὶ ἢ μυθικοῖς ἐνδιατρίβοντες πλάσμασι.

231 Ταῦτά σοι καὶ παρ' ἡμῶν, ὦ δέσποινα Ἀρετή, ἀπὸ θεοῤῥήτων συγκαθυφασμένα λόγων προςκομιζέσθω τὰ δῶρα.

ΕΥΒΟΥΛ. Ὡς λίαν ἀγωνιστικῶς ἡ Θέκλα καὶ ἐνδόξως, ὦ Γρηγόριον.

ΓΡΗΓΟΡ. Τί οὖν, εἰ αὐτῆς ἐκείνης ἀκηκόεις ῥύδην καὶ εὐτρόχῳ τῇ γλώττῃ μετὰ πολλῆς χάριτος καὶ ἡδονῆς διαλεγομένης; ὥςτε ἀγασθῆναί τινα προσέχοντα, καὶ τῆς μορφῆς ἐπανθούσης τοῖς λόγοις, ὡς ἐνδιαθέτως καὶ τῷ ὄντι φανταζομένως περὶ ὧν ἀφηγεῖτο διετέλει, ὑπερυθραινομένης αὐτῇ αἰδοῖ τῆς ὄψεως· ὅλη γὰρ εἶναι πέφυκε λευκὴ καὶ σῶμα καὶ ψυχήν.

ΕΥΒΟΥΛ. Ὀρθῶς, ὦ Γρηγόριον, ταῦτα φής, καὶ οὐδὲν αὐτῶν ψεῦδος. ἔγνων
232 γὰρ καὶ ἀπὸ τῶν ἄλλων ἀνδραγαθημάτων μῆτιν αὐτῆς, καὶ λέγειν ὅσα καὶ οἷα κατώρθωσεν, ὑπερβαλλούσης ἀγάπης ἐπίδειξιν ποιουμένη Χριστῷ, καὶ ὡς διαπρεπὴς πολλάκις ἐφάνη τοῖς μεγάλοις καὶ πρώτοις ἄθλοις ὑπαντῶσα τῶν μαρτύρων, ἴσην τῇ προθυμίᾳ τὴν σπουδὴν κεκτημένη καὶ τῇ ἀκμῇ τῶν βουλευμάτων τὴν ῥώμην τοῦ σώματος.

ΓΡΗΓΟΡ. Ἀληθέστατα καὶ σὺ φής· ἀλλὰ μὴ διατρίβωμεν. τούτων γὰρ πέρι καὶ αὖθις ἔσται πολλάκις ἡμᾶς διαλέξασθαι. νῦν δὲ πρῶτον καὶ τῶν ἑξῆς παρθένων ἐξαγγεῖλαί με δεῖ σοι τοὺς λόγους, καθὼς ὑπέστην, μᾶλλον δὲ Τυσιανῆς καὶ Δομνίνας· αὗται γὰρ ἔτι περιλείπονται.

Λόγος Θ'.

Τυσιανή.

I. Ὡς οὖν ἀπεπαύσατο καὶ ἡ Θέκλα τοσαῦτα εἰποῦσα, ἔφη προστάξαι τὴν Ἀρε-
233 τὴν ἡ Θεοπάτρα τῇ Τυσιανῇ λέγειν· τὴν δὲ μειδιάσασαν ἔμπροσθεν αὐτῆς παρελθεῖν καὶ φάναι, Ὦ Ἀρετή, παρθενίας ἐρασταῖς ἐπέραστον καύχημα, κἀγὼ συναντιληψομένην μοι παραστῆναί σε παρακαλῶ, μή πως ἀπορήσω λόγων, ἅτε πολλῶν ἤδη καὶ παντοδαπῶν εἰρημένων. διὸ καὶ παραιτοῦμαι τὰ προοιμιώδη ταῦτα καὶ προκατασκευαστικὰ τῶν λόγων, ἵνα μὴ χρονίζουσα προςήκοντα τούτοις ἐφαρμόττειν αὐτῶν ἐκπέσω τῶν προκειμένων· οὕτως ἔνδοξόν ἐστιν ἡ παρθενία καὶ τίμιον καὶ μεγαλοπρεπές.

234 [1] Ὁ θεὸς τὴν ἑορτὴν τῆς σκηνοπηγίας διδάσκων τῆς ἀληθινῆς τοὺς ἀληθινοὺς Ἰσραηλίτας, πῶς ἑορτάζειν δεῖ καὶ τιμᾶν ἐν τῷ Λευϊτικῷ παρίστησι, μᾶλλον τῶν ἄλλων ἁγνείᾳ φάσκων δεῖν τὴν ἑαυτοῦ σκηνὴν ἕκαστον κοσμεῖν. παραθήσομαι δὲ καὶ τὰ ἀπὸ τῆς γραφῆς, ἀφ' ὧν ἀναμφισβητήτως δειχθήσεται πᾶσιν ὅσον καὶ θεῷ
Levit. 23, 39—43. πρόσφορόν ἐστι καὶ προσφιλὲς τὸ κατόρθωμα τοῦτο τῆς ἁγνείας. „καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου, ὅταν συντελέσητε τὰ γεννήματα τῆς γῆς, ἑορτάσετε κυρίῳ ἑπτὰ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀνάπαυσις ἔσται. καὶ λήψεσθε τῇ πρώτῃ ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον καὶ κάλλυντρα φοινίκων καὶ κλάδους ξύλου δασεῖς καὶ ἰτέας καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου, εὐφρανθῆναι ἔναντι κυρίου
235 τοῦ θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας τοῦ ἐνιαυτοῦ, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορτάσετε αὐτήν· ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας. πᾶς αὐτόχθων ἐν Ἰσραὴλ κατοικήσουσιν ἐν σκηναῖς, ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν ὅτι ἐν σκηναῖς κατῴκισα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ γῆς Αἰγύπτου. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.“ πάντως ὑπολήψονται οἱ Ἰουδαῖοι, ψιλῷ τῆς γραφῆς τῷ γράμματι περιπετόμενοι, ὥςπερ καὶ τὰ καλούμενα φύκια τῶν λαχάνων τοῖς φύλλοις, ἀλλὰ μὴ τοῖς ἄνθεσι καὶ καρποῖς, ὡς ἡ μέλισσα, τούτους τοὺς λόγους καὶ τὰς νομοθεσίας περὶ σκηνῆς τοιαύτης οἵας οὗτοι τεκταίνονται λελέχθαι, ὡς τοῦ θεοῦ χαί-
236 ροντος ταῖς ἐξιτήλοις κατακοσμήσεσιν, αἷς αὐτοὶ κατακοσμοῦντες συσκευάζουσιν ἐκ τῶν ἀκροδρύων, οὐ συνῃσθημένοι τῶν μελλόντων ἀγαθῶν τὸν πλοῦτον. ὡς αὖρα ταῦτα καὶ σκιαὶ φασματώδεις, προεξαγγέλλουσαι τὴν ἀνάστασιν καὶ πῆξιν τοῦ πεπτωκότος εἰς γῆν ἡμῶν σκηνώματος, ὃ τῇ ἑβδόμῃ χιλιονταετηρίδι πάλιν ἀθάνατον ἀπειληφότες, ἑορτάσομεν τὴν μεγάλην ἑορτὴν τῆς ἀληθινῆς σκηνοπηγίας ἐν τῇ καινῇ καὶ ἀλύτῳ κτίσει, συντελεσθέντων τῶν τῆς γῆς καρπῶν καὶ τῶν ἀνθρώπων μηκέτι γεννώντων καὶ γεννωμένων, ἀλλὰ καταπαύσαντος ἀπὸ τῶν ἔργων τῆς κοσμοποιίας τοῦ θεοῦ. ἐπειδὴ γὰρ ἐν ἓξ ἡμέραις ὁ θεὸς κατεσκεύασε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ

1) Photius cod. 237. p. 312, a. 7—11. summam refert allegoricae interpretationis verborum Levit. 23, 39. 40.

συνετέλεσε πάντα τὸν κόσμον καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ τῶν ἔργων αὐτοῦ 237
ὧν ἐποίησε, καὶ εὐλόγησε τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν· ἐντεῦθεν συμ- Gen. 2, 1.
βολικῶς τῷ μηνὶ ἑβδόμῳ, ὁπόταν ἤδη συντελεσθῶσιν οἱ καρποὶ τῆς γῆς, ἑορτάζειν
προςτασσόμεθα τῷ κυρίῳ, ὃ δή ἐστιν, ὁπόταν ὁ κόσμος οὗτος συντελεσθῇ τῇ ἑβδόμῃ
χιλιονταετηρίδι, ὅτε ὡς ἀληθῶς ὁ θεὸς συντελέσας τὴν οἰκουμένην ἐφ' ἡμῖν εὐφραν- Ps. 103, 31.
θήσεται. νῦν γὰρ ἀκμὴν ἔτι τὰ πάντα δημιουργεῖται τῇ διαρκεῖ βουλήσει αὐτοῦ καὶ
ἀνεννοήτῳ δυνάμει, ἀναδιδούσης ἔτι τῆς γῆς τοὺς καρπούς, καὶ τῶν ὑδάτων συναγομένων
εἰς τὰς συναγωγάς, καὶ τοῦ φωτὸς ἔτι διαχωριζομένου, καὶ τοῦ ἀριθμοῦ τῶν ἀνθρώ-
πων ἔτι δημιουργουμένου, καὶ τοῦ ἡλίου εἰς ἀρχὰς ἀνατέλλοντος τῆς ἡμέρας καὶ τῆς
σελήνης εἰς ἀρχὰς ἔτι τῆς νυκτός, καὶ τῶν τετραπόδων καὶ θηρίων καὶ ἑρπετῶν ἐκ τῆς 238
γῆς ἀναδιδομένων καὶ πτηνῶν καὶ νηκτῶν ἐκ τῆς ὑγρᾶς οὐσίας. τότε δὴ ὁπόταν συν-
τελεσθῶσιν οἱ καιροὶ καὶ παύσεται ὁ θεὸς ἐργαζόμενος ταύτην τὴν κτίσιν, τῷ ἑβδόμῳ
μηνὶ, τῇ μεγάλῃ τῆς ἀναστάσεως ἡμέρᾳ, ἑορτὴ συγκροτεῖται τῷ κυρίῳ τῆς σκηνοπηγίας
ἡμῶν, ἧς εἰσιν ἐν τῷ Λευϊτικῷ τὰ λεγόμενα σύμβολα καὶ τύποι, ἃ ἐξιχνεύοντας χρὴ
νοεῖν τὴν ἀλήθειαν γυμνήν. „τῶν δέ“ γὰρ „ἀκούσας“ φησί „σοφὸς σοφώτερος ἔσται, Prov. 1, 5. 6.
νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.“ ὅθεν
αἰσχυνέσθωσαν οἱ Ἰουδαῖοι, τὰ βάθη τῶν γραφῶν μὴ συνῃσθημένοι καὶ πάντα σωμα- 239
τικὰ τὸν νόμον ἡγούμενοι καὶ τοὺς προφήτας εἰρηκέναι, ἅτε τῶν κοσμικῶν ἐφιέμενοι
καὶ τὸν ἔξωθεν πλοῦτον τοῦ περὶ ψυχὴν προκρίνοντες. διαιρουμένων γὰρ τῶν γραφῶν
εἰς τὸν περὶ τῶν παρῳχηκότων καὶ μελλόντων τύπον, ἀποπηδήσαντες οἱ σχέτλιοι τῶν
μελλόντων ὡς παρῳχηκότων ἤδη τελοῦσι τοὺς τύπους, καθάπερ καὶ ἐπὶ τῆς τοῦ προβά-
του σφαγῆς, ἀνάμνησιν τῆς κατ' Αἴγυπτον τῶν πατέρων αὐτῶν γεγενημένης σωτηρίας
ἡγούμενοι μόνην εἶναι τὸ μυστήριον τοῦ προβάτου, ὁπότε πατασσομένων τῶν πρωτο-
τόκων τῆς Αἰγύπτου αὐτοὶ διεσώθησαν, τὰς φλιὰς τῶν σφετέρων οἴκων φοινίξαντες τῷ
αἵματι· οὐκέτι δὲ καὶ τῆς σφαγῆς τύπον ἡγήσαντο τοῦτο προδηλωτικὸν γεγονέναι
Χριστοῦ, οὗ αἱ κατησφαλισμέναι τῷ αἵματι καὶ σφραγισθεῖσαι ψυχαί, τῆς οἰκουμένης 240
ἐκπυρουμένης καὶ τῶν πρωτοτόκων ὀλοθρευομένων τέκνων τοῦ Σατανᾶ, περισωθήσονται
τῆς ὀργῆς, τῶν τιμωρητῶν ἀγγέλων ἐκτραπησομένων τὴν ἀπὸ τοῦ αἵματος ἐπ' αὐτοῖς
ἐκτετυπωμένην σφραγῖδα.

II. Καὶ ταῦτα μὲν ὡς ἐπὶ παραδείγματος εἰρήσθω δεικνυούσης ὅτι τὰ παρόντα
τύπους ἡγούμενοι τῶν ἤδη γεγονότων οἱ Ἰουδαῖοι τῆς ἐλπίδος τῶν μελλόντων ἐξώκειλαν
ἀγαθῶν, μηδὲ τοὺς τύπους τῶν εἰκόνων βουληθέντες εἶναι προκαταγγελτικούς, μηδὲ
τὰς εἰκόνας τῆς ἀληθείας. [1] ὁ μὲν γὰρ νόμος τῆς εἰκόνος ἐστὶ τύπος καὶ σκιά, τουτέστι Hebr. 10, 1.
τοῦ εὐαγγελίου, ἡ δὲ εἰκών, τὸ εὐαγγέλιον, αὐτῆς τῆς ἀληθείας. οἱ γὰρ παλαιότεροι 241
καὶ ὁ νόμος τοὺς τῆς ἐκκλησίας προεξήγγειλαν ἡμῖν προφητεύοντες χαρακτῆρας, ἡ δὲ
ἐκκλησία τοὺς τῶν καινῶν αἰώνων. ὅθεν ἡμεῖς οἱ τὸν εἰπόντα Χριστόν „ἐγώ εἰμι ἡ Joan. 14, 16.
ἀλήθεια“ δεξάμενοι τὰς μὲν σκιὰς καὶ τοὺς τύπους ἴσμεν πεπαυμένους, ἐπὶ δὲ τὴν
ἀλήθειαν σπεύδομεν, τὰς ἐναργεῖς αὐτῆς εἰκόνας προκαταγγέλλοντες. ἐκ μέρους γὰρ 1 Cor. 13, 9.
ἔτι καὶ ὡς δι' ἐσόπτρου γινώσκομεν, ἐπεὶ μηδέπω τὸ τέλειον ἧκεν, ἡ βασιλεία τῶν 10. 12.
οὐρανῶν καὶ ἡ ἀνάστασις, εἰς ἡμᾶς, ὅτε καταργήσεται τὸ ἐκ μέρους. τότε γὰρ αἱ
σκηναὶ πήγνυνται πάντων ἡμῶν, ὁπότε τῶν ὀστῶν συγκολλωμένων καὶ συμπηγνυμένων
ταῖς σαρξὶν ἀνίσταται σῶμα. τότε τὴν ἡμέραν τῆς χαρᾶς ἑορτάζομεν κυρίῳ εἰλικρινῶς,
ὁπότε τὰς σκηνὰς αἰωνίους ἀποληψόμεθα, οὐκέτι θνηξομένας ἢ λυθησομένας εἰς γῆν 242
χώματος. ἦν γὰρ ἡμῶν καὶ πρόσθεν ἄπτωτος ἡ σκηνή· ἀλλὰ διὰ τὴν παράβασιν Dan. 12, 2.
ἐσαλεύθη καὶ ἐκλίθη, τοῦ θεοῦ τὸ ἁμάρτημα λύσαντος θανάτῳ, ἵνα μὴ ἀθανάτως
ἁμαρτωλὸς ὁ ἄνθρωπος ὤν, ζώσης ἐν αὐτῷ τῆς ἁμαρτίας, αἰωνίως κατάκριτος γενηθῇ.
καὶ διὰ τοῦτο καὶ τέθνηκεν, οὐ γενόμενος θνητὸς ἢ φθαρτός, καὶ διεκρίθη τῆς σαρκὸς
ἡ ψυχή, ἵνα νεκρωθῇ διὰ τοῦ θανάτου τὸ παράπτωμα, μηκέτι δυνάμενον ζῆν ἐν τῷ
τεθνηκότι. ὅθεν ἀποθανόντος τοῦ παραπτώματος καὶ διεφθαρμένου πάλιν ἀθάνατος
ἀνίσταμαι, καὶ ὑμνῶ τὸν θεὸν τὸν διὰ θανάτου τὰ τέκνα ἐκ θανάτου σώζοντα, καὶ
ἑορτάζω νομίμως αὐτῷ, κοσμήσασα τὴν σκηνήν μου τὴν σάρκα τοῖς ἔργοις τοῖς καλοῖς, 243
ὥσπερ κἀκεῖ ταῖς πενταφώτοις αἱ παρθένοι λαμπάσιν. Math. 25, 7.

III. Ἐξεταζομένη τῇ πρώτῃ τῆς ἀναστάσεως ἡμέρᾳ εἰςφέρω τὰ προστεταγμένα, εἰ
κεκόσμημαι τοῖς τῆς ἀρετῆς καρποῖς, εἰ τοῖς κλάδοις τῆς ἁγνείας κατασκιάζομαι. νόει
γάρ μοι τὴν ἀνάστασιν εἶναι τὴν σκηνοπηγίαν, νόει μοι καὶ τὰ εἰς τὴν σύνθεσιν πα-
ραλαμβανόμενα τῆς σκηνῆς τὰς πράξεις εἶναι τῆς δικαιοσύνης. λαμβάνω οὖν τῇ ἡμέρᾳ
τῇ πρώτῃ τὰ ὑποτεταγμένα, οἱονεὶ τῇ ἡμέρᾳ ᾗ κρίνομαι, εἰ τὴν σκηνὴν ἐκόσμησά μου
τοῖς προστεταγμένοις, εἰ εὑρίσκονται ταῦτα ἐν αὐτῇ, ἅπερ ἐνταῦθα μὲν ἐν τῷ κόσμῳ

1) Ὁ μὲν γὰρ νόμος .. τῆς ἀληθείας. Haec fere ad verbum ap. Phot. cod. 237. p. 312, a. 3—5. ubi verbis: τῆς ἐσομένης ἐν τῇ δευτέρᾳ τοῦ κυρίου παρουσίᾳ, post ἀληθείας illatis, summa insequentium ap. Method. verborum exprimitur.

244 κτήσασθαι προςτασσόμεθα, ἐκεῖ δὲ προσφέρειν τῷ θεῷ. ἴτε γὰρ καὶ τὰ ἑξῆς ἐπι-
Levit. 23, 40. σκεψώμεθα. „καὶ λήψεσθε ἑαυτοῖς τῇ πρώτῃ“ φησίν „ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον
καὶ κλάδους ξύλου δασεῖς καὶ ἰτέας καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου, εὐφρανθῆναι
ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν.“ καρπὸν ὡραιότατον ξύλου οἱ τὴν καρδίαν ἀπερίτμη-
τοι Ἰουδαῖοι διὰ τὸ μέγεθος τὸ κίτριον ἡγοῦνται τυγχάνειν, οὐδὲ ἐγκαλύπτονται κιτρίῳ
τὸν θεὸν λέγοντες τιμᾶσθαι, ᾧ τὰ τετράποδα πάντα τῆς γῆς οὐκ εἰσὶν εἰς ὁλοκαύτω-
σιν ἱκανὰ καὶ ὁ λίβανος εἰς καῦσιν. καὶ ὅλως εἰ τὸ κίτριον, ὦ ἀτεράμονες, ὡραῖον,
245 διὰ τί μὴ καὶ ἡ σταφυλὴ μᾶλλον ὡραία; διὰ τί μὴ καὶ ἡ ῥοιά; διὰ τί μὴ καὶ τὸ
Cant. 4, 13. μῆλον καὶ τὰ ἄλλα ἀκρόδρυα τὰ μᾶλλον διαφέροντα τοῦ κιτρίου; ἀμέλει ἐν τῷ Ἄισματι
τῶν ᾀσμάτων πάντων ὁ Σολομὼν τούτων ὡραίων μνημονεύσας τὸ κίτριον ἀπεσιώπησε
μόνον. ἀλλὰ τούτων ἀπεβουκολήθησαν οἱ ἄφρονες μὴ νοήσαντες τὸ ξύλον τῆς ζωῆς, ὃ
Gen. 2, 9. πρόσθεν μὲν ὁ παράδεισος ἔφερε, νῦν δὲ πᾶσιν ἀνεβλάστησεν ἡ ἐκκλησία, τὸν ὡραῖον
καὶ εὐπρεπῆ τῆς πίστεως ποιοῦν καρπόν. τοιοῦτον ἐληλυθότας καρπὸν τῇ πρώτῃ τῆς
ἑορτῆς ἡμέρᾳ εἰς τὸ δικαστήριον ἡμᾶς κομίζειν δεῖ Χριστοῦ. ἐὰν μὴ τοιοῦτον σχῶμεν
καὶ ἡμεῖς καρπόν, οὐ δυνησόμεθα συνεορτάσαι θεῷ, οὐ τευξόμεθα κατὰ τὸν Ἰωάννην
Apoc. 20, 6. τῆς πρώτης ἀναστάσεως· τὸ γὰρ ξύλον ζωῆς ἐστιν ἡ πρωτότοκος πάντων σοφία. „ξύ-
246 λον ζωῆς ἐστι τοῖς ἀντεχομένοις αὐτῆς“ φησὶν ὁ προφήτης „καὶ τοῖς ἐπερειδομένοις
Prov. 3, 18. ἐπ' αὐτὴν ὡς ἐπὶ κύριον ἀσφαλής·“ „ξύλον παρὰ τὰς διεξόδους πεφυτευμένον τῶν ὑδά-
Psal. 1, 3. των, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ,“ διδασκαλία καὶ σύνεσίς ἐστιν, ἐν
καιρῷ προσήκοντι τοῖς ἐπὶ τὰ ὕδατα τῆς ἀπολυτρώσεως ἀφικνουμένοις διδομένη. ὁ μὴ
πιστεύσας Χριστῷ, μηδὲ τὴν ἀρχὴν αὐτὸν εἶναι τὸ ξύλον τῆς ζωῆς ᾐσθημένος, οὐκ
ἔχων δεῖξαι τῷ θεῷ τῷ ὡραιοτέρῳ τῶν ὡραίων καρπῶν τὴν σκηνὴν αὐτοῦ κεκοσμημέ-
νην, πῶς ἑορτάσει; πῶς εὐφρανθήσεται; θέλεις γνῶναι τὸν ὡραῖον καρπὸν τοῦ ξύλου;
247 ἐπίσκεψον τοὺς λόγους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πῶς εἰσιν ὡραῖοι παρὰ τοὺς
Psal. 44, 5. υἱοὺς τῶν ἀνθρώπων. ὡραῖος καρπὸς ἐβλάστησε διὰ Μωυσέως ὁ νόμος· ἀλλ' οὐχ
οὕτως ἦν ὡραῖος, ὡς τὸ εὐαγγέλιον. ἐκεῖνος μὲν γὰρ τύπος τις ἦν καὶ σκιὰ τῶν μελ-
λόντων πραγμάτων, τοῦτο δὲ ἀλήθεια καὶ ζωῆς χάρις. ὡραῖος ἦν τῶν προφητῶν ὁ
καρπός, ἀλλ' οὐχ οὕτως ὡραῖος, ὡς ὁ ἐξ αὐτοῦ γεωργούμενος τῆς ἀφθαρσίας.
Levit. 23, 40. IV. „*Καὶ λήψεσθε ἑαυτοῖς τῇ πρώτῃ ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον καὶ κάλλυντρα
φοινίκων,*“ λέγων τὴν ἄσκησιν τῶν θείων μαθημάτων, οἷς ἐκκαθαίρεται καὶ κοσμεῖται
ψυχὴ νικῶσα τὰ πάθη, ἀποσαρουμένων ἐξ αὐτῆς καὶ ἐκβαλλομένων τῶν ἁμαρτημάτων.
248 δεῖ γὰρ καθαροὺς καὶ κεκοσμημένους ἥκειν εἰς τὴν ἑορτήν, ὥςπερ κοσμήτρῳ ταῖς ἀσκή-
σεσι καὶ μελέταις τῆς ἀρετῆς πεφιλοπονημένους, ὅτι μελέταις ἐπιπόνοις καὶ ἀσκήσεσι
καθαιρόμενος ὁ νοῦς τῶν ἐπικαλυπτόντων αὐτὸν ἀλλοίων διανοημάτων ὀξυδερκεῖ πρὸς
Marc. 12, 42. τὴν ἀλήθειαν, καθάπερ καὶ ἡ χήρα τὸν κοδράντην ἐν τοῖς εὐαγγελίοις ἀνεύρατο μετὰ
τὸ σαρῶσαι τὸν οἶκον καὶ ῥῖψαι τὰ κόπρια, τὰ ἐπισκοτοῦντα καὶ καλύπτοντα πάθη
τὴν ψυχήν, τὰ ἀπὸ τῆς θρύψεως ἡμῶν καὶ τῆς ἀμελείας πληθύνοντα. καὶ τοίνυν ὁ
σπουδάζων εἰς τὴν ἑορτὴν τῶν σκηνῶν ἐκείνων φθάσαι καὶ τοῖς ἁγίοις συγκαταλεχθῆ-
249 ναι πρῶτον τὸν ὡραῖον τὴν πίστιν κτησάσθω καρπόν, εἶτα τὰ κάλλυντρα, τὴν ἄσκησιν
καὶ μελέτην τῶν γραφῶν, εἶτα τοὺς ἐριθηλέας ἐφεξῆς κλάδους τῆς ἀγάπης καὶ δασεῖς,
οὓς καὶ μετὰ τὰ κάλλυντρα παρεγγυᾷ λαμβάνεσθαι, κλάδους δασεῖς εὐθυβολώτατα τὴν
ἀγάπην φράσας· τὸ γὰρ δασὺ κατάκαρπον ὅλον ἐστὶ καὶ πυκνόν, μηδὲν ψιλὸν ἢ διά-
κενον ἔχον, ἀλλὰ πάντα πεπληρωμένον, καὶ τοὺς ὅρπηκας καὶ τὰ στελέχη. τοιοῦτον
γάρ ἐστιν ἡ ἀγάπη, μηδαμόθεν ὑπόκενος ἢ ἄκαρπος οὖσα. ἡ γάρ, „ἐὰν πωλήσω τὰ
ὑπάρχοντά μου καὶ δώσω πτωχοῖς, καὶ ἐὰν τὸ σῶμά μου πυρὶ παραδώσω, καὶ ἐὰν
1 Cor. 13, 2. 3. τοσαύτην πίστιν, ὥστε ὄρη μεθιστᾶν, κτήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.“
250 ἡ ἀγάπη ἄρα τὸ κατάκαρπόν ἐστι καὶ δασύτατον ξύλον πάντων, ἡ γέμουσα καὶ πεπλη-
ρωμένη τῶν χαρίτων. εἶτα τί παραλαμβάνεσθαι βούλεται καὶ ἕτερον; τοὺς κλάδους
Esa. 44, 4. ἰτεΐνους, φησί, τὴν δικαιοσύνην κλάδους ἰτεΐνους κικλήσκων, ἀνθ' ὧν οἱ δίκαιοι κατὰ
τὸν προφήτην „ὡς ἀναμέσον ὕδατος ἀνατέλλουσι χόρτος καὶ ὡς ἰτέα ἐπὶ παραῤῥέον
ὕδωρ,“ θάλλοντες τῷ λόγῳ. καὶ ἐπὶ πᾶσι τοὺς ἀγνίνους ἐπικοσμοῦντας τὴν σκηνὴν
παρακελεύεται προσφέρεσθαι κλάδους διὰ τὸ φερώνυμον εἶναι τὸ δένδρον τῆς ἁγνείας,
ᾧ κατακοσμεῖται τὰ προειρημένα. ἐῤῥέτωσαν οἱ ἀκολασταίνοντες νῦν καὶ διὰ τὰς
251 ἑαυτῶν ἡδυπαθείας ἁγνείαν ἀποδιωθούμενοι. πῶς γὰρ εἰς τὴν ἑορτὴν συνειςελεύσονται
Χριστῷ, μὴ κοσμήσαντες ἑαυτῶν τὴν σκηνὴν κλάδοις ἁγνείας, τῷ θεοποιῷ μακαρίῳ
φυτῷ; ᾧ τοὺς εἰς τὴν ἄγυριν σπεύδοντας ἐκείνην καὶ τὸν γάμον ἀναδεῖσθαι δεῖ καὶ
κατασκιάζεσθαι τὰς ὀσφύας. ἴτε γάρ, καλλιπάρθενοι, τὴν γραφὴν αὐτὴν ἐπισκέψασθε
καὶ τὰς ἐντολάς, πῶς ὡς ἐπὶ συμπληρώματος τῶν προειρημένων κατορθωμάτων παρέ-
λαβεν ὁ λόγος τὴν ἁγνείαν, διδάσκων ὅσον διαπρεπὴς καὶ τριπόθητος ἔσται τῇ ἀνα-
στάσει καὶ ὅτι χωρὶς αὐτῆς οὐδεὶς τεύξεται τῶν ἐπαγγελμάτων. ἣν ἐξαιρέτως γεωργοῦ-
μεν ἡμεῖς αἱ παρθενεύουσαι καὶ προσφέρομεν κυρίῳ, χρῶνται δὲ καὶ οἱ πρὸς τὰς

ἑαυτῶν ἁγνεύοντες γαμετάς, καὶ ὥσπερ ἀμφὶ τὸ στέλεχος κλῶνας αὐτῆς φέρουσι βλα- 252
στήσαντας σωφροσύνην, τῶν ἄνω μὴ ἐφικνούμενοι καὶ μεγάλων αὐτῆς ἐπιψαῦσαι κλά-
δων καθάπερ ἡμεῖς· ὅμως, εἰ καὶ μικρούς, οὐδὲν ἧσσον προςφέρουσι δὴ καὶ αὐτοὶ
κλῶνας ἁγνείας. οἱ δὲ οἰστρηλατούμενοι, κἂν μὴ πορνεύσωσιν, ἀλλὰ καὶ εἰς μόνην
καὶ ἔννομον ἀδιαστόλως ἐπιμίγνυσθαι θέλγωνται γαμετήν, πῶς ἑορτάσουσιν; πῶς εὐ-
φρανθήσονται, μὴ κοσμήσαντες τὴν σκηνὴν ἑαυτῶν, τὴν σάρκα, τοῖς κλάδοις τῆς ἄγνου,
μηδὲ εἰςακούσαντες τοῦ εἰρημένου „ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς οἱ μὴ ἔχοντες ὦσι;“ 1 Cor. 7, 29.
V. Διὰ τοῦτο πάντων μάλιστα τοὺς τῶν ἀγώνων ἐφιεμένους καὶ μεγάλῃ φρονήσει
χρωμένους τὴν ἁγνείαν ἀμελλητί φημι δεῖν * καὶ τιμᾶν ὡς ὠφελιμωτάτην καὶ ἐπίδοξον. ἐν 253
γὰρ τῇ καινῇ καὶ ἀλύτῳ κτίσει, ὃς ἂν ἁγνείας μὴ εὑρεθῇ κλάδοις κεκοσμημένος, οὐ τεύξε-
ται τῆς ἀναπαύσεως, μὴ πληρώσας τὴν ἐντολὴν τοῦ θεοῦ κατὰ τὸν νόμον, οὐδὲ εἰς τὴν
γῆν ἐπιδημήσει τῆς ἐπαγγελίας, μὴ ἑορτάσας πρῶτον τὰς σκηνάς. οἱ γὰρ ἑορτάσαντες
μόνοι τὴν σκηνοπηγίαν εἰς τὴν ἁγίαν καταίρουσι γῆν, ἀπάραντες ἀπὸ τῶν καλουμένων
σκηνῶν, ἔστ᾽ ἂν εἰς τὸν νεὼν φθάσωσιν ἐλθεῖν καὶ τὴν πόλιν τοῦ θεοῦ, εἰς τὴν μεί-
ζονα καὶ ἐνδοξοτέραν προκόψαντες χαράν, καθὼς καὶ οἱ τύποι συνιστᾶσιν οἱ γεγονότες
ἐπὶ Ἰουδαίων. ὥσπερ γὰρ ἐξελθόντες τῶν ὅρων ἐκείνων τῆς Αἰγύπτου ὥδευσαν πρῶτον 254
καὶ ἦλθον εἰς τὰς σκηνὰς κἀκεῖθεν ἀπάραντες πάλιν ἦλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας,
οὕτω δὴ καὶ ἡμεῖς. ὁδεύσασα γὰρ ἐντεῦθεν καὶ ἐξελθοῦσα κἀγὼ τῆς Αἰγύπτου, τού-
του τοῦ βίου, ἔρχομαι πρῶτον εἰς τὴν ἀνάστασιν, τὴν ἀληθινὴν σκηνοπηγίαν, κἀκεῖ τοῖς Num. 35, 5.
καρποῖς τῆς ἀρετῆς πήξασα τὴν σκηνήν μου κεκοσμημένην, τῇ πρώτῃ τῆς ἑορτῆς ἀναστάσεως
ἡμέρᾳ, τῇ κρίσει, συνεορτάζω τῷ Χριστῷ τὴν χιλιονταετηρίδα τῆς ἀναπαύσεως, τὰς
ἑπτὰ καλουμένας ἡμέρας, τὰ σάββατα τὰ ἀληθινά. εἶτα αὖθις ἑπομένη τῷ διεληλυθότι
τοὺς οὐρανοὺς Ἰησοῦ ἔρχομαι πάλιν καθάπερ κἀκεῖνοι μετὰ τὴν ἀνάπαυσιν τῆς σκηνο- Hebr. 4, 14.
πηγίας εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοὺς οὐρανούς, ἐν σκηναῖς μὴ ἀπομείνασα, τουτέστι 255
τοῦ σκηνώματός μου μὴ ἀπομείναντος τοιούτου, ἀλλὰ μετὰ τὴν χιλιονταετηρίδα μετα-
βληθέντος ἀπὸ τοῦ σχήματος τοῦ ἀνθρωπίνου καὶ τῆς φθορᾶς εἰς ἀγγελικὸν μέγεθος
καὶ κάλλος· ἔνθα λοιπὸν ἀπὸ τοῦ θαυμαστοῦ τῆς σκηνῆς αἱ παρθένοι τόπου μετὰ τὸ
συμπερασθῆναι τὴν ἑορτὴν τῆς ἀναστάσεως εἰς τὰ μείζω καὶ κρείττω διερχόμεθα, „εἰς
τὸν οἶκον αὐτόν“ ἀναβαίνουσαι τὸν ὑπὲρ τοὺς οὐρανούς „τοῦ θεοῦ, ἐν φωνῇ ἀγαλ-
λιάσεως καὶ ἐξομολογήσεως ἤχους ἑορτάζοντος,“ καθώς φησιν ὁ ψαλμῳδός. Psal. 41, 5.
Τούτῳ κἀγώ, ὦ Ἀρετή, κατὰ τὴν ἐμαυτῆς, δέσποινα, δύναμιν δωροῦμαί σε τῷ
πέπλῳ.

ΕΥΒΟΥΛ. Λίαν ἀγωνιῶ, ὦ Γρηγόριον, κατ᾽ ἐμαυτὸν ἐννοούμενος ἐν ὁποίῳ θο- 256
ρύβῳ νῦν ἄρα ἡ Δομνίνα ἦν, ταρασσομένης αὐτῇ τῆς καρδίας καὶ φοβουμένης μὴ ἀπο-
ρήσῃ λόγων καὶ ἐνδεέστερόν τι τῶν ἄλλων παρθένων ἀποφθέγξηται, τοσούτων ἤδη
ῥηθέντων εἰς τὸ προκείμενον καὶ ποικίλων. εἰ οὖν εὔδηλος ἐγένετο κεκινημένη, φέρε
καὶ τοῦτο περαίωσον· θαυμάζω γὰρ εἴ τι ἔσχεν εἰπεῖν τελευταία κεκληρωμένη.

ΓΡΗΓΟΡ. Τεταράχθαι μὲν αὐτήν, ὦ Εὐβούλιε, καὶ σφόδρα ἔφη μοι ἡ Θεοπάτρα,
οὐ μὴν ἠπορηκέναι λόγων. μετὰ τὸ παύσασθαι τὴν Τυσιανὴν ἡ Ἀρετὴ τὸν ὀφθαλμὸν
εἰς αὐτὴν ἐπιβαλοῦσα, Δεῦρο δὴ καὶ σὺ θύγατερ, ἔφη, τὸν λόγον ἀπόδος, ἵνα πληρώ- 257
σωμεν ἐντελῆ τὴν εὐωχίαν.

Λόγος ι΄.

Δομνίνα.

I. Τὴν οὖν Δομνίναν ἐρυθριάσασαν ἐπιπολὺ μόλις ἀναπνεῦσαι καὶ εἰς εὐχὴν ἐξανα-
στᾶσαν τραπῆναι καὶ καλεῖν τὴν Σοφίαν παραστῆναί οἱ βοηθόν. εὐξαμένῃ δὲ αὐτῇ
θάρσος φησὶν εὐθέως ἐγγίνεσθαι, καί τις αὐτὴν θεία κατοκωχὴ κατέλαβε, καὶ ἔφη,
Ὦ Ἀρετή, κἀγὼ παραλείψασα τὰς μακρολογίας τῶν προεξηγημάτων εἰς αὐτὰ τὰ προ-
κείμενα κατὰ δύναμιν εἰπεῖν πειράσομαι, ἵνα δὴ μὴ τῷ μηκύνεσθαι τὰ πάρεργα πλείονα
χρόνον ὧν ἕνεκα λέγονται παράσχω· ἡγοῦμαι γὰρ μέγιστον μέρος φρονήσεως εἶναι τὸ 258
μὴ μακροὺς ἐκ περιόδων πρὸ τῶν ἐρωτηθέντων ποιεῖσθαι τοὺς λόγους κηλοῦντας τὰ
ὦτα, ἀλλ᾽ αὐτόθεν εὐθέως περὶ ὅτου τὸ ἐπερώτημά ἐστιν ἄρχεσθαι. διὸ ἐνθένδε
κἀγὼ κατάρξομαι· καιρὸς γάρ.
Οὐδὲν οὕτως ὀνῆσαι δυνήσεται πρὸς τὸ καλὸν τὸν ἄνθρωπον, ὦ καλλιπάρθενοι, ὡς
ἁγνεία· τὸ γὰρ κάλλιστα καὶ ἄριστα διακυβερνηθῆναι τὴν ψυχὴν καὶ κηλίδων καὶ
μιασμάτων καθαρὰν ἀπολυθῆναι τοῦ κόσμου, μόνη ποιεῖ τοῦτο καὶ ἐργάζεται ἁγνεία.
ἀφ᾽ οὗ γὰρ ὁ Χριστὸς ἐδίδασκεν αὐτὴν ἀσκεῖν ἡμᾶς καὶ ἐμήνυσεν ἡμῖν τὸ ἀνυπέρβλη-
τον κάλλος αὐτῆς, ἡ βασιλεία τοῦ πονηροῦ καθῃρέθη, πρότερον ἀεὶ πάντας αἰχμαλωτί- 259
ζοντος καὶ δουλουμένου, ὡς μὴ τῶν παλαιοτέρων εὐάρεστον γεγονέναι κυρίῳ τινά, ἀλλὰ

πάντας ἐπικρατηθῆναι πταίσμασιν, οὐ σφόδρα τοῦ νόμου τῆς φθορᾶς ἀρκέσαντος ἐλευ-
θερῶσαι τὴν ἀνθρωπότητα, μέχρις ἡ παρθενία διαδεξαμένη τὸν νόμον Χριστοῦ ταγαῖς
τῶν ἀνθρώπων ἐβασίλευσεν. οὐ γὰρ ἂν οὕτως οἱ πρόσθεν εἰς μάχας καὶ φόνους καὶ
ἔρωτας καὶ εἰδωλολατρείας συνελαύνοντο πολλάκις, εἰ ἦν αὐτοῖς ἡ ἐκ τῶν νόμων αὐ-
τάρκης πρὸς σωτηρίαν δικαιοσύνη. νυνὶ δὲ τότε μὲν μεγάλαις καὶ πολλαῖς πολλάκις
ἐνεφύροντο συμφοραῖς· ἀφ' οὗ δὲ Χριστὸς ἐνηνθρώπησε καὶ παρθενίᾳ τὴν σάρκα κο-
260 σμήσας ὥπλισεν, ὁ ὠμοτύραννος ἄρχων τῆς ἀκρασίας ᾑρέθη καὶ εἰρήνη καὶ πίστις κρα-
τεῖ, οὐκέτι τῶν ἀνθρώπων ὡςαύτως τρεπομένων εἰς εἰδωλολατρείαν ὥςπερ καὶ πάλαι.
II. Ἀλλ' ἵνα μὴ δόξω τισὶ σοφίζεσθαι καὶ ἀπὸ τῶν εἰκότων τεκμαίρεσθαι ταῦτα
καὶ φληναφᾶν, ἐκ τῆς παλαιᾶς ὑμῖν, ὦ Παρθένοι, κἀγὼ παρέξομαι διαθήκης ἔγγρα-
φον προφητείαν, ὡς ἀληθῆ λέγω, τοὺς Κριτάς, ἔνθα φανερῶς ἡ βασιλεία τῆς ἁγνείας
Jud. 9, 8–15. ἤδη προκατήγγελτο. φησὶ γάρ [1] „πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρῖσαι ἐφ'
ἑαυτῶν βασιλέα, καὶ εἶπον τῇ ἐλαίᾳ· βασίλευσον ἐφ' ἡμᾶς. καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία·
ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν
ξύλων; καὶ εἶπον τὰ ξύλα πάντα τῇ συκῇ· δεῦρο βασίλευσον ἐφ' ἡμᾶς. καὶ εἶπεν
261 αὐτοῖς ἡ συκῆ· ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ
ἄρχειν τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα τῇ ἀμπέλῳ· βασίλευσον ἐφ' ἡμᾶς. καὶ εἶπεν
αὐτοῖς ἡ ἄμπελος· ἀφεῖσα τὸν οἶνόν μου, τὴν εὐφροσύνην τῶν ἀνθρώπων, πορευθῶ
ἄρχειν τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα πρὸς τὴν ῥάμνον· δεῦρο βασίλευσον ἐφ' ἡμᾶς.
καὶ εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς εἰς βασιλέα ἐφ' ὑμᾶς,
δεῦτε πεποίθατε ἐν τῇ σκέπῃ μου· εἰ μή, ἐξέλθῃ πῦρ ἐκ τῆς ῥάμνου καὶ καταφάγῃ
τὰς κέδρους τοῦ Λιβάνου.“ ταῦτα δὲ ὅτι μὴ περὶ ξύλων τῶν ἐκ γῆς φυομένων ἐλέχθη,
262 σαφές· οὐ γὰρ ἐν ἑαυτοῖς τὰ δένδρα τὰ ἄψυχα χειροτονήσοντα βασιλέα συνήρχοντο,
ταῖς ῥίζαις εἰς τὴν γῆν κατεστηλωμένα. ἀλλὰ πάντως περὶ ψυχῶν ἱστορεῖται ταῦτα, αἳ
πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καθυλομανήσασαι τοῖς παραπτώμασι προςίασιν,
οἶκτον αὐτῶν ἀξιοῦσαι λαβεῖν τὸν θεόν, καὶ βασιλεῦσαι τὸν ἔλεον καὶ τὴν εὐσπλαγ-
χνίαν, ἣν ἐλαίας τύπῳ παρέλαβεν ἡ γραφὴ διὰ τὸ ἀρωγὸν τὸ ἔλαιον σωμάτων εἶναι
καὶ λυτήριον καμάτων καὶ πόνων, φωτός τε παρεκτικόν. ἐλαίῳ γὰρ καταρδόμενον πᾶν
τὸ λυχνιαῖον αὔξεται σέλας· λυτήριοι δὲ πάντως καὶ οἱ τοῦ θεοῦ οἰκτιρμοὶ θανάτου
263 καὶ ἀρωγοὶ τῆς ἀνθρωπότητος καὶ τοῦ τῆς καρδίας φωτὸς θρεπτικοί. καὶ ἐπισκέψασθε
μήποτε τὰς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι τοῦ Χριστοῦ καθεξῆς ἡ γραφὴ νομοθεσίας
δηλοῖ, ὧν ὁ διάβολος ἀντιμίμοις ἐξηπάτησε πλάσμασι τὸ τῶν ἀνθρώπων γένος, τὴν
μὲν συκῆν ἀπεικάζουσα τῇ κατὰ τὸν παράδεισον δοθείσῃ τῷ ἀνθρώπῳ ἐντολῇ, ἐπειδὴ
τὴν γύμνωσιν ἀπατηθεὶς οὗτος πετάλοις ἐπεκάλυψε συκῆς, τὴν δὲ ἄμπελον τῇ ἐπὶ τοῦ
Gen. 3, 7. κατακλυσμοῦ τῷ Νῶε διὰ τὸ οἴνῳ κοιμηθέντα χλευασθῆναι, τὴν δὲ ἐλαίαν τῇ κατὰ
Gen. 19, 22. τὴν ἔρημον τῷ Μωυσεῖ, ἐπειδὴ τὸ χάρισμα τὸ προφητικόν, τὸ ἔλαιον τὸ ἅγιον, ἀνομη-
264 σάντων αὐτῶν ἐκλελοίπει τῆς κληρονομίας, τὴν δὲ ῥάμνον τῇ ἐπὶ σωτηρίᾳ τοῦ κόσμου
τοῖς ἀποστόλοις, ἐπειδήπερ δι' αὐτῶν ἐδιδάχθημεν ἁγνείαν, ἧς ἀπατηλὸν μόνης εἴδω-
λον οὐκ ἴσχυσεν ὁ διάβολος σκευάσαι. διὰ τοῦτο καὶ εὐαγγέλια τέσσαρα παραδέδοται,
τετράκις εὐαγγελισαμένου τοῦ θεοῦ τὴν ἀνθρωπότητα καὶ παιδαγωγήσαντος τέσσαρσι
νόμοις, ὧν οἱ καιροὶ σαφῶς ἀπὸ τῆς διαφορότητος δηλοῦνται τῶν καρπῶν. ἡ μὲν γὰρ
συκῆ διὰ τὴν γλυκασίαν καὶ τὸν ὡραϊσμὸν τὴν τρυφὴν τὴν πρὸ τῆς παραβάσεως ἐν
παραδείσῳ τοῦ ἀνθρώπου παρίστησι γεγενημένην· ἔστι γὰρ ὅτε δὴ καὶ σφόδρα πολ-
λαχῶς τῆς συκῆς τὸν καρπὸν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τοῦ κρείττονος λαμβάνει, καθὼς
ἀποδείξομεν ὕστερον. ἡ δὲ ἄμπελος, διὰ τὴν ἱλαρότητα τὴν ἐκ τοῦ οἴνου καὶ τὴν εὐ-
265 φροσύνην τῶν περισωθέντων τῆς ὀργῆς καὶ τοῦ κατακλυσμοῦ, τὴν ἀπὸ τοῦ φόβου καὶ
Jer. 8, 13. τῆς φροντίδος εἰς τὴν χαρὰν αὐτῶν μεταβολὴν αἰνίσσεται. ἡ δὲ ἐλαία διὰ τὸν καρπὸν
Joel. 2, 22. τοῦ ἐλαίου τὴν εὐσπλαγχνίαν τοῦ θεοῦ μηνύει, πάλιν ἀνεξικακήσαντος μετὰ τὸν κατα-
κλυσμόν, τῶν ἀνθρώπων ἐκτραπέντων εἰς ἀθεότητα, δοῦναι νόμον καὶ ἐμφανισθῆναί
τισι καὶ ὥςπερ ἀποσβεννυμένην ἤδη τὴν αὐγὴν τῆς ἀρετῆς ἐλαίῳ λιπᾶναι.
III. Ἡ δὲ ῥάμνος τὴν ἁγνείαν συνίστησι· τὸ γὰρ αὐτὸ δένδρον ῥάμνος καὶ ἄγνος
ἐστίν, ὑφ' ὧν μὲν ῥάμνος καλούμενον, ὑφ' ὧν δὲ ἄγνος. καὶ τάχα διὰ τὸ συγγενὲς τὸ
φυτὸν τοῦτο τῇ παρθενίᾳ πεφυκέναι, ταύτῃ ῥάμνος καὶ ἄγνος προσηγορεύθη, ῥάμνος μὲν

1) *Πορευόμενα ἐπορεύθησαν* .. (p. 268) .. *ἀποσχίζεσθαι τοῦ διαβόλου.* Interpretationem anagogicam verborum Judic. 9, 8. Photius cod. 237. p. 312, a. 12. — p. 313, a. 10. contraxit, omissis istis: (p. 262) *διὰ τὸ ἀρωγὸν* .. (p. 263) .. *φωτὸς θρεπτικοί:* (p. 265) *καὶ ὥςπερ ἀποσβεννυμένην* .. *λιπᾶναι:* (ibid.) *ὑφ' ὧν μὲν* .. *ἄγνος*, et verbis: (p. 266) *τῶν γὰρ πρώτων* .. (p. 269) .. *βασιλεύειν αὐτῶν*, circumlocutione immutatis. In extremis ap. Phot. Excerptis Symposium Methodii tanquam Arianis sententiis interpolatum notatur p. 313, a. 11—15. Sequitur ap. Phot. cod. 237. p. 313, a. 16. — p. 313, b. 17. brevis disputatio de quaestione *τί ἐστι τὸ κατ' εἰκόνα;* Sed hanc disputationem Excerptis ex Methodii Symposio temere adiunctam esse manifestum est, praesertim quum in ea *ὁ θεολόγος*, i. e. Gregorius Nazianzenus, auctor laudetur.

παρὰ τὸ στερέμνιον καὶ καρτερὸν πρὸς τὰς ἡδονάς, ἄγνος δὲ παρὰ τὸ διὰ παντὸς ἁγνεύειν. 266
ὅθεν καὶ τὸν Ἠλίαν, ἐκ προσώπου τῆς Ἰεζάβελ γυναικὸς φεύγοντα, λόγος ὑπὸ ῥάμνον ἐλθεῖν
πρῶτον, καὶ εἰςακουσθέντα ἐνισχῦσαι καὶ λαβεῖν τροφήν, ὅτι τῶν φευγόντων τὸν οἶστρον 3 Reg. 19, 4.
καὶ τὴν γυναῖκα ἡδονὴν τὸ καταγώγιον καὶ ἡ σκέπη τὸ τῆς ἁγνείας ἐβλάστησε ξύλον, ἀπὸ
τῆς παρουσίας τοῦ ἀρχιπαρθένου Χριστοῦ βασιλεῦσαν τῶν ἀνθρώπων. τῶν γὰρ πρώτων
ἀδυνατησάντων σῶσαι νομοθετημάτων τὸν ἄνθρωπον, τῶν ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Νῶε καὶ
τῶν ἐπὶ τοῦ Μωυσέως, ἡ κατὰ τὸ εὐαγγέλιον ἔσωσε μόνη νομοθεσία πάντας. ἡ γὰρ συκῆ
ταύτῃ λέγεται μὴ βασιλεῦσαι, τῶν ξύλων τῶν ἀνθρώπων νοουμένων, συκῆς δὲ τῆς ἐντολῆς,
ἀνθ' ὧν ὁ ἄνθρωπος μετὰ τὸ πεσεῖν ἤθελε πάλιν ὑπὸ τῆς ἀρετῆς βασιλεύεσθαι καὶ τῆς
ἀφθαρσίας τοῦ παραδείσου τῆς τρυφῆς μὴ ἀποβληθῆναι. ἀλλ' ἀπεκρούσθη παραβὰς καὶ 267
ἀπεβλήθη μακράν, ὡς μὴ δυνάμενος ὑπὸ τῆς ἀφθαρσίας ἔτι μηδὲ χωρῶν βασιλεύεσθαι. καὶ
πρῶτον αὐτῷ τὸ κήρυγμα μετὰ τὴν παράβασιν πέμπεται τὸ διὰ Νῶε, ἵν' ἐὰν πρόςσχῃ κἂν
τούτῳ σωθῆναι τῆς ἁμαρτίας ἰσχύσῃ, ἀνάπαυσιν ἐπαγγελλόμενον τὴν ἀπὸ τῶν κακῶν
καὶ εὐφροσύνην, εἰ ἀσκήσαιεν αὐτὸ κατὰ κράτος, ὥςπερ καὶ οἶνον ἡ ἄμπελος ἐπαγγέλ- Gen. 5, 29.
λεται γεννᾶν τοῖς ἀσκοῦσι καὶ ἐργαζομένοις. ἀλλὰ καὶ τοῦτο οὐκ ἐβασίλευσε τὸ νομο-
θέτημα τῆς ἀνθρωπότητος, ὅτι μὴ ἐπείσθησαν αὐτῷ κηρυσσομένῳ σπουδαίως πρὸς τοῦ
Νῶε· ἀλλὰ καὶ μετὰ τὸ συνέχεσθαι ἤδη καὶ πνίγεσθαι τοῖς ὕδασιν ἤρξαντο μετανοεῖν 268
καὶ ἐπαγγέλλεσθαι παρέχειν ἑαυτοὺς πεισθησομένους ταῖς ἐντολαῖς. ὅθεν καὶ ὑπερηφα-
νοῦνται βασιλεύεσθαι, τουτέστιν ὑπὸ τοῦ κηρύγματος ὑπερηφανοῦνται βοηθεῖσθαι τῆς
ἐντολῆς, ἀνταποκρινομένου τοῦ πνεύματος αὐτοῖς καὶ ὀνειδίζοντος, οἵπερ κατέλειψαν
οἷς ἐκέλευσεν ὁ θεὸς ἀνθρώποις βοηθεῖν μὲν καὶ σώζειν τούτους καὶ εὐφραίνειν, οἷον
τὸν Νῶε καὶ τοὺς σὺν αὐτῷ· ὦ ἀτεράμονες, ἔλθω βοηθῆσαι τοῖς φρονήσεως ὑμῖν
ἀκάρποις καὶ ξηρῶν ξύλων οὐδὲν ἀπεοικόσι, πρότερον μὴ πιστεύσασί μοι κηρύσσοντι
φύξιν τῶν παρόντων;

IV. Καὶ δὴ καὶ τούτων οὕτως ἀπαξιωθέντων τῆς θείας κηδεμονίας καὶ πάλιν τῆς
ἀνθρωπότητος εἰς πλάνην κεχυμένης αὖθις ὁ θεὸς ἀπέστειλε βασιλεύσοντα νόμον καὶ
ὑπομνήσοντα δικαιοσύνην ἐπὶ Μωυσέως. οἱ δὲ μακρὰν καὶ τούτῳ χαίρειν φράσαντες 269
εἰς εἰδωλολατρείαν μετέστησαν. ὅθεν ὁ θεὸς εἰς ἀλληλοφονίας καὶ δρασμοὺς καὶ
αἰχμαλωσίας παρέδωκε καὶ τούτους, ἀποδοξήσαντος αὐτοὺς σώζειν τοῦ νόμου, οἳ μετὰ
τὸ συνελαθῆναι τοῖς κακοῖς ποτνιώμενοι πάλιν ἐπηγγέλλοντο πειθαρχεῖν ταῖς ἐντολαῖς,
μέχρις ὁ θεὸς τέταρτον κατελεήσας τὸν ἄνθρωπον τὴν ἁγνείαν ἀπέστειλε βασιλεῦσαι,
ἣν ῥάμνον ἀκολούθως ἐκάλεσεν ἡ γραφή· ἥτις καταναλώσασα τὰς ἡδονὰς καὶ ἀπειλήσασα
λοιπόν, εἰ μὴ αὐτῇ πάντες ἀνενδοιάστως καὶ ἐν ἀληθείᾳ προσέρχοιντο, πυρὶ καταδα-
πανῆσαι πάντας· οὐκέτι γὰρ μετὰ ταύτην ἔσεσθαι νόμον ἢ διδασκαλίαν ἑτέραν, ἀλλὰ
κρίσιν καὶ πῦρ. καὶ διὰ τοῦτο λοιπὸν ἀπεντεῦθεν δικαιοπραγεῖν ὁ ἄνθρωπος ἤρξατο 270
καὶ πιστεύειν βεβαίως τῷ θεῷ καὶ ἀποσχίζεσθαι τοῦ διαβόλου. οὕτως ὠφελιμώτατον
καὶ ἀρωγὸν κατεπέμφθη τοῖς ἀνθρώποις ἁγνεία· μόνης γὰρ αὐτῆς ἀντίμιμον οὐκ ἴσχυ-
σεν ἐργάσασθαι πρὸς ἀπάτην ὁ διάβολος, ὥςπερ καὶ τῶν ἄλλων νομοθετημάτων.

V. Τῆς γὰρ συκῆς, ὡς ἔφην, διὰ τὴν γλυκασίαν τοῦ καρποῦ καὶ τὸν ὡραϊσμὸν ἐν
τύπῳ τῆς ἐν παραδείσῳ τρυφῆς παραληφθείσης, τοῖς ἀντιμίμοις αὐτῆς ἀποβουκολήσας
τὸν ἄνθρωπον ὁ διάβολος ἤγρευσε, τὴν γύμνωσιν καλύψαι πείσας τοῦ σώματος πετά-
λοις συκῆς, ὅ ἐστι διὰ τὸ κνησμῶδες τρυφῇ φιληδόνῳ. τοὺς δὲ περισωθέντας αὖθις
ἐκ τοῦ κατακλυσμοῦ διὰ τὴν τῆς πνευματικῆς εὐφροσύνης ἄμπελον ἀντιμίμῳ πόματι 271
μεθύσας κατεχλεύασε πάλιν, ἀπογυμνώσας τὸν ἄνθρωπον ἀρετῆς. ἔσται δὲ σαφέστερον
μᾶλλον ἐντεῦθεν ὃ λέγω. ἡ ἀντικειμένη δύναμις ἀεὶ μιμεῖται τῆς ἀρετῆς καὶ τῆς δι-
καιοσύνης τὰ σχήματα, οὐ πρὸς ἄσκησιν κατὰ ἀλήθειαν, ἀλλὰ πρὸς ἀπάτην καὶ ὑπό-
κρισιν. ἵνα γὰρ δελεάσῃ πρὸς θάνατον τοὺς φεύγοντας τὸν θάνατον, ἀθανασίας ἔξω-
θεν καλλωπίζεται σχηματισμοῖς, καὶ ταύτῃ συκῆ βούλεται νομίζεσθαι καὶ ἄμπελος, καὶ
γλυκύτητα καὶ εὐφροσύνην γεννᾶν, εἰς ἄγγελον μετασχηματιζομένη φωτὸς καὶ προσχή- 2 Cor. 11, 14.
ματι θεοσεβείας δελεάζουσα πολλούς. δύο γὰρ εἶναι διαφορὰς συκέων καὶ ἀμπέλων
εὑρίσκομεν ἐν ταῖς γραφαῖς, σῦκα τὰ χρηστά, χρηστὰ λίαν, καὶ σῦκα τὰ πικρά, πικρὰ 272
λίαν, οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπων, καὶ οἶνον θυμὸν δρακόντων καὶ θυμὸν Jer. 24, 3.
ἀσπίδων ἀνίατον. ἀλλ' ἀφ' οὗ λοιπὸν ἐβασίλευσεν ἁγνεία τῶν ἀνθρώπων, ἐλέγχθη ἡ Ps. 103, 15.
πλάνη καὶ νενίκηται, τοῦ ἀρχιπαρθένου Χριστοῦ καταστρέψαντος αὐτήν, καὶ ἡ ἀλη- Deut. 32, 33.
θινὴ συκῆ καὶ ἡ ἀληθινὴ ἄμπελος καρποφοροῦσι μετὰ τὸ κρατῆσαι πάντων ἁγνείαν,
καθάπερ καὶ Ἰωὴλ ὁ προφήτης εὐαγγελίζεται, „θάρσει, γῆ,“ λέγων „καὶ χαῖρε καὶ Joel. 2, 21—23.
εὐφραίνου, ὅτι ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι. θαρσεῖτε, κτήνη τοῦ πεδίου, ὅτι βε-
βλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ· ἄμπελος καὶ συκῆ 273
ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. καὶ τὰ τέκνα Σιὼν χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ κυρίῳ θεῷ
ὑμῶν, διότι ἔδωκεν ὑμῖν βρῶσιν εἰς δικαιοσύνην,“ ἄμπελον καὶ συκῆν δένδρα καρποὺς
εἰς δικαιοσύνην βλαστήσαντα τοῖς τέκνοις τῆς νοητῆς Σιὼν τὰς ἔμπροσθεν νομοθεσίας

καλῶν, ἃ μετὰ τὴν ἐνανθρώπησιν ἐκαρποφόρησαν τοῦ λόγου, ὁπότε ἐβασίλευσεν ἡμῶν
ἡ ἁγνεία, πρόσθεν ἀποκρατήσαντα καὶ ἀπομύσαντα τὰς βλαστὰς διὰ τὴν ἁμαρτίαν καὶ
τὴν πολλὴν πλάνην. οὐδὲ γὰρ ἠδύνατο τὴν εἰς ζωὴν ἀναδιδομένην ἡμῖν παρασχεῖν τρο-
φὴν ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ἡ συκῆ ἡ ἀληθινή, ἔτι τῆς συκῆς τῆς μὴ ἀληθινῆς καὶ
274 πρὸς ἀπάτην πεποικιλμένης ἀνθούσης. ἀλλ' ὅτε κατεξήρανεν ὁ κύριος τὰ νόθα καὶ
Matth. 21, 19. ἀντίμιμα τῶν ἀληθινῶν, ἀποφηνάμενος τῇ πικροφόρῳ συκῇ τό „μηκέτι γένηται καρ-
πὸς ἐκ σοῦ εἰς τὸν αἰῶνα," τότε τὰ ὄντως ἀνέθαλε καρποφόρα καὶ ἐβλάστησε βρῶσιν
εἰς δικαιοσύνην. ἔστι δὲ καὶ ὅτε εἰς αὐτὸν ἀναφέρεται τὸν κύριον ἡ ἄμπελος πολλα-
Joann. 15, 1. χῶς, εἰς δὲ τὸ πνεῦμα τὸ ἅγιον ἡ συκῆ, ὡς τοῦ μὲν κυρίου τὰς καρδίας ἱλαρύνοντος
τῶν ἀνθρώπων, τοῦ δὲ πνεύματος ἰωμένου. καὶ διὰ τοῦτο προστάσσεται πρῶτον Ἐζε-
4 Reg. 20, 7; κίας παλάθῃ καταπλασθῆναι σύκων, ὅ δή ἐστι τῷ καρπῷ τοῦ πνεύματος, ἵνα θερα-
Esa. 38, 21. πευθῇ οἱονεὶ κατὰ τὸν ἀπόστολον τῇ ἀγάπῃ. „ὁ" γάρ „καρπός" φησί „τοῦ πνεύ-
Gal. 5, 22. ματος ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, πίστις, πραότης, ἐγκράτεια,"
275 ὃν διὰ τὴν πολλὴν γλυκύτητα σῦκα ὁ προφήτης ἐκάλεσε. καὶ ὁ Μιχαίας δέ „καὶ
ἀναπαύσεται ἕκαστος" φησίν „ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ἕκαστος ὑποκάτω τῆς συκῆς
Mich. 4, 4. αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν." δῆλον γὰρ ὅτι οἱ ὑπὸ τὴν τοῦ πνεύματος προσφυ-
γόντες καὶ ἀναπαυσάμενοι καὶ τὴν τοῦ λόγου σκέπην οὐ δειλιάσουσιν οὐδὲ πτυρήσονται
τὸν ταράσσοντα τὰς καρδίας.

VI. Ὅτι δὲ καὶ ἡ ἐλαία τὴν ἐπὶ Μωυσέως αἰνίσσεται νομοθεσίαν ὁ Ζαχαρίας
παρίστησιν οὕτω λέγων „καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ ἐξέγειρέ με
ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ, καὶ εἶπε πρός με· τί σὺ βλέπεις;
276 καὶ εἶπα· ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ
Zach. 4, 1—3. δύο ἐλαῖαι, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων." καὶ μετ'
ὀλίγα „καὶ τίνες εἰσίν" ἐρομένου „αἱ ἐλαῖαι" τοῦ προφήτου „αἱ ἐκ δεξιῶν τῆς λυχνίας
καὶ αἱ ἐξ εὐωνύμων καὶ οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτή-
Ibid. 14. ρων;" ἀπεκρίθη καὶ εἶπεν ὁ ἄγγελος „οὗτοι οἱ δύο υἱοὶ πιότητος, οἳ παρεστήκασι τῷ
κυρίῳ πάσης τῆς γῆς," τὰς δύο λέγων ἀρχεγόνους δυνάμεις εἶναι τὰς δορυφορούσας τὸν
θεόν, αἳ ἐν τῷ οἴκῳ περὶ τὸ σχοίνισμα διὰ τῶν κλάδων ἐπιχορηγοῦσι τὸ πνευματικὸν
ἔλαιον τοῦ θεοῦ, ἵνα φῶς ἔχῃ θείας γνώσεως. οἱ γὰρ δύο κλάδοι τῶν δύο ἐλαιῶν
ὁ νόμος εἰσὶ καὶ οἱ προφῆται οἱ περὶ τὸ σχοίνισμα τῆς κληρονομίας ἐπικληθέντες, οὓς
277 ἐβλάστησεν ὁ Χριστὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὔπω δυναμένων ἡμῶν χωρῆσαι τὸν
καρπὸν ὅλον καὶ τὸ μέγεθος τῶν φυτῶν τούτων, πρὶν ἄρξαι τοῦ κόσμου καὶ βασιλεῦ-
σαι τὴν ἁγνείαν· ἀλλὰ τοὺς κλάδους αὐτῶν μόνους τὸν νόμον οἱονεὶ καὶ τὴν προφη-
τείαν πρόσθεν ἐγεωργήσαμεν, καὶ ταῦτα μετρίως, πολλάκις διολισθήσαντες. τίς γὰρ
Χριστὸν ἢ τὸ πνεῦμα τέλειον ἴσχυσε χωρῆσαί ποτε, μὴ καθαρεύσας πρῶτον; ἡ γὰρ
πρὸς εὐδοξίαν ἐπιθυμητήν τε καὶ ἐραστὴν ἐκ παίδων ἐργαζομένη τὴν ψυχὴν ἄσκησις,
καὶ τὸν κόσμον αὐτῇ τοῦτον μετὰ ῥᾳστώνης ἀβασάνιστον ἐκεῖ διακομίζουσα, καὶ μικρῶν
278 αἱρουμένη πόνων μεγάλας ἐλπίδας, ἐστὶν ἡ ἀθανατοποιὸς τῶν σωμάτων ἡμῶν ἁγνεία,
ἣν δεῖ πάντας ἀσμένως ἀνθρώπους προτιμᾶν καὶ αἰνεῖν, τοὺς μὲν ὅτι δι' αὐτὴν ἐνυμ-
φαγωγήθησαν τῷ λόγῳ παρθενίαν ἀσκήσαντες, τοὺς δὲ ὅτι πρὸς αὐτῆς ἠλευθερώθησαν
Gen. 3, 19. τῆς „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ" κατακρίσεως.

Οὗτος, ὦ Ἀρετή, καὶ ὁ παρ' ἐμοῦ σοι, καθ' ὅσον ἐγὼ δύναμαι, λόγος ὑπὲρ ἁγνείας,
ὃν ἀξιῶ, κἂν μέτριος ᾖ, δέσποινα, καὶ ὀλίγος, προθυμότατά σε δέξασθαι παρ' ἐμοῦ
τελευταίαν εἰπεῖν ᾑρημένην.

Λόγος ιά.

Ἀρετή.

1. Ἀλλὰ δέχομαι, τὴν Ἀρετὴν ἡ Θεοπάτρα ἔφη φάναι, καὶ πᾶσαν ἐπαινῶ· κρά-
τιστα γὰρ δή, κἂν οὕτω μὴ φανερῶς, ἀλλὰ μετὰ σπουδῆς τὰ λεχθέντα δεχομένη διεξ-
279 ελήλυθας, οὐ γλυκυμυθίαν πρὸς τέρψιν τῶν ἀκουόντων συσκευασαμένη, ἀλλὰ πρὸς
ἐπανόρθωσιν ὑπόμνημα καὶ νῆψιν. προτάττειν γὰρ τῶν ἐμῶν ἐπιτηδευμάτων ἁγνείαν
ὁ λέγων δεῖν καὶ ἀσπάζεσθαι πρώτην τῶν ἄλλων ὀρθῶς παρακελεύεται· ἣν τιμᾶν μὲν
νομίζουσι καὶ θεραπεύειν πολλοί, τιμῶσι δ' αὐτὴν ὡς ἔπος εἰπεῖν ὀλίγοι. οὐ γὰρ
ὁπόταν τὴν ἑαυτοῦ σάρκα τῆς κατὰ συνουσίαν ἄγευστον ἡδονῆς φιλοτιμῆται τηρεῖν ἄν-
θρωπος, τῶν ἄλλων μὴ κρατῶν, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν αὐτὴν μᾶλλον οὐχ
ἥκιστα βαναύσοις ἐπιθυμίαις, ἡδονὰς ἀντικαταλλασσόμενος ἡδοναῖς. οὐδέ γε ὁπόταν
280 πρὸς τὰς ἔξω μὲν ἐπιθυμίας διαπονῇ καρτερῶν, ὑπεραίρηται δὲ φυσιούμενος, αὐτῷ δὴ
τούτῳ τῷ δύνασθαι τῶν τῆς σαρκὸς ὑπεκκαυμάτων κρατεῖν, καὶ πάντας οὐδὲν ἡγῆται,
ἁγνείαν τιμᾷ· ἀτιμάζει γὰρ αὐτὴν ὑβρίζων ὑψηλοφροσύνῃ, τῷ τὸ μὲν ἔξωθεν τοῦ πίνα-

κος καθαίρειν καὶ τῆς παροψίδος, τὴν σάρκα, τὸ σῶμα, τὴν δὲ καρδίαν τύφῳ σίνε- Matth. 23,25.
σθαι καὶ φιλοκρατίᾳ. οὐδέ γε ὁπότε ἐναβρύνεταί τις χρήμασι, τιμᾶν αὐτὴν σπουδά-
ζει· ἀτιμάζει μὲν οὖν παντὸς μᾶλλον καὶ οὗτος, προκρίνων αὐτῆς ὀλίγον κέρδος, ἧς
οὐδὲν ἀντάξιον τῶν ἐν τῷ βίῳ τιμίων· πᾶς γὰρ πλοῦτος ἐνώπιον αὐτῆς καὶ χρυσὸς ὡς Sap. 7, 9.
ψάμμος ὀλίγη. οὐδέ γε ὁ ἑαυτὸν ὑπερφυῶς ἡγούμενος φιλεῖν καὶ τὸ ἑαυτῷ μόνῳ συμ- 281
φέρον σπουδάζων σκοπεῖν, ἄφροντις δὲ τῶν πλησίον, ἁγνείαν τιμᾷ· ἀτιμάζει μὲν οὖν
αὐτὴν καὶ οὗτος· πολὺ γὰρ λείπεται τῶν κατ' ἀξίαν ὁμιλούντων αὐτῇ, τῷ τὴν ἀγάπην
αὐτῆς καὶ τὸ συμπαθητικὸν καὶ τὸ φιλάνθρωπον λωβήσασθαι. οὐ γὰρ τῇδε μὲν ἁγνεύον-
τας παρθενεύειν δεῖ, τῇδε δὲ κακοπραγοῦντας χραίνεσθαι καὶ ἀκολασταίνειν, οὐδὲ τῇδε
μὲν ἐπαγγέλλεσθαι καθαρεύειν καὶ σωφρονεῖν, τῇδε δὲ μολύνεσθαι καὶ ἁμαρτάνειν, οὐδ'
αὖ τῇ μὲν ὁμολογεῖν μὴ πεφροντικέναι τῶν κοσμικῶν, τῇ δὲ κτᾶσθαι καὶ ἐν αὐτοῖς ἐξετάζε-
σθαι, ἀλλὰ πάντα τὰ μέλη φθορᾶς ἀκοινώνητα καὶ ἀμιγῆ τηρεῖν, οὐ μόνον τὰ κνησμώδη 282
καὶ συνουσιαστικά, ἀλλ' ἤδη καὶ τὰ τούτων ἐνεργέστερα. χλεύη γὰρ τὰ μὲν τῆς παι-
δοποιήσεως ὄργανα τηρεῖν παρθένα, τὴν δὲ γλῶτταν μὴ τηρεῖν, ἢ τὴν γλῶτταν μὲν
τηρεῖν παρθένον, τὴν δὲ ὅρασιν ἢ τὴν ἀκοὴν ἢ τὰς χεῖρας μὴ τηρεῖν, ἢ ταῦτα μὲν
ἔχειν καὶ τηρεῖν παρθένα, τὴν καρδίαν δὲ μὴ τηρεῖν, ἀλλ' ἑταιρίζεσθαι τύφῳ καὶ θυμῷ.
δεῖ γὰρ πάντως τὸν μέλλοντα μὴ ἁμαρτήσεσθαι περὶ τὴν ἄσκησιν τῆς ἁγνείας τὰ μέλη
πάντα καὶ τὰ αἰσθητήρια τηρεῖν ἑαυτοῦ καθαρὰ καὶ συνεσφιγμένα, καθάπερ δὴ καὶ
πλοίων [ὧν] οἱ κυβερνῆται τὰς ἁρμογὰς σφίγγουσι, πρὸς τὸ μὴ σχεῖν ἔσω δίοδον τὴν 283
ἁμαρτίαν ἐπεισχεομένην. τοῖς γὰρ μεγάλοις ἐξ ἀνάγκης ἐπιτηδεύμασι μεγάλα καὶ τὰ
πταίσματα συμβαίνει, καὶ τῷ ὄντι τῷ ἀγαθῷ μᾶλλον ἐναντιώτερον τὸ κακὸν ἢ τῷ μὴ
ἀγαθῷ. πολλοὶ οὖν δοξάζοντες τὸ περὶ τὰς οἰστρώδεις καρτερεῖν ἐπιθυμίας εἶναι τὴν
ἁγνείαν, τῶν ἄλλων ἀμελήσαντες αὐτῆς ἔπταισαν καὶ τοῖς ὀρθῶς πρὸς αὐτὴν ὡρμημέ-
νοις προσῆψαν ψόγους, ὡς ὑμεῖς ἠλέγξατε, νόμος διὰ πάντων, αὗταί γε παρθενεύου-
σαι καὶ ἔργῳ καὶ λόγῳ. καὶ τὰ μὲν δὴ τῆς παρθένου, ποταπὴν εἶναι προσήκει, διε-
γράφη· ὑμᾶς δὲ διαρκῶς διαγωνισαμένας τῷ λόγῳ αὐτήκοος γενομένη πάσας ἀποφαί-
νομαι νικᾶν καὶ στέφω, Θέκλαν δὲ τῷ μείζονι στεφάνῳ καὶ δασυτέρῳ ὡς πρώτην ὑμῶν 284
καὶ μεγαλοπρεπέστερον ἐκλάμψασαν.

Ταῦτα οὖν εἰποῦσαν ἔφη κελεῦσαι πάσας ἀναστῆναι τὴν Ἀρετὴν ἡ Θεοπάτρα, καὶ
πάσας ὑπὸ τὴν ἄγνον εὐχαριστήριον ὕμνον πρεπόντως ἀναπέμψαι τῷ κυρίῳ, ἐξάρχειν
δὲ τὴν Θέκλαν καὶ προυφηγεῖσθαι. ὡς οὖν ἀνέστησαν, τὴν Θέκλαν μέσην μὲν τῶν
παρθένων ἔφη, ἐκ δεξιῶν δὲ τῆς Ἀρετῆς στᾶσαν κοσμίως ψάλλειν, τὰς δὲ λοιπὰς ἐν
κύκλῳ καθάπερ ἐν χοροῦ σχήματι συστάσας ὑπακούειν αὐτῇ.

Ψαλμός.

ἄνωθεν, παρθένοι, βοῆς ἐγερσίνεκρος ἦχος
ἦλθεν νυμφίῳ πασσυδὶ ὑπαντάνειν λευκαῖσιν 285
καὶ λαμπάσι πρὸς ἀντολάς· ἔγρεσθε πρὶν φθάσῃ μολεῖν
εἴσω θυρῶν ἄναξ.

Ὑπακοή.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
βροτῶν πολυστένακτον ὄλβον ἐκφυγοῦσα καὶ
βίου τρυφῆς ἔρωτα, σαῖς ὑπ' ἀγκάλαις
ζωηφόροις ποθῶ σκέπεσθαι καὶ βλέπειν τὸ σὸν
κάλλος διηνεκῶς, μάκαρ.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
γάμων λιποῦσα θνητὰ λέκτρα καὶ δόμον, ἄναξ,
διὰ σὲ πολύχρυσον, ἦλθον ἀσπίλοις ἐν εἵμασιν,
ὅπως φθάσω κἀγὼ πανολβίων θαλάμων
εἴσω σὺν σοὶ μολεῖν,
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
δόλους δράκοντος ἐκφυγοῦσα μυρίους, μάκαρ, 286
θελκτηρίους· ἔτλην δὲ καὶ πυρὸς φλόγα
καὶ θηρίων ἀνημέρων ὁρμὰς βροτοφθόρους,
σὲ προσμένουσ' ἀπ' οὐρανῶν.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

ἐλαθόμην πάτρας, ποθοῦσα σὴν χάριν, Λόγε,
Psal. 44, 10. ἐλαθόμην καὶ παρθένων ὁμηλίκων χορούς,
μητρός τε καὶ γένους φρύαγμα· πάντα γάρ σύ μοι
αὐτὸς σύ, Χριστέ, τυγχάνεις.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
ζωῆς χοραγός, Χριστέ, χαῖρε φῶς ἀνέσπερον,
ταύτην δέδεξο τὴν βοήν· χορός σε παρθένων
προσεννέπει, τέλειον ἄνθος, ἀγάπη, χαρά,
φρόνησις, σοφία, Λόγε.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
287 ἠνοιγμέναις θύραις, ἄνασσα φαιδρόκοσμε, δέδεξ' ἡμᾶς,
ἀχραντόσωμε, καλλίνικε νύμφα, καλλίπνου·
ὁμόστολοι παρήμεθα Χριστῷ, πανόλβιαι,
μέλπουσαι σὸν γάμον, θάλος.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Matth. 25, 11. θρηνοῦσι νῦν βαρύστονοι κόραι πυλῶν πικρῶς
νυμφῶνος ἔξω καὶ βοῶσι γοερῶς, ὅτι
τὸ λαμπάδων ἀποσβέσασαι φῶς οὐκ ἔφθασαν
χαρᾶς ταμεῖον εἰςιδεῖν.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
ἱερᾶς ὁδοῦ γὰρ ἐκτραπεῖσαι πρὸς βίου πόρους
κτήσασθ' ἔλαιον ἠμέλησαν ἄθλιαι πλέον·
νεκρὰς δὲ πυρὸς φέρουσαι φλογεροῦ λαμπάδας
στένουσιν ἔνδον ἐκ φρενῶν.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
288 κρατῆρες ἀδυπληθέες πρόκεινται νέκταρος·
πίνωμεν· οὐράνιον γάρ ἐστι πόμα, παρθένοι,
ὁ νυμφίος ὅπερ τέθεικε τοῖς μετ' ἀξίας
εἰς τὸν γάμον κεκλημένοις.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Gen. 4, 10. λαμπρῶς σου τὸν θάνατον Ἄβελ προεκτυπῶν,
μάκαρ, ἔλεξεν αἱματοσταγὴς βλέπων εἰς οὐρανούς·
ἀνηλεῶς με συγγόνου τετρωμένον χερὶ
δέξαι, λιτάζομαι, Λόγε.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Gen. 39, 12. μέγιστον ἆθλον ἁγνείας σου παῖς Ἰωσὴφ ἀνείλετο·
γυνὴ γὰρ αὐτὸν εἰς ἄθεσμα λέκτρα εἵλκυσεν
φλεγομένη πόθοις, ὁ δ' οὐδὲν ἐντραπεὶς
ἔφευγε γυμνὸς ἐκβοῶν·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
289 νεοσφαγῆ ὁ Ἰεφθάε κόραν ἦγε θυσίαν θεῷ,
Jud. 11, 38. ἄπειρον ἀνδρός, ἀμφὶ βωμὸν ἀμνάδος δίκην·
ἡ δ' εὐγενῶς σου τὸν τύπον τῆς σαρκός, ὦ μάκαρ,
τελοῦσ' ἔκραζε καρτερῶς·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Judith. 8, 1. ξένων στρατηλάταν ὄχλων εὔτολμος εὐστόχοις
Ἰουδὴθ δόλοις καρατομήσασα, κάλλεος τύποις
θέλξασα τοῦτον, οὐ χράναντα σώματος μέλη,
νικαφόροις ἔφη βοαῖς·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
Dan. 13, 19. ὁρῶντες εἶδος εὐπρεπὲς ὑφῆς δύο κριταὶ

Σουσάννας, ἐμμανεῖς ἔρωτι λέξαν· ὦ γύναι,
κρυπτῶν γάμων λέχη ποθοῦντες ἥκομεν, φίλα.
ἡ δ᾽ ἐντρόμοις ἔφη βοαῖς·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
πολλῷ με κατθανεῖν ἄμεινόν ἐστιν ἢ λέχη 290
προδοῦσαν, ὦ γυναιμανεῖς, ὑμῖν αἰωνίαν
δίκην ὑπ᾽ ἐμπύροις θεοῦ τιμωρίαις παθεῖν·
σῶσόν με, Χριστέ, τῶνδε νῦν.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
ῥοαῖς καθαρσίοις λούων πλήθη βροτῶν ὁ σὸς Marc. 6, 27.
πρόδρομος ἀνόμως κακοῦ πρὸς ἀνδρὸς εἰς σφαγὴν
ἤχθη δι᾽ ἁγνείαν, λύθρῳ δὲ φοινίῳ κόνιν
δεύων ἔκραζέ σοι, μάκαρ·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
σοῦ καὶ ζωητόκος χάρις ἄθικτος, ἄτεγκτος, ἀσπίλους Matth. 1, 18.
τὰς σὰς γονὰς ἐν ἀσπόρῳ φέρουσα νηδύι,
μορφὴν ὑπέσχεν ὡς προδοῦσα λέκτρα παρθένος·
ἔλεξε δ᾽ ἔγκυος, μάκαρ·
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
τὴν σήν, μάκαρ, γαμήλιον ποθοῦντες ἁμέραν 291
ἰδεῖν, ὅσους ἄνωθεν αὐτὸς ἀγγέλων ἄναξ Matth. 2, 1.
κέκληκας, ἥκουσιν μέγιστα δῶρά σοι, Λόγε,
φέροντες ἀσπίλοις στολαῖς.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
ὕμνοις, μάκαιρα θεόνυμφε, θαλαμηπόλοι
αἰέν σε γεραίρομεν, σὲ νῦν, ἄθικτε παρθένε,
ἐκκλησία χιονόσωμε, κυανοβόστρυχε,
σῶφρον, ἄμωμ᾽, ἐρασμία.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
φθορὰ πέφευγε καὶ νόσων πόνοι δακρυσταγεῖς,
θάνατος ἡρέθη, ὄλωλε πᾶσα ἀφροσύνη, λύπη
τέθνηκε τηξίφρων, ἔλαμψε δ᾽ ἡ θεοῦ Χριστοῦ
χαρὶς βροτοῖς ἄφνω πάλιν.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
χῆρος βροτῶν παράδεισός ἐστιν οὐκέτι·
πάλιν γὰρ αὐτὸν ἐκ θείας ὥσπερ τὸ πρὶν ταγῆς
οἰκεῖ τέχναις ὁ ποικίλαις δράκοντος ἐκπεσών, 292
ἄφθαρτος, ἄφοβος, μάκαρ.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
ψάλλων τὸ καινὸν ᾆσμα νῦν χορός σε παρθένων
καθιστάνει πρὸς οὐρανούς, ἄνασσα, σαφῶς ὅλος
ἐστεμμένος λευκοῖς κρίνων κάλυξι καὶ φλόγας
χερσὶν σελασφόρους φέρων.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.
ὦ τὰς ἀχράντους οὐρανοῦ, μάκαρ, ναίων ἕδρας,
ἄναρχε, πάντα συγκρατῶν αἰωνίῳ κράτει,
δέξαι σὺν παιδὶ σῷ, πάρεσμεν, ἔνδον εἰς ζωῆς
πύλας, πάτερ, καὶ ἡμέας.
ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

ΕΥΒΟΥΛ. *Ἀξίως ἀπηνέγκατο τὰ πρῶτα τῶν ἄθλων ἡ Θέκλα, ὦ Γρηγόριον.*
ΓΡΗΓ. *Ἀξίως μὲν οὖν.*

293 ΕΥΒΟΥΛ. Τί δαί; ἡ Τελμησιακὴ ξένη, εἰπέ μοι, κἂν ἔξωθεν οὐκ ἐπηκροᾶτο; θαυμάζω γὰρ εἰ ἡσυχίαν εἶχεν ἐκείνη μαθοῦσα τὸ συσσίτιον τοῦτο, καὶ οὐκ εὐθέως ὥσπερ ὄρνεον ἐπὶ τροφὴν ἵπτατο τῶν λεγομένων ἀκουσομένη.

ΓΡΗΓΟΡ. Λόγος γὰρ αὐτὴν Μεθοδίῳ συμπαραγεγονέναι αὐτὰ δὴ ταῦτα τὴν Ἀρετὴν πυνθανομένῳ. ἀλλὰ καλὸν καὶ μακάριον τοιαύτῃ διδασκάλῳ χρῆσθαι καὶ ὁδηγῷ, τῇ Ἀρετῇ.

ΕΥΒΟΥΛ. Ἀτάρ, ὦ Γρηγόριον, ποτέρους ἀμείνους λέγωμεν, τοὺς μὴ ἐπιθυμοῦντας μέν, κρατοῦντας δὲ τῆς ἐπιθυμίας, ἢ τοὺς ἐπιθυμοῦντας καὶ παρθενεύοντας;

ΓΡΗΓΟΡ. Τοὺς μὴ ἐπιθυμοῦντας δηλονότι, ἐπειδὴ καὶ τὴν διάνοιαν οὗτοι καὶ τὴν αἴσθησιν ἀμόλυντον κέκτηνται καί εἰσιν ὁλοτελῶς ἀδιάφθοροι, κατὰ μηδὲν ἐξημαρτηκότες.

ΕΥΒΟΥΛ. Εὖγε νὴ τὴν σωφροσύνην, ὦ Γρηγόριον, καὶ συνετῶς. ἀτὰρ μή τι κωλύω,
294 ἐὰν ἀντιλαμβάνωμαι τῶν λόγων, ἵνα ἐῤῥωμενέστερον μάθω καὶ μηδεὶς ἐξελέγξῃ με ἔτι;

ΓΡΗΓ. Ἀλλ' ἀντιλαμβάνου ὅπῃ καὶ θέλεις· ἐγὼ γὰρ ἱκανῶς, ὦ Εὐβούλιον, διδάξαι σε ἔχω ὅτι τοῦ ἐπιθυμοῦντος ὁ μὴ ἐπιθυμῶν κρείσσων ἐστί, καὶ οὐδεὶς οὐ μή σε ἐλέγξῃ.

ΕΥΒΟΥΛ. Βαβαί· χαίρω γάρ, ὅτι μοι μεγαλοφρόνως ἀποκρίνῃ καὶ δεικνύεις ὅσον πεπλούτηκας ἐπὶ σοφίᾳ.

ΓΡΗΓ. Κωτίλος τις ὡς ἔοικεν ἄνθρωπος εἶναι δοκεῖς, ὦ Εὐβούλιε.

ΕΥΒΟΥΛ. Τίνος δὴ χάριν;

ΓΡΗΓ. Ὅτι τωθαζόμενός με ταῦτα λέγεις μᾶλλον ἢ ἀληθεύων.

ΕΥΒΟΥΛ. Εὐφήμησον, ὦ μακαρία· θαυμάζω γὰρ σφόδρα σου τὸ συνετὸν καὶ
295 μεγαλόδοξον. ἐγὼ τοῦτο ἔφην, ὅτι περὶ ὧν πολλοὶ πρὸς ἑαυτοὺς πολλάκις ἀμφισβητοῦσι σοφοί, ταῦτα οὐ μόνον ἐπίστασθαι σὺ λέγεις, ἀλλὰ καὶ διδάσκειν ἑτέρους σεμνύνῃ.

ΓΡΗΓ. Σὺ γὰρ ἐξ ἀληθείας, εἰπέ μοι, δυσχεραίνεις, εἰ διαφέρουσιν ὅλως οἱ μὴ ἐπιθυμοῦντες τῶν ἐπιθυμούντων τε καὶ ἐγκρατευομένων; ἢ πάντως ἐμοῦ ταῦτα προσπαίζεις;

ΕΥΒΟΥΛ. Καὶ πῶς ἀποπειρώμενος, ὃς ὁμολογῶ μὴ εἰδέναι; ἀλλ' ἴθι φράσον ἐμοί, ὦ σοφωτάτη, τίνι διαφέρουσιν οἱ μὴ ἐπιθυμοῦντες καὶ ἁγνεύοντες τῶν ἐπιθυμούντων τε καὶ παρθενευόντων.

ΓΡΗΓ. Ὅτι πρῶτον μὲν καθαρὰν ἔχουσιν αὐτὴν τὴν ψυχὴν καὶ ἀεὶ τὸ πνεῦμα τὸ
296 ἅγιον ἐν αὐτῇ κατοικεῖ, μὴ περιελκομένης αὐτῆς καὶ ἐπιθολουμένης φαντασίαις καὶ λογισμοῖς ἀκρασίας, ὥστε καὶ διὰ τῆς ἐνθυμήσεως ἐπιλωβηθῆναί ποτε· ἀλλ' εἰσὶν ἀνεπίδεκτοι πάντῃ καὶ κατὰ τὴν σάρκα καὶ κατὰ τὴν καρδίαν οὗτοι τῆς ἐπιθυμίας, γαλήνην ἄγοντες τῶν παθημάτων. οἱ δὲ διὰ τῆς ὄψεως ἔξωθεν δελεαζόμενοι ταῖς φαντασίαις καὶ ἐπεισρέουσαν δεχόμενοι τὴν ἐπιθυμίαν δίκην ῥεύματος εἰς τὴν καρδίαν οὐδὲν ἧττον μολύνονται πολλάκις, κἂν νομίζωσιν ἀντιφιλονεικεῖν καὶ μάχεσθαι πρὸς τὰς ἡδονάς, ἡττώμενοι τὸν λογισμόν.

ΕΥΒΟΥΛ. Οὐκοῦν τοὺς γαλήνην ἄγοντας καὶ μὴ διοχλουμένους ὑπὸ τῆς ἐπιθυμίας λέξομεν καθαρούς;

Matth. 5, 8. ΓΡΗΓ. Καὶ σφόδρα. τούτους γὰρ τοιούτους ὁ καὶ θεοὺς διὰ τῶν μακαρισμῶν
297 ἀπεργαζόμενος τοὺς ἀνενδοιάστως αὐτῷ πιστεύοντας θεὸς ὄψεσθαι μετὰ παῤῥησίας ἀποφθέγγεται τὸν θεόν, ὅτι μηδὲν ἐπισκοτοῦν ἢ συνταράσσον τὸν ὀφθαλμὸν τῆς ψυχῆς πρὸς τὴν θείαν ἐπιφέρονται θεωρίαν, ἀλλ' ἐκτὸς γεγονότες τῶν ὀρέξεων πάντῃ τῶν κοσμικῶν τὴν σάρκα καθαρὰν οὐ μόνον, ὡς ἔφην, μίξεως τηροῦσιν, ἀλλ' ἤδη καὶ τὴν καρδίαν ἀνεπίδεκτον λογισμῶν ἀκρασίας, ἐν ᾗ μάλιστα καὶ τὸ ἅγιον ὡς ἐν ναῷ κατοικοῦν ἀναπαύεται πνεῦμα.

ΕΥΒΟΥΛ. Ἔχε δή (οἶμαι γὰρ ἐπὶ τὴν εὕρεσιν τῶν ὄντως κρειττόνων ὀρθότερον ἡμᾶς ἐντεῦθεν διελθεῖν) καί μοι φράσον· καλεῖς τινα κυβερνήτην ἀγαθόν;

ΓΡΗΓ. Ἔγωγε.

298 ΕΥΒΟΥΛ. Πότερον τὸν ἐν μεγάλαις καὶ ἀμηχάνοις περισώσαντα ζάλαις τὸ σκάφος ἢ τὸν ἐν γαλήνῃ καὶ νηνεμίᾳ;

ΓΡΗΓ. Τὸν ἐν μεγάλαις καὶ ἀμηχάνοις.

ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν τὴν περιαντλουμένην ταῖς τρικυμίαις τῶν παθημάτων καὶ μὴ ἀποκάμνουσαν ἢ ἐκλυομένην, ἀλλὰ τὸ σκάφος, τὴν σάρκα, γενναίως εἰς λιμένα τὸν τῆς σωφροσύνης ἀπευθύνουσαν λέξομεν τῆς ἐν εὐδίᾳ πλοϊζομένης κρείττονα καὶ δοκιμωτέραν;

ΓΡΗΓ. Λέξομεν.

ΕΥΒΟΥΛ. Τὸ γὰρ ἁρμόζεσθαι πρὸς τὰς ἐμβολὰς τῶν καταφυσημάτων τοῦ πονηροῦ πνεύματος καὶ μὴ ἀποῤῥίπτεσθαι ἢ νικᾶσθαι, ἀλλὰ πάντα πρὸς Χριστὸν ἀνανεύοντα καρτερῶς μάχεσθαι ταῖς ἡδοναῖς μείζονα τὸν ἔπαινον φέρει τοῦ μετὰ ῥᾳστώνης ἀχειμαστὶ παρθενεύοντος.

ΓΡΗΓ. Ἔοικε.

ΕΥΒΟΥΛ. Τί δὲ καὶ ὁ κύριος; οὐ δοκεῖ δεικνύναι διαφέρειν τὸν ἐπιθυμοῦντα 299
μᾶλλον καὶ ἐγκρατεύοντα τοῦ μὴ ἐπιθυμοῦντός τε καὶ παρθενεύοντος;

ΓΡΗΓ. Ποῦ δή;

ΕΥΒΟΥΛ. Ἔνθα τὸν φρόνιμον παραβάλλων οἰκίᾳ τεθεμελιωμένῃ καλῶς ἄπτωτον
αὐτὸν ἀποφαίνεται, μὴ δυνάμενον ὑπὸ τῆς βροχῆς καὶ τῶν ποταμῶν καὶ τῶν ἀνέμων Matth. 7, 24.
καταβληθῆναι, ταῖς μὲν ἐπιθυμίαις ὡς ἔοικεν ἀπεικάζων τοὺς χειμῶνας, τῇ δὲ πέτρᾳ
τὴν ἀκίνητον ἔνστασιν καὶ ἀδιάπτωτον τῆς ψυχῆς περὶ τὴν ἁγνείαν.

ΓΡΗΓ. Ἀληθῆ λέγειν δόξαις.

ΕΥΒΟΥΛ. Τί δὲ καὶ ἰατρόν; οὐ τὸν ἐπὶ μεγάλαις ἤδη δεδοκιμασμένον νόσοις καὶ πολλοὺς ἰασάμενον ἄριστον καλεῖς;

ΓΡΗΓ. Ἔγωγε.

ΕΥΒΟΥΛ. Τὸν δὲ μηδὲν μηδέπω διαπραξάμενον, μηδὲ νοσοῦντας ὅλως ἐν χερσὶν ἐσχηκότα οὐ πάντως ἀδοκιμώτερον ἔτι;

ΓΡΗΓ. Ναί.

ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν τὴν ἀνεχομένην ὑγροτέρου σώματος, καὶ τὰς περὶ 300
τὰς ἡδονὰς αὐτοῦ νόσους καταπραΰνουσαν σωφροσύνης φαρμάκοις, ἰατρικωτέραν λεκτέον
τῆς ὑγιεινὸν διοικεῖν κεκληρωμένης σῶμα καὶ ἀπαθές;

ΓΡΗΓ. Λεκτέον γάρ.

ΕΥΒΟΥΛ. Τί δὲ καὶ ἐν πάλῃ; πότερον παλαιστὴς ἀμείνων ὁ ἀνταγωνιστὰς ἔχων μεγάλους καὶ ἰσχυρούς, καὶ προςπαλαίων ἀεὶ καὶ μὴ καθαιρούμενος, ἢ ὁ μὴ ἔχων ἀνταγωνιστάς;

ΓΡΗΓ. Δῆλον ὡς ὁ ἔχων.

ΕΥΒΟΥΛ. Καὶ ἐν πάλῃ ἄρα δοκιμώτερος ἀθλητὴς ὁ τοὺς ἀνταγωνιστὰς ἔχων;

ΓΡΗΓ. Ἀνάγκη.

ΕΥΒΟΥΛ. Οὐκοῦν καὶ ψυχὴν ἀνάγκη πᾶσα τὴν μηχανωμένην πρὸς τὰς ἐφόδους τῆς ἐπιθυμίας καὶ μὴ κατασπωμένην, ἀλλ᾽ ἀνθέλκουσαν καὶ ἀντιτασσομένην, ἰσχυροτέραν φαίνεσθαι τῆς μὴ ἐπιθυμούσης;

ΓΡΗΓ. Ἀληθῆ. 301

ΕΥΒΟΥΛ. Τί δὲ τὸ καρτερῶς ἔχειν πρὸς τὰς ὁρμάς, Γρηγόριον, τῶν φαύλων ὀρέξεων; δοκεῖ σοι μᾶλλον ἀνδρείας εἶναι;

ΓΡΗΓ. Καὶ σφόδρα.

ΕΥΒΟΥΛ. Ἡ δὲ ἀνδρεία αὕτη δύναμις ἀρετῆς;

ΓΡΗΓ. Δῆλον.

ΕΥΒΟΥΛ. Οὐκοῦν εἰ δύναμις ἀρετῆς ἐστιν ἡ ὑπομονή, ἡ διοχλουμένη ἄρα ψυχὴ καὶ καρτεροῦσα πρὸς τὰς ἐπιθυμίας δυνατωτέρα φαίνεται τῆς μὴ ὀχλουμένης;

ΓΡΗΓ. Ναί.

ΕΥΒΟΥΛ. Εἰ δὲ δυνατωτέρα, καὶ κρείσσων;

ΓΡΗΓ. Ναί.

ΕΥΒΟΥΛ. Κρείσσων ἄρα ἡ ἐπιθυμοῦσα καὶ ἐγκρατευομένη τῆς μὴ ἐπιθυμούσης ἐστὶν ἐκ τῶν προωμολογημένων καὶ ἐγκρατευομένης.

ΓΡΗΓ. Ἀληθῆ λέγεις, καὶ ἐπιθυμήσω πληρέστερον ἔτι περὶ τούτων διαλεχθῆναί
σοι. εἰ οὖν σοι φίλον, αὔριον ἀφίξομαι πάλιν ἀκουσομένη τούτων. νῦν γάρ, ὡς ὁρᾷς,
ὥρα λοιπὸν τραπέσθαι καὶ ἐπὶ τὴν περὶ τὸν ἔξωθεν ἀσχολίαν ἡμᾶς ἄνθρωπον. 302

ΜΕΘΟΔΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ.

P. 91 [1] *ΟΡΘΟΔ.* Ὁ μὲν Ἰθακήσιος γέρων, κατὰ τὸν τῶν Ἑλλήνων μῦθον, τῆς Σειρήνων
M(eurs.) βουλόμενος ἀκοῦσαι ᾠδῆς, διὰ τὴν τῆς φωνῆς ἀκόλαστον ἡδονὴν δεσμώτης ἔπλει εἰς
τὴν Σικελίαν καὶ τὰς τῶν ἑταίρων ἐνέφραττεν ἀκοάς, οὐκ ἐκείνοις ἕνεκα τῆς ἀκροάσεως
φθονῶν, οὐδὲ ἑαυτὸν δεσμῷ περιβάλλειν ἐπιθυμῶν, ἀλλ' ὅτι τέλος τῆς ἐκείνων ᾠδῆς
τοῖς ἀκούουσι θάνατος ἦν (τοιαῦται γὰρ παρ' Ἕλλησιν ἡδοναὶ Σειρήνων)· ἐγὼ δὲ τοι-
αύτης μὲν ᾠδῆς ἀκροατὴς οὐ γίνομαι, οὐδὲ ἀκούειν ἐπιθυμῶ Σειρήνων ἐπιτάφιον ἀν-
θρώπων ᾀδουσῶν, ὧν ἡ σιγὴ τῆς φωνῆς ἀνθρώποις χρησιμωτέρα γίνεται, θείας δέ
τινος ἀπολαύειν φωνῆς εὔχομαι, ἧς κἂν πολλάκις ἀκούσω, πάλιν ἀκούειν ἐπιθυμῶ, οὐκ
92 M. ἀκολάστου φωνῆς ἡδονῇ νενικημένος, ἀλλὰ θεῖα διδασκόμενος μυστήρια, καὶ τὸ τέλος
οὐ θάνατον, ἀλλ' αἰώνιον ἀπεκδεχόμενος σωτηρίαν. ᾄδουσι γὰρ τὴν ᾠδὴν οὐχ αἱ θανα-
τηφόροι Σειρῆνες Ἑλλήνων, ἀλλὰ θεῖός τις χορὸς προφητῶν, ἐφ' ὧν οὐκ ἔστιν ἀπο-
φράττειν τῶν ἑταίρων τὰς ἀκοάς, οὐδὲ ἑαυτόν τινι δεσμῷ περιβάλλειν, δεδοικότα τὴν
ἐκ τῆς ἀκροάσεως τιμωρίαν. τῶν μὲν γὰρ μετὰ τῆς φωνῆς ὁ ἀκροατὴς τοῦ ζῆν παύε-
ται, τῶν δὲ ἐπὶ πλεῖον ἀκούων τοῦ κρείττονος ἀπολαύσει βίου, ὑπὸ θείου πνεύματος
χειραγωγούμενος. ἡκέτω τοίνυν σύμπας καὶ ἀκουέτω τῆς θείας ᾠδῆς, μηδὲν πεφοβημέ-
νος. οὐκ εἰσὶ παρ' ἡμῖν αἱ παρὰ Σικελίαν Σειρῆνες, οὐδὲ τὰ Ὀδυσσέως δεσμά, οὐ
κηρὸς τηκόμενος εἰς ἀνθρώπων ἀκοάς, ἀλλὰ δεσμῶν μὲν ἄνεσις πᾶσα, ἐλευθερία δ'
ἀκοῆς παρ' ἑκάστῳ τῶν προσιόντων. τοιαύτης γὰρ ᾠδῆς ἀκούειν ἄξιον, τοιούτους τοὺς
ᾄδοντας ἔχειν εὐκτέον εἶναί μοι δοκεῖ. εἰ δέ τις καὶ τοῦ τῶν ἀποστόλων χοροῦ ἀκούειν
93 M. ἐθέλοι, εὑρήσει τὴν αὐτὴν τῆς ᾠδῆς συμφωνίαν. οἱ μὲν γὰρ προῇδον μυστικῶς τὴν
θείαν οἰκονομίαν, οἱ δ' ᾄδουσιν ἑρμηνεύοντες τὰ ὑπ' ἐκείνων μυστικῶς ἀπηγγελμένα.
ὢ συμφώνου ἁρμονίας, ὑπὸ θείου πνεύματος συγκειμένης· ὢ καλοῦ τῶν ᾀδόντων τὰ
μυστήρια. τούτοις καὶ συνᾴδειν εὔχομαι. ᾄσωμεν τοιγαροῦν καὶ ἡμεῖς τὴν ὁμοίαν
ᾠδὴν, καὶ τὸν ὕμνον ἀναπέμψωμεν τῷ ἁγίῳ πατρί, πνεύματι δοξάζοντες Ἰησοῦν τὸν
Joann. 1,18. ἐν κόλποις αὐτοῦ. μὴ φύγῃς, ἄνθρωπε, ὕμνον πνευματικόν, μηδὲ ἀπεχθῶς πρὸς τὴν
ἀκρόασιν διατεθῇς. θάνατον οὐκ ἔχει· σωτηρίας ἐστὶ διήγημα ἡ παρ' ἡμῖν ᾠδή. ἐγὼ
μὲν οὖν ἤδη καὶ τῶν κρειττόνων ἀπολαύειν δοκῶ περὶ τοιούτων διαλεγόμενος, καὶ μά-
λιστα ὅτε ὁ τοιοῦτός μοι πάρεστιν ἀνθέων λειμών, τουτέστιν ἡ ὑμετέρα σύνοδος τῶν
ἅμα τε καὶ ἀκουόντων καὶ συνᾳδόντων τὰ θεῖα μυστήρια. ἐφ' ὧν καὶ τὸ λέγειν θαῤ-
Gen. 4,5. ῥῶ ὅτι μοι παντὸς φθόνου καθαρὰς παρέχετε τὰς ἀκοάς, οὐ τὸν ζῆλον τὸν τοῦ Κάϊν
94 M. μιμούμενοι, οὐχ ὁμοίως τῷ Ἠσαῦ διώκοντες τὸν ἀδελφόν, οὐ τοῦ Ἰωσὴφ ἐπαινοῦντες
Gen. 27,41. ἀδελφούς, ὅτι ἐφ' οἷς ἔλεγεν ἐμίσουν τὸν ἀδελφόν, ἀλλὰ τούτων ἁπάντων μακρὸν
Gen. 37,4. ἀφεστῶτες, διόπερ ἕκαστος ὑμῶν τὸ τοῦ πλησίον νομίζει λέγειν. καὶ διὰ τοῦτο ζῆλος
πονηρὸς οὐκ ἔστιν ἐν ὑμῖν, τὰ λείποντα τῷ ἀδελφῷ ἀναπληροῦν δεδεγμένοις. ὢ ἀκροα-
τηρίου καλοῦ καὶ συμποσίου σεμνοῦ καὶ πνευματικῶν ἐδεσμάτων. τοιούτοις ἀεὶ συν-
εῖναι δικαίοις εὔξαιμην.

ΟΥΑΛ. [2] Χθὲς τὸ δειλινὸν περιπατῶν, ὦ φίλε, παρὰ τὸν τῆς θαλάσσης αἰγιαλόν,
καὶ ὀξέως πως ἀτενίζων εἰς αὐτήν, ἑώρων ὑπερβολήν τινα θείας δυνάμεως καὶ σοφῆς
ἐπιστήμης τέχνην, εἴ γε καὶ τέχνην τὸ τοιοῦτο καλεῖν χρή. ὥσπερ γὰρ ὁ Ὁμηρικὸς
Il. 9,4. στίχος φθέγγεται ἐκεῖνος,

ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
Βορέης καὶ Ζέφυρος, τώτε Θρῄκηθεν ἄητον,
ἐλθόντ' ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
95 M. κορθύεται· πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευαν·

1) Prooemium libri primus edidit Jo. Meursius, cuius conf. Variorum divinorum liber unus (Lugd. Bat. 1619.) p. 91 — p. 110. = Opp. ed. Florent. T. VIII. p. 728 — p. 738. Inscriptioni exteriori apud Meursium perperam adiectum est: *Λόγος ά.*

2) *Χθὲς τὸ δειλινὸν ..* (p. 96.) .. *φανερὸν ποιῆσαι τὸν θυμόν.* Allatius Not. in Eustath. Antioch. Hexaëm. p. 45. hunc locum ex mutilo Methodii libro *περὶ τοῦ αὐτεξουσίου*, tunc temporis nondum edito, attulit.

οὕτω μοι καὶ χθὲς γεγονέναι δοκεῖ. κορυφαῖς γὰρ ὀρέων παραπλήσιον ἑώρων κύματα,
καὶ ὡς λόγον εἰπεῖν αὐτοῦ ἐφικνούμενα τοῦ οὐρανοῦ· τὸ δ' ἐντεῦθεν οὐδὲν ἕτερον
προςεδόκων ἢ ἅπασαν ἐπικλυσθήσεσθαι τὴν γῆν, καί μοι φυγῆς ἐν τῷ νοῒ τόπον καὶ
τὴν τοῦ Νῶε ἀνέπλαττον κιβωτόν. τὸ δ' οὐκ ἦν ὃ ἐνόμιζον. ἀλλὰ γὰρ ἅμα κυρτω-
θῆναι τὴν θάλασσαν πάλιν ἀνελύετο εἰς ἑαυτήν, οὐχ ὑπερβαίνουσα τὸν οἰκεῖον τόπον,
ὡς ἔπος εἰπεῖν θεῖόν τι πρόσταγμα πεφοβημένη. καὶ καθάπερ πολλάκις τῶν οἰκετῶν Job. 38, 11.
τις, ἄκων τι πρὸς τοῦ δεσπότου πράττειν ἀναγκαζόμενος, τῷ μὲν προστάγματι διὰ τὸν
φόβον πείθεται, ὃ δὲ πάσχει, πράττειν μὴ θέλων, λέγειν [τι] οὐ τολμᾷ, τονθορύζει
δὲ ἐν ἑαυτῷ, θυμοῦ τινος πληρούμενος· οὕτω μοί πως ἐφαίνετο καὶ τὴν θάλασσαν,
ὡςπερεὶ θυμουμένην καὶ ἐν ἑαυτῇ φράττουσαν τὴν ὀργήν, κρατοῦσάν τε ἑαυτῆς, οὐ 96 M.
βουλομένην τῷ δεσπότῃ φανερὸν ποιῆσαι τὸν θυμόν. ταῦθ' οὕτω γινόμενα σιωπῶν
ἀτενίζειν ἠρχόμην, καὶ τὸν οὐρανὸν καὶ τὸν κύκλον αὐτοῦ τῷ νοῒ καταμετρεῖν ἤθελον,
πόθεν τε ἄρχεται καὶ ποῦ καταπαύει ἀνεζήτουν ἐγώ, ποίαν τε κίνησιν ἔχει, πότερον
τὴν μεταβατικήν, τουτέστι τὴν ἀπὸ τόπου εἰς τόπον, ἢ τὴν κύκλῳ φοράν, πῶς δὲ καὶ
τὴν ἐπίμονον βάσιν ἔχει. ἀλλά μοι καὶ περὶ τοῦ ἡλίου ζητεῖν ἐδόκει, τίς τε ὁ τρόπος
αὐτοῦ τῆς ἐν οὐρανῷ θέσεως, τίς δὲ καὶ ἡ περίοδος τοῦ δρόμου, ποῦ δὲ καὶ μετ'
ὀλίγον χωρεῖ, καὶ ὅτι μηδὲ οὗτος παρέρχεται τὸν οἰκεῖον δρόμον, ἀλλὰ καὶ αὐτός, ὡς
ἔνεστιν εἰπεῖν, ἐντολήν τινα φυλάττει κρείττονος, καὶ φαίνει μὲν τότε παρ' ἡμῖν ὅτε
ἔξεστιν αὐτῷ, ἀπέρχεται δὲ ὡς καλούμενος. καὶ τούτων τοίνυν τὴν ἐξέτασιν ποιούμε-
νος ἑώρων παυόμενον μὲν τὸ τοῦ ἡλίου φέγγος, ἐπιλεῖπον δὲ καὶ τῆς ἡμέρας τὸ φῶς,
εὐθέως δὲ γινόμενον σκότος, καὶ σελήνην διαδεχομένην τὸν ἥλιον, καὶ τὰ μὲν πρῶτα
ἀνιοῦσαν μείονα, μετέπειτα δέ, προκόπτουσαν τῷ δρόμῳ, φαντασίαν παρέχουσαν μείζο- 97 M.
νος. οὐκ ἐπαυόμην δὲ καὶ περὶ ταύτης ζητῶν, καὶ τὴν αἰτίαν τῆς ἀφαιρέσεως καὶ τῆς
προςθέσεως ἀνηρεύνων, ὅτι τε καὶ αὐτὴ τηρεῖ τὸν κύκλον τῶν ἡμερῶν. καί μοι ἐδόκει
τὸ ἐντεῦθεν ὡς θεία τις ὑπάρχει οἰκονομία καὶ δύναμις κρειττόνων ἡ συνέχουσα τὰ
ὅλα, ἣν καὶ θεὸν δικαίως ἂν εἴποιμεν. καὶ τὸ λοιπὸν τὸν δημιουργὸν ἐπαινεῖν ἠρχό-
μην, τήν τε γῆν πεπηγυῖαν ὁρῶν καὶ ζώων διαφορὰς καὶ ποικίλα φυτῶν τὰ ἐξανθή-
ματα. οὐχ ἵστατο δέ μοι ἐπὶ τούτοις καὶ μόνοις ὁ νοῦς, ἀλλὰ τὸ λοιπὸν ὅθεν ταῦτα
τὴν σύστασιν ἔχει ζητεῖν ἠρχόμην, πότερον ἔκ τινος συνόντος ἀεὶ τῷ θεῷ ἢ ἐξ αὐτοῦ
καὶ μόνου, συνυπάρχοντος αὐτῷ οὐδενός. τὸ γὰρ ἐξ οὐκ ὄντος πεποιηκέναι οὐδὲν σκο-
πεῖν μοι καλῶς ἐδόκει, μὴ τέλεον ἀπιθάνου ὑπάρχοντος τοῦ λόγου· τὰ γὰρ γινόμενα
ἐξ ὄντων πέφυκε τὴν σύστασιν ἔχειν. καὶ ὁμοίως ἀληθῶς ἐδόκει μηδὲν λέγειν ἀεὶ 98 M.
συνεῖναι τῷ θεῷ ἕτερόν τι παρ' αὐτόν, ἀλλ' ἐξ αὐτοῦ τὰ ὄντα γεγονέναι· καὶ γάρ
πως ἔπειθέ με τὸ εὔτακτον τῶν στοιχείων καὶ ἡ περὶ αὐτὰ τῆς φύσεως εὐκοσμία. 85
[1] οὑτωσὶ δέ πως εὖ διατεθεῖσθαι νομίζων ἐπὶ τὴν οἰκίαν ἀνεχώρουν τὴν ἐμήν. τῇ δ' O(rig.)
ἐπιούσῃ, τουτέστι σήμερον, ἐλθὼν ἑώρων δύο τινάς (ὁμογενεῖς ἀνθρώπους δὲ λέγω) 86 O.
διαπληκτιζομένους καὶ διαλοιδορουμένους ἀλλήλοις, ἕτερον δ' αὖ πάλιν ἀμφαιματῶσαι
βουλόμενον τὸν πλησίον. ἤδη δέ τινες καὶ δεινότερα τολμᾶν ἤρχοντο. ὃς μὲν γὰρ
ἐσκύλευσε νεκρόν, καὶ τὸ κρυφθὲν ἤδη σῶμα τῇ γῇ πάλιν ἐδείκνυεν ἡλίῳ, καὶ τὴν
ὁμοίαν οὕτως ὕβριζεν εἰκόνα, βορὰν κυσὶ καταλείπων τὸν νεκρόν, τὸ δὲ ξίφος ἐγύμνου
καὶ ἐπὶ τὸν ὅμοιον ἄνθρωπον ἐχώρει. καὶ ὁ μὲν φυγῇ τὴν σωτηρίαν πορίζειν ἤθελεν,
ὁ δὲ διώκων οὐκ ἐπαύετο, οὐδὲ τοῦ θυμοῦ κρατεῖν ἤθελε. καὶ τί δεῖ πλέον λέγειν,
ἀλλ' ὅτι χωρήσας ἐπ' αὐτὸν εὐθέως ἔπαιε τῷ ξίφει; ὁ δ' ἱκέτης τοῦ πλησίον ἐγίνετο 99 M.
καὶ χεῖρας ἱκεσίας ὤρεγε, καὶ τὴν μὲν ἐσθῆτα διδόναι ἤθελε, μόνον δὲ τὸ ζῆν ἔχειν
ἠξίου. ὁ δὲ οὐκ ἐθραύετο τὸν θυμόν, οὐδ' ἠλέει τὸν ὁμογενῆ, οὐδὲ ἑαυτὸν διὰ τῆς
εἰκόνος ἐν ἐκείνῳ βλέπειν ἤθελεν, ἀλλ' ὡς ἄγριος θὴρ τῷ ξίφει τῆς βορᾶς ἤρχετο,
ἤδη δὲ καὶ τὸ στόμα τῷ ὁμοίῳ προσέφερε σώματι· τοσοῦτος γὰρ ἦν τῷ θυμῷ. καὶ
ἦν ἰδεῖν τὸν μὲν ἠδικημένον, τὸν δὲ λοιπὸν σκυλεύοντα καὶ μηδὲ γῇ σκεπάζοντα τὸ
σῶμα, ὃ τῆς ἐσθῆτος ἐγύμνωσε. πρὸς δὲ τούτοις ἕτερος προςῆν, ὃς τοῦ πλησίον γυ- 87 O.
ναῖκα παίζειν ἤθελε, ληστεύων γάμον ἀλλότριον καὶ ἐπὶ παράνομον κοίτην τραπῆναι
παρορμῶν, τὸν γεγαμηκότα γνήσιον πατέρα γίνεσθαι μὴ θέλων. ἐντεῦθεν δὲ ταῖς τρα-
γῳδίαις πιστεύειν ἠρχόμην, καὶ τὸ Θυέστειον δεῖπνον ἀληθῶς ἐδόκει μοι γεγονέναι,
πιστεύειν δὲ καὶ τῇ Οἰνομάου παρανόμῳ ἐπιθυμίᾳ, καὶ τῇ τῶν ἀδελφῶν διὰ ξίφους
φιλονεικίᾳ οὐκ ἀπιστεῖν. τοσούτων τοίνυν καὶ τοιούτων θεατὴς γενόμενος, ἐγὼ [2] πόθεν 100 M.

1) Confer compilatorem Pseudo-Origenem Dial. c. Marcion. IV. p. 85, 27 — p. 89, 9. Wetsten., emendatiorem ap. Grab. Spicil. SS. Patr. T. II. p. 55 — p. 58.

2) Photius Biblioth. cod. 236. p. 304, b. 24—26. Bekk. in initio excerptorum ex Methodii libro *περὶ αὐτεξουσίου* haec usque ad illa: *τοὺς μὲν χαίροντας τούτοις ἀποβάλλεται*, in brevius contracta exhibet. Excerpta apud Photium ita inscribuntur: *ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ περὶ αὐτεξουσίου, τῆς ἴσης καὶ αὐτὸς τυχὼν συντομίας*, quae referuntur ad inscriptionem cod. 235. *ἀνεγνώσθη ἐκ τοῦ ἁγίου μάρτυρος Μεθοδίου καὶ ἐπισκόπου τοῦ περὶ τῶν γενητῶν ἐκλογὴ κατὰ σύνοψιν.*

*ταῦτα ἀναζητεῖν ἠρχόμην, τίς δὲ καὶ ἡ τῆς κινήσεως αὐτῶν ἀρχὴ καὶ τίς ὁ τοσαῦτα κατ'
ἀνθρώπων μηχανησάμενος, πόθεν τε ἡ εὕρεσις αὐτῶν καὶ τίς ὁ τούτων διδάσκαλος.
καὶ τὸν μὲν θεὸν τούτων ποιητὴν λέγειν τολμᾶν οὐχ οἷός τε ἦν, ἀλλὰ μὴν οὐδὲ ἐξ
αὐτοῦ τὴν ὑπόστασιν ἔχειν, οὐδὲ τὴν τοῦ εἶναι σύστασιν. πῶς γὰρ οἷόν τε ἦν ταῦτα
περὶ θεοῦ ἐννοεῖν; ὃς μὲν γάρ ἐστιν ἀγαθὸς καὶ τῶν κρειττόνων ποιητής, τῶν δὲ
φαύλων αὐτῷ πρόςεστιν οὐδέν· ἀλλ' οὐδὲ τοῖς τοιούτοις χαίρειν πέφυκεν, ἀπαγορεύει
δὲ καὶ τὴν γένεσιν αὐτῶν, καὶ τοὺς μὲν χαίροντας τούτοις ἀποβάλλεται, τοὺς δὲ φεύ-
88 O. γοντας αὐτὰ προςίεται. καὶ πῶς οὐκ ἄτοπον ἦν τὸν θεὸν τούτων λέγειν εἶναι δη-
μιουργόν, τὸν ταῦτα παραιτούμενον; οὐδὲ γὰρ ἂν ἐβούλετο μὴ εἶναι αὐτά, εἰ πρῶτος
αὐτῶν ποιητὴς ὑπῆρχεν αὐτός· τοὺς γὰρ προσιόντας αὐτῷ μιμητὰς αὐτοῦ γίνεσθαι θέλει.
101 M. ὅθεν ἄλογον ἔδοξεν εἶναί μοι ταῦτα προςάπτειν τῷ θεῷ, ἢ ὡς ἐξ αὐτοῦ γεγονότα ἢ
(εἰ καὶ τὰ μάλιστα συγχωρῆσαι δεῖ ἐξ οὐκ ὄντων δυνατὸν εἶναί τι γίνεσθαι) ὅτι καὶ
τὰ κακὰ ἐποίησεν αὐτός. ὁ γὰρ ἐκ τοῦ οὐκ εἶναι εἰς τὸ εἶναι ἰέναι αὐτὰ ποιήσας οὐκ
ἂν ἐκ τοῦ εἶναι ἀνῄρει, εἰς τὸ μηκέτι εἶναι αὐτὰ πάλιν. ἢ που ἀνάγκη λέγειν ὡς ἦν
ποτε καιρός, ὅτε τοῖς κακοῖς ἔχαιρεν ὁ θεός, νῦν δὲ οὐκέτι. ὅπερ ἀδύνατον εἶναί μοι
δοκεῖ λέγειν τοῦτο περὶ θεοῦ· ἀνοίκειον γὰρ τῆς φύσεως αὐτοῦ τοῦτο προςαρμόζειν
αὐτῷ. [1] διόπερ ἔδοξέ μοι συνυπάρχειν τι αὐτῷ, ᾧ τοὔνομα ὕλη, ἐξ ἧς τὰ ὄντα ἐδη-
μιούργησεν, τέχνῃ σοφῇ διακρίνας καὶ διακοσμήσας καλῶς· ἐξ ἧς καὶ τὰ κακὰ εἶναι
δοκεῖ. ἀποίου τε γὰρ καὶ ἀσχηματίστου οὔσης αὐτῆς, πρὸς δὲ τούτοις καὶ ἀτάκτως
φερομένης, δεομένης τε τῆς τοῦ θεοῦ τέχνης, οὐκ ἐφθόνησεν οὗτος, οὐδὲ διὰ παντὸς
89 O. κατέλιπεν αὐτὴν οὕτως φέρεσθαι, ἀλλὰ δημιουργεῖν ἤρχετο καὶ ἀπὸ τῶν χειρίστων αὐ-
102 M. τῆς τὰ κάλλιστα διακρίνειν ἤθελε, καὶ οὕτως γοῦν ἐδημιούργησεν ὅσα ἐξ αὐτῆς ἥρμοζε
θεῷ δημιουργεῖν. τὰ δὲ ὅσα αὐτῆς ὡς ἔπος εἰπεῖν τρυγώδη ἐτύγχανε, ταῦτα ἀνάρμο-
στα ὄντα πρὸς δημιουργίαν ὡς εἶχε κατέλιπεν, κατ' οὐδὲν αὐτῷ προςήκοντα· ἐξ ὧν
δοκεῖ μοι νῦν παρὰ ἀνθρώποις ἐπιῤῥεῖν τὰ κακά. [2] οὕτως ἔδοξέ μοι εὖ ἔχειν [3] φρονεῖν.
σὺ δέ, ὦ φίλε, εἴ τινά σοι δοκεῖ μὴ καλῶς εἰρῆσθαι πρὸς ἐμοῦ, ἀναφέρων λέγε· καὶ
γὰρ πάνυ περὶ τούτων ἀκούειν ποθῶ.*

ΟΡΘΟΔ. [4] *Τὴν μὲν προθυμίαν ἀποδέχομαι τὴν σήν, ὦ φίλε, καί σου τὴν περὶ
τὸν λόγον σπουδὴν ἐπαινῶ· ὃ δὲ περὶ τῶν ὄντων οὕτω διετέθης, ὡς ἄρα ἐξ ὑποκει-
μένης τινὸς οὐσίας ταῦτα ἐδημιούργησεν ὁ θεός, οὐ πάνυ τι μέμφομαι. ὡς ἀληθῶς
γὰρ ἡ τῶν κακῶν γένεσις οὕτω τοὺς πολλοὺς διατεθῆναι ποιεῖ. καὶ γὰρ πρὸ σοῦ τε
καὶ ἐμοῦ πολλοί τινες ἄνδρες ἱκανοὶ περὶ τούτου τὴν μεγίστην ζήτησιν ἐποιήσαντο. καὶ
103 M. οἱ μὲν ὁμοίως διετέθησάν σοι, οἱ δ' αὖ πάλιν τὸν θεὸν τούτων δημιουργὸν ἀπεφή-
ναντο, σύγχρονον αὐτῷ ὑπόστασιν δοῦναι πεφοβημένοι· κἀκεῖνοι ἐκ τοῦ φοβηθῆναι τῶν
κακῶν ποιητὴν εἰπεῖν τὸν θεὸν σύγχρονον αὐτῷ δοῦναι τὴν ὕλην ἔδοξαν. καὶ συνέβη
89 O. ἀμφοτέροις ἐκ τοῦ μὴ κατ' ἐπιστήμην τοῦ ἀληθοῦς φοβηθῆναι τὸν θεὸν τὸ μὴ καλῶς
εἰπεῖν. [5] ἕτεροι δὲ τὴν ἀρχὴν καὶ περὶ τοῦ τοιούτου ζητεῖν παρῃτήσαντο, ὡς οὐκ ἔχον-
τος τέλος τοῦ τοιούτου ζητήματος. ἐμὲ δὲ τὰ κοινὰ τῆς πρὸς σὲ φιλίας παραιτεῖσθαι
τὸ ζητούμενον οὐκ ἐᾷ, καὶ μάλιστα ὅτε τὴν προαίρεσιν ἀπαγγέλλεις τὴν σήν, ὡς οὐ
προλήψει κρατούμενος (εἰ καὶ τὰ μάλιστα οὕτω πως ἐξ ὧν ὑπενόησας ἔδοξας ἔχειν τὰ
πράγματα), ἀλλ' ἐν ἐπιθυμίᾳ τῆς τοῦ ἀληθοῦς γνώσεως καθεστάναι λέγεις. ὅθεν
προθύμως κἀγὼ [6] ἐπὶ τὸν τῆς ζητήσεως τραπήσομαι λόγον. βούλομαι δὲ καὶ τουτονὶ
τὸν ἑταῖρον ἀκροατὴν γενέσθαι τῶν ἡμετέρων λόγων· καὶ γὰρ δοκεῖ πως κατά τι περὶ
104 M. τούτων ὁμοίως σοὶ δοξάζειν καὶ αὐτός. διὸ κοινὸν πρὸς ἀμφοτέρους τὸν λόγον ποιεῖ-
σθαι βούλομαι· ἃ γὰρ ἂν εἴποιμι πρὸς σὲ οὕτως ἔχοντα, ταῦτα καὶ πρὸς τοῦτον
ὁμοίως λέξω. εἴ σοι τοίνυν ἀληθῶς περὶ τοῦ κρείττονος λέγειν εὐγνωμόνως δοκῶ, [7] πρὸς
ἕκαστον ἀπόκριναι ὧν ἐρωτῶ· ἐκ γὰρ τούτων γενήσεται καὶ σὲ μὲν τὸ ἀληθὲς μαν-
θάνειν, κἀμὲ δὲ μὴ μάτην τοὺς λόγους ποιεῖσθαι πρὸς σέ.*

*ΟΥΑΛ. Ταῦθ' ἅπερ εἶπας πράττειν ἑτοίμως ἔχω, καὶ διὰ τοῦτο μετὰ πάσης
προθυμίας ἐκεῖνα πυνθάνου, ἐξ ὧνπερ νομίζεις δύνασθαί με τὴν ἐπιστήμην τοῦ κρείτ-
τονος μαθεῖν.* [8] *οὐ γάρ μοι τὸ νικῆσαι πρόκειται κακῶς, ἀλλὰ τὸ ἀληθὲς ἐκμαθεῖν.
ὅθεν ἔχου τὸ λοιπὸν τοῦ λόγου.*

Fabricius Bibl. Gr. ed. Harles. T. X. p. 759. Photii verbis: *ἐκ τοῦ περὶ αὐτεξουσίου*, haec adiicit: *καὶ πόθεν τὰ κακά*, praeter fidem codicum mss., sed ex libri argumento.

1) Photius l. l. p. 304, b. 25—36. haec fere ad verbum exhibet.

2) Hactenus Photius l. c.

3) Hactenus personatus Origenes ll. cc. Idem illa: *τὰ δὲ ὅσα ... ἐπιῤῥεῖν τὰ κακά*, p. 98, 9—13. repetit.

4) Methodium compilare pergit personatus Origenes p. 89, 22. — p. 90, 3.

5) Hactenus Pseudo-Origenes l. c. ad verbum; idem ex proximis orationis flosculos carpsit.

6) Conf. Pseudo-Orig. p. 90, 4. 5.

7) Conf. Pseudo-Orig. p. 90, 5 –9.

8) Hunc quoque orationis flosculum Pseudo-Origenes carpsit p. 89, 20, 21.

ΟΡΘΟΔ. [1]Ὅτι μὲν οὖν ὑπάρχειν ἀδύνατον ἀγένητα δύο ἅμα, οὐδὲ σὲ ἀγνοεῖν νο- 213
μίζω, εἰ καὶ τὰ μάλιστα δοκεῖς προλαβὼν τοῦτο προτεθεικέναι τοῦ λόγου, τὸ πάντως E(useb.)
ἐξ ἀνάγκης τὸ ἕτερον δεῖν λέγειν, ἢ ὅτι κεχώρισται τῆς ὕλης ὁ θεός, ἢ αὖ πάλιν ὅτι Gaisf.
ἀμέριστος αὐτῆς τυγχάνει. εἰ μὲν οὖν ἡνῶσθαί τις αὐτὸν εἰπεῖν ἐθέλοι, ἓν τὸ ἀγένη-
τον λέξει· ἑκάτερον γὰρ τούτων μέρος ἔσται τοῦ πλησίον· ἀλλήλων δὲ μέρη τυγχάνοντα 105 M.
οὐκ ἔσται ἀγένητα δύο, ἀλλ᾽ ἓν ἐκ διαφόρων συνεστός[2]. οὐδὲ γὰρ τὸν ἄνθρωπον 214 E.
ἔχοντα διάφορα μέλη κατακερματίζομεν εἰς πολλὰ γενητά, ἀλλ᾽, ὡς ὁ λόγος ἀπαιτεῖ, 432
ἕν τι γενητὸν τὸν ἄνθρωπον πολυμελὲς πρὸς τοῦ θεοῦ γεγονέναι φαμέν. οὕτως ἀνάγκη, R(outh.)
εἰ μὲν μὴ κεχώρισται τῆς ὕλης ὁ θεός, ἓν τὸ ἀγένητον εἶναι λέγειν. [3]εἰ δὲ κεχωρί-
σθαι φήσει τις, ἀνάγκη εἶναί τι τὸ ἀνὰ μέσον ἀμφοτέρων, ὅπερ καὶ τὸν χωρισμὸν
αὐτῶν δείκνυσιν[4]. ἀδύνατον γὰρ ἐν διαστάσει ἐξετάζεσθαί τι ἀπό τινος, οὐκ ὄντος
ἑτέρου καθ᾽ ὃ ἡ διάστασις ἑκατέρου γίνεται. ὅπερ οὐ μέχρι τούτου ἵσταται καὶ μό-
νον, ἀλλὰ καὶ πλείστων ὅσων· ὃν γὰρ ἐπὶ τῶν δύο ἀγενήτων εἴπομεν λόγον, τοῦτον ἐξ
ἀνάγκης ὁμοίως προχωρεῖ, εἰ τὰ ἀγένητα δοθείη τρία. καὶ γὰρ περὶ τούτων ἐροίμην
ἄν, εἰ κεχώρισται ἀπ᾽ ἀλλήλων ἢ αὖ πάλιν ἕκαστον ἥνωται τῷ πλησίον. εἰ μὲν γὰρ 106 M.
ἡνῶσθαί τις εἰπεῖν ἐθέλοι, τὸν αὐτὸν ἀκούσει τῷ πρώτῳ λόγον· εἰ δ᾽ αὖ πάλιν κεχω- 215 E.
ρίσθαι, οὐ φεύξεται τὴν ἐξ ἀνάγκης τοῦ χωρίζοντος ὑπόστασιν.

[5]Ἂν δ᾽ ἄρα τις καὶ τρίτον εἶναι λέξῃ λόγον ὡς ἁρμόζοντα περὶ τῶν ἀγενήτων λέγε-
σθαι, τουτέστι τὸ μήτε κεχωρίσθαι τὸν θεὸν τῆς ὕλης μήτ᾽ αὖ πάλιν ὡς ἐν μέρει 433 R.
ἡνῶσθαι, εἶναι δὲ καθάπερ ἐν τόπῳ τῇ ὕλῃ τὸν θεὸν ἢ καὶ τὴν ὕλην ἐν τῷ θεῷ, τὸ
συνέχον ἀκουέτω, ὅτι ἐὰν τόπον τοῦ θεοῦ τὴν ὕλην εἴπωμεν, ἐξ ἀνάγκης αὐτὸν καὶ
χωρητὸν λέγειν δεῖ καὶ πρὸς τῆς ὕλης περιγραφόμενον. ἀλλὰ μὴν καὶ ὁμοίως αὐτὸν
τῇ ὕλῃ ἀτάκτως φέρεσθαι[6], μὴ ἵστασθαί τε μηδὲ μένειν αὐτὸν ἐφ᾽ ἑαυτοῦ ἀνάγκη, τοῦ
ἐν ᾧ ἐστὶν ἄλλοτε ἄλλως φερομένου. [7]πρὸς δὲ τούτοις καὶ ἐν χείροσι γεγονέναι τὸν
θεὸν εἰπεῖν ἀνάγκη. εἰ γάρ ποτε ἄκοσμος ἦν ἡ ὕλη, ἐκόσμησε δὲ αὐτήν, εἰς τὸ κρεῖτ- 107 M.
τον τρέψαι προαιρούμενος, ἦν ποτε ὅτ᾽ ἐν ἀκοσμήτοις ἦν ὁ θεός. δικαίως δ᾽ ἂν καὶ
τοῦτο ἐροίμην, πότερον ἐπλήρου τὴν ὕλην ὁ θεὸς ἢ ἐν μέρει τινὶ ὑπῆρχεν αὐτῆς. εἰ
μὲν γὰρ ἐν μέρει τινὶ τῆς ὕλης εἰπεῖν τις ἐθέλοι τὸν θεόν, πλεῖστον ὅσον μικρότερον 216 E.
τῆς ὕλης λέγει, εἴ γε δὴ μέρος αὐτῆς ὅλον ἐχώρησεν αὐτόν· εἰ δὲ ἐν πάσῃ εἶναι λέγοι 434 R.
καὶ δι᾽ ὅλης κεχωρηκέναι τῆς ὕλης, πῶς ταύτην ἐδημιούργει φραστέον. ἀνάγκη γὰρ ἢ
συστολήν τινα τοῦ θεοῦ λέγειν, ἧς γενομένης ἐδημιούργει ἐκεῖνο ἀφ᾽ οὗ ὑπεχώρησεν,
ἢ καὶ ἑαυτὸν τῇ ὕλῃ συνδημιουργεῖν, οὐκ ἔχοντα ὑποχωρήσεως τόπον. εἰ δὲ τὴν ὕλην
ἐν τῷ θεῷ εἶναί τις λέγοι, ὁμοίως ἐξετάζειν δεῖ, πότερον ὡς διισταμένου αὐτοῦ ἀφ᾽
ἑαυτοῦ, καὶ ὥςπερ ἐν ἀέρι ζώων ὑπάρχει γένη, διαιρουμένου καὶ μεριζομένου αὐτοῦ
εἰς ὑποδοχὴν τῶν γινομένων ἐν αὐτῷ, ἢ ὡς ἐν τόπῳ, τουτέστιν ὥςπερ ἐν γῇ ὕδωρ. εἰ 108 M.
μὲν γὰρ εἴποιμεν ὡς ἐν ἀέρι, μεριστὸν ἀνάγκη τὸν θεὸν εἰπεῖν· εἰ δ᾽ ὥςπερ ἐν γῇ
ὕδωρ, ἦν δὲ ἄτακτος ἡ ὕλη καὶ ἀκόσμητος, πρὸς δὲ τούτοις ἔχουσα καὶ κακά, τὸν
θεὸν λέγειν ἀνάγκη τόπον εἶναι ἀκοσμήτων καὶ τῶν κακῶν. ὅπερ οὐκ εὔφημον εἶναί
μοι δοκεῖ, ἐπισφαλὲς δὲ μᾶλλον. ὕλην γὰρ εἶναι θέλεις, ἵνα μὴ τῶν κακῶν ποιητὴν 435 R.
εἴπῃς τὸν θεόν, καὶ τοῦτο φεύγειν προαιρούμενος, δοχεῖον αὐτὸν τῶν κακῶν εἶναι 217 E.
λέγεις[8].

Εἰ μὲν οὖν τὴν ὕλην ἐκ τῶν ὑποστάντων γενητῶν ὑπονοεῖν ἀγένητον ὑπάρχειν ἔλεγες,
πολὺν ἂν περὶ αὐτῆς ἐποιησάμην λόγον εἰς ἀπόδειξιν τοῦ ὅτι ἀδύνατον ὑπάρχειν αὐ-
τὴν ἀγένητον· ἐπεὶ δὲ τὴν τῶν κακῶν γένεσιν αἰτίαν ἔφησθα εἶναι τῆς τοιαύτης ὑπο-
νοίας, διὰ τοῦτο ἐπὶ τὴν ἐξέτασιν τούτων ἔρχεσθαί μοι δοκῶ. φανεροῦ γὰρ γενομένου
τοῦ λόγου καθ᾽ ὃν τρόπον ᾽ἐστὶ τὰ κακά, καὶ ὅτι οὐχ οἷόν τέ ἐστιν ἀναίτιον τῶν
κακῶν εἰπεῖν τὸν θεὸν ἐκ τοῦ ὕλην αὐτῷ ὑποτιθέναι, τὴν τοιαύτην ὑπόνοιαν ἀναιρεῖ-
σθαί μοι δοκεῖ [,ὅτι, εἰ τὰς ποιότητας μὴ οὔσας ἐδημιούργησεν ὁ θεός, καὶ τὰς οὐσίας 109 M.
ὁμοίως].

1) Hic incipit Maximi, qui fertur, fragmentum *περὶ τῆς ὕλης*. Vid. Euseb. P. E. VII. 22. T. II. p. 213—234 Gaisford., Origen. Philocal. cap. 23. p. 377—397 Tarin. et Routh. Reliq. sacr. T. I, p. 431 — p. 451. Ceterum conf. Phot. p. 304, *b*. 37 — p. 305, *a*. 4. et Pseudo-Origen. p. 92, 7—20.
2) Hactenus Pseudo-Origen. l. c.
3) Pseudo-Orig. p. 92, 20—23. hinc pergit ad illa: *τὸν χωρισμὸν αὐτῶν δείκνυσιν*. Idem haec et proxima: *ἀδύνατον .. γίνεται*, p. 91, 27. 28. respexit.
4) Hactenus Phot. l. c. fere ad verbum; idem proxima usque ad illa: *οὐ φεύξεται τὴν ἐξ ἀνάγκης τοῦ χωρίζοντος ἀπόστασιν*, partim amplificata, partim contracta adfert p. 305, *a*. 4 — 10.
5) Conf. Phot. p. 305, *a*. 11—35. et Pseudo-Origen. p. 92, 23—32.
6) Hactenus Pseudo-Origen. l. c. Idem novissima: *ἐξ ἀνάγκης ... μηδὲ μένειν ἐφ᾽ ἑαυτοῦ ἀνάγκη*, p. 94, 32. — p. 95, 2. repetit.
7) Conf. Pseudo-Origen. p. 9?, 32 — p. 94, 30.
8) Hactenus Photius l. c. nonnullis contractis.

[1] Φὴς τοίνυν ἄποιον ὕλην συνυπάρχειν τῷ θεῷ, ἐξ ἧς τὴν τοῦδε τοῦ κόσμου γένεσιν ἐδημιούργησεν; [2]

ΟΥΑΛ. Οὕτω μοι δοκεῖ.

ΟΡΘΟΔ. [3] Οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονε δὲ κόσμος πρὸς τοῦ θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες, τῶν ποιοτήτων γέγονε ποιητὴς ὁ θεός;

ΟΥΑΛ. Οὕτως ἔχει.

436 R. *ΟΡΘΟΔ.* Ἐπεὶ δέ σου καὶ λέγοντος πρόσθεν ἤκουον ὡς ἀδύνατον ἐξ οὐκ ὄντων
218 E. γίνεσθαί τι, πρὸς ἐρώτησιν ἀπόκριναι τὴν ἐμήν· δοκεῖ σοι τὰς τοῦ κόσμου ποιότητας μὴ ἐξ ὑποκειμένων γεγονέναι ποιοτήτων;

ΟΥΑΛ. Δοκεῖ.

ΟΡΘΟΔ. Ἕτερον δέ τι παρὰ τὰς οὐσίας ὑπάρχειν αὐτάς;

ΟΥΑΛ. Οὕτως ἔχει.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ μήτε ἐξ ὑποκειμένων ποιοτήτων τὰς ποιότητας ἐδημιούργησεν ὁ θεός, μήτε ἐκ τῶν οὐσιῶν, τῷ μηδὲ οὐσίας αὐτὰς εἶναι, ἐκ μὴ ὄντων αὐτὰς ὑπὸ
110 M. θεοῦ γεγονέναι ἀνάγκη εἰπεῖν. ὅθεν περιττῶς ἐδόκεις μοι λέγειν ἀδύνατον εἶναι δοξάζειν ἐξ οὐκ ὄντων γεγονέναι τι πρὸς τοῦ θεοῦ [4]. ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ὧδε ἐχέτω. καὶ γὰρ παρ' ἡμῖν θεωροῦμεν ἀνθρώπους ἐξ οὐκ ὄντων ποιοῦντάς τινα, εἰ καὶ τὰ μάλιστα δοκοῦσιν οὗτοι ποιεῖν ἔν τινι. οἷον ἐπὶ τῶν ἀρχιτεκτόνων τὸ παράδειγμα λάβωμεν· καὶ γὰρ οὗτοι ποιοῦσι πόλεις οὐκ ἐκ πόλεων καὶ ναοὺς ὁμοίως οὐκ ἐκ ναῶν [5]. εἰ δ', ὅτι τούτοις οὐσίαι ὑπόκεινται, οἴει ἐξ ὄντων αὐτοὺς ταῦτα ποιεῖν, τῷ
437 R. λόγῳ σφάλλῃ. οὐδὲ γὰρ ἡ οὐσία ἐστὶν ἡ ποιοῦσα τὴν πόλιν ἢ αὖ πάλιν τοὺς ναούς, ἀλλ' ἡ περὶ τὴν οὐσίαν τέχνη· ἡ δὲ τέχνη οὐκ ἐξ ὑποκειμένης τινὸς ἐν ταῖς οὐσίαις
219 E. τέχνης γίνεται, ἀλλ' ἐξ οὐκ οὔσης ἐν αὐταῖς γίνεται. ἀπαντήσειν δέ μοι δοκεῖς οὕτω τῷ λόγῳ, ὅτι ὁ τεχνίτης ἐξ ἧς ἔχει τέχνης τὴν ἐν τῇ οὐσίᾳ τέχνην ποιεῖ. πρὸς δὲ τοῦτο λέγεσθαι τοῦτ' εὖ ἔχειν μοι δοκεῖ, ὅτι οὐδὲ ἐν τῷ ἀνθρώπῳ ἔκ τινος ὑποκειμένης τέχνης γίνεται. οὐ γὰρ ἔνεστιν αὐτὴν ἐφ' ἑαυτῆς οὖσαν δοῦναι τὴν τέχνην· τῶν γὰρ συμβεβηκότων ἐστὶν καὶ τῶν τότε τὸ εἶναι λαμβανόντων, ὁπόταν ἐν οὐσίᾳ τινὶ γένηται. ὁ μὲν γὰρ ἄνθρωπος καὶ χωρὶς τῆς ἀρχιτεκτονικῆς ἔσται· ἡ δ' οὐκ ἔσται, ἐὰν μὴ πρότερον ἄνθρωπος ᾖ. ὅθεν τὰς τέχνας ἐξ οὐκ ὄντων εἰς ἀνθρώπους πεφυκέναι γίνεσθαι λέγειν ἀναγκαῖον. εἰ τοίνυν τοῦτο οὕτως ἔχον ἐπ' ἀνθρώπων ἐδείξαμεν, πῶς οὐχὶ προςῆκε τὸν θεὸν μὴ μόνον ποιότητας ἐξ οὐκ ὄντων φάναι δύνασθαι ποιεῖν, ἀλλὰ καὶ οὐσίας; τῷ γὰρ δυνατὸν φανῆναι γίνεσθαί τι ἐξ οὐκ ὄντων τὸ καὶ τὰς οὐσίας οὕτως ἔχειν δείκνυται [6].

438 R. Ἐπεὶ δὲ πόθος ἐστί σοι περὶ τῆς τῶν κακῶν γενέσεως ζητεῖν, ἐπὶ τὸν τούτων ἐλεύ-
220 E. σομαι λόγον. καί σου βραχέα πυθέσθαι βούλομαι. [7] τὰ κακὰ πότερον οὐσίαι σοι δοκοῦσιν εἶναι ἢ ποιότητες οὐσιῶν;

ΟΥΑΛ. Ποιότητας οὐσιῶν εὖ ἔχειν λέγειν μοι δοκεῖ.

ΟΡΘΟΔ. Ἡ δὲ ὕλη ἄποιος ἦν καὶ ἀσχημάτιστος;

ΟΥΑΛ. Οὕτω προλαβὼν ἐξεῖπον τῷ λόγῳ.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ τὰ κακὰ ποιότητες ὑπάρχουσιν οὐσιῶν, ἡ δὲ ὕλη ἄποιος ἦν, τῶν δὲ ποιοτήτων ποιητὴν εἶπας τὸν θεὸν εἶναι, ἔσται καὶ τῶν κακῶν δημιουργὸς ὁ θεός. ὅτε τοίνυν οὐδ' οὕτως ἀναίτιον τῶν κακῶν δυνατὸν εἰπεῖν τὸν θεόν, ὕλην αὐτῷ προσάπτειν περιττὸν εἶναί μοι δοκεῖ. εἰ δέ τι πρὸς ταῦτα λέγειν ἔχεις, ἄρχου τοῦ λόγου. εἰ μὲν ἐκ φιλονεικίας ἡμῖν ἡ ζήτησις ἐγίνετο, οὐκ ἂν δεύτερον περὶ τῶν κακῶν ἠξίουν ὁρίζεσθαι· ἐπεὶ δὲ φιλίας ἕνεκα μᾶλλον καὶ τῆς πρὸς τὸν πλησίον ὠφελείας τὴν ἐξέτασιν ποιούμεθα τῶν λόγων, ἄνωθεν περὶ τούτων ὁρίζεσθαι ἀξιῶ συγχωρεῖν.

ΟΥΑΛ. Τὴν μὲν προαίρεσιν τὴν ἐμὴν ἐκ πολλοῦ σοι φανερὰν εἶναι δοκῶ καὶ τὴν
439 R. ἐν τοῖς λόγοις σπουδήν, ὅτι οὐ πιθανῶς εἰπὼν ψεῦδος νικῆσαι θέλω, ἀλλὰ δειχθῆναι
221 E. τὴν ἀλήθειαν μετὰ ἀκριβοῦς ἐξετάσεως, καὶ σὲ δὲ οὕτω διακεῖσθαι σαφῶς ἐπίσταμαι· ὅθεν οἵῳ τρόπῳ χρώμενος νομίζεις δύνασθαι τὸ ἀληθὲς εὑρεῖν, τούτῳ χρῆσαι μηδὲν δυσωπούμενος. οὐ γὰρ σεαυτὸν ὠφελήσεις μόνον χρησάμενος τῷ κρείττονι, ἀλλὰ πάντως κἀμὲ περὶ ὧν ἀγνοῶ.

ΟΡΘΟΔ. Σαφῶς παραστῆναί μοι δοκεῖς καὶ τὰ κακὰ οὐσίας ὑπάρχειν τινάς· οὐδὲ γὰρ ἐκτὸς οὐσιῶν αὐτὰ ὄντα βλέπω. ἐπεὶ τοίνυν, ὦ οὗτος, καὶ τὰ κακὰ οὐσίας εἶναι λέγεις,

1) Conf. Phot. p. 305, *a*. 36 — p. 305, *b*. 13.
2) Hactenus Pseudo-Origen. l. c., nonnullis alienis p. 94, 5—7. interiectis.
3) Conf. Pseudo-Origen. p. 95, 2—25.
4) Hactenus Pseudo-Origen. l. c., nonnullis omissis vel leviter immutatis.
5) Hactenus fragmentum Meursianum et Phot. l. c. Pergit Maximus, qui fertur, ll. cc. Proxima ap. Phot. p. 305, *b*. 13—31. exstant.
6) Hactenus Phot. l. c.
7) Conf. Phot. p. 305, *b*. 32—34. usque ad vocem ἀσχημάτιστος.

ἀνάγκῃ τὸν τῆς οὐσίας ἐξετάζειν λόγον. δοκεῖ σοι τὴν οὐσίαν σωματικήν τινα σύστασιν εἶναι;

ΟΥΑΛ. Δοκεῖ.

ΟΡΘΟΔ. Ἡ δὲ σωματικὴ σύστασις αὐτὴ ἐφ' ἑαυτῆς ὑπάρχει οὐ δεομένη τινός, οὗ γενομένου τὸ εἶναι λήψεται;

ΟΥΑΛ. Οὕτως ἔχει.

ΟΡΘΟΔ. Δοκεῖ δέ σοι τὰ κακὰ ἐνεργείας εἶναί τινος;

ΟΥΑΛ. Οὕτω μοι φαίνεται.

ΟΡΘΟΔ. Αἱ δὲ ἐνέργειαι τότε τὸ εἶναι λαμβάνουσιν, ὁπότ' ἂν ὁ ἐνεργῶν παρῇ; 222 E.

ΟΥΑΛ. Οὕτως ἔχει. 440 R.

ΟΡΘΟΔ. Οὐκ ὄντος δὲ τοῦ ἐνεργοῦντος, οὐδ' ὅπερ ἐνεργεῖ ἔσται ποτέ;

ΟΥΑΛ. Οὐκ ἔσται.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ ἡ οὐσία σωματική τίς ἐστι σύστασις, αὕτη δὲ οὐ δεῖταί τινος,
ἐν ᾧ γενομένη τὸ εἶναι λήψεται, τὰ δὲ κακὰ ἐνέργειαι ὑπάρχουσί τινος, αἱ δὲ ἐνέρ-
γειαι δέονταί τινος, ἐν ᾧ γενόμεναι τὸ εἶναι λαμβάνουσιν, οὐκ ἔσονται οὐσίαι τὰ
κακά. εἰ δὲ οὐσίαι τὰ κακά, κακὸν δὲ ὁ φόνος, οὐσία ἔσται ὁ φόνος· ἀλλὰ μὴν
ὁ φόνος ἐνέργεια ὑπάρχει τινός, οὐκ ἔστιν ἄρα οὐσία ὁ φόνος. εἰ δὲ τὰ ἐνεργοῦντα
οὐσίαν εἶναι θέλεις, σύμφημι κἀγώ. οἷον ἄνθρωπος ὁ φονεύς, καθ' ὃν μὲν λόγον
ἄνθρωπός ἐστιν, ὑπάρχει οὐσία· ὃ δὲ ὃν ποιεῖ φόνος οὐκ ἔστιν οὐσία, ἀλλ' ἔργον 223 E.
τῆς οὐσίας. λέγομεν δὲ τὸν ἄνθρωπον ποτὲ μὲν κακὸν διὰ τὸ φονεύειν, ποτὲ δ'
αὖ πάλιν διὰ τὸ εὐεργετεῖν ἀγαθόν. [1] πέπλεκται ἄρα τὰ ὀνόματα ταῦτα τῇ οὐσίᾳ
ἐκ τῶν συμβεβηκότων αὐτῇ, ἅτινα οὐκ ἔστιν αὐτή· οὔτε γὰρ ὁ φόνος ἐστὶν ἡ οὐσία 441 R.
οὔτ' αὖ πάλιν ἡ μοιχεία οὔτε τι τῶν ὁμοίων κακῶν. ἀλλ' ὥσπερ ἀπὸ τῆς γραμμα-
τικῆς ὁ γραμματικὸς λέγεται καὶ ἀπὸ τῆς ῥητορικῆς ὁ ῥήτωρ καὶ ἀπὸ τῆς ἰατρικῆς ὁ
ἰατρός, τῆς οὐσίας οὔτ' ἰατρικῆς οὔσης οὔτε μὴν ῥητορικῆς οὔτε γραμματικῆς, ἀλλ' ἀπὸ
τῶν συμβεβηκότων αὐτῇ τὴν προσηγορίαν λαμβανούσης, ἀφ' ὧν οὕτως ὀνομάζεσθαι
δοκεῖ, οὐδ' ὁπότερον αὐτῶν οὖσα· ὁμοίως μοι φαίνεται καὶ ἀπὸ τῶν δοκούντων εἶναι
κακῶν τὴν οὐσίαν ὄνομα προσλαμβάνειν, οὐδ' ὁπότερον οὖσαν αὐτῶν. [2] καί μοι ὁμοίως
ἐπινόησον, εἴ τινα ἕτερον ἀναπλάττεις ἐν τῷ τῶν νῷ κακῶν τοῖς ἀνθρώποις αἴτιον, ὡς
κἀκεῖνος, καθὸ ἐν τούτοις ἐνεργεῖ καὶ ὑποβάλλει ποιεῖν τὰ κακά, ἔστι καὶ αὐτὸς κακὸς
ἐξ ὧν ποιεῖ. διὰ τοῦτο γὰρ κἀκεῖνος κακὸς εἶναι λέγεται, ὅτι τῶν κακῶν ἐστι ποιη-
τής. ἃ δέ τις ποιεῖ, οὐκ ἔστιν αὐτός, ἀλλ' αἱ ἐνέργειαι αὐτοῦ, ἀφ' ὧν τὴν προσηγο- 224 E.
ρίαν τοῦ κακὸς λέγεσθαι λαμβάνει. εἰ γὰρ αὐτὸν ὑπάρχειν εἴποιμεν ἃ ποιεῖ, ποιεῖ δὲ
φόνους καὶ μοιχείας καὶ κλοπὰς καὶ ὅσα τούτοις ὅμοια, αὐτὸς ἔσται ταῦτα. εἰ δὲ 442 R.
ταῦτ' ἔστιν αὐτός, ταῦτα δ' ὅτε γίνεται τὴν σύστασιν ἔχει, οὐ γινόμενα δὲ καὶ τοῦ
εἶνα παύεται, γίνεται δὲ ταῦτα πρὸς ἀνθρώπων, ἔσονται ἄρα τούτων οἱ ἄνθρωποι
ποιηταί, καὶ τοῦ εἶναι καὶ τοῦ μηκέτ' εἶναι αἴτιοι [3]. εἰ δὲ ταῦτα ἐνεργείας αὐτοῦ φής,
ἐξ ὧν ποιεῖ τὸ κακὸς εἶναι ἔχει, οὐκ ἐξ ὧν ἔστιν ἡ οὐσία. κακὸν δὲ εἴπομεν λέγε-
σθαι ἀπὸ τῶν συμβεβηκότων τῇ οὐσίᾳ, ἅτινα οὐκ ἔστιν ἡ οὐσία, ὡς ἀπὸ τῆς ἰατρικῆς
ὁ ἰατρός. [4] εἰ δὲ ἐξ ὧν ἐνεργεῖ ἕκαστος ὑπάρχει κακός, ἃ δὲ ἐνεργεῖ ἀρχὴν τοῦ εἶναι
λαμβάνει, ἤρξατο κἀκεῖνος εἶναι κακός, ἤρξατο δὲ καὶ ταυτὶ τὰ κακά. εἰ δὲ οὕτως
ἔχει, οὐκ ἔσται ἀνάρχως κακός, οὐδὲ ἀγένητα τὰ κακά, τῷ γενητὰ πρὸς αὐτοῦ εἶναι
φάναι [5].

ΕΤΑΙΡΟΣ. Τὸν μὲν πρὸς τὸν ἑταῖρον, ὦ φίλε, λόγον ἱκανῶς μοι πεποιηκέναι
δοκεῖς· ἐξ ὧν γὰρ προὔλαβε τῷ λόγῳ, ἐκ τούτων συνάγειν ἔδοξας καλῶς. ὡς ἀλη-
θῶς γάρ, εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, τῶν δὲ ποιοτήτων δημιουργὸς ὑπάρχει ὁ θεός, 225 E.
ποιότητες δὲ τὰ κακά, τῶν κακῶν ἔσται ποιητὴς ὁ θεός. οὗτος μὲν οὖν ὁ λόγος 443 R.
πρὸς ἐκεῖνον εἰρήσθω καλῶς, ἐμοὶ δὲ ψεῦδος δοκεῖ τὴν ὕλην ἄποιον εἶναι λέγειν·
οὐδὲ γὰρ ἔνεστιν εἰπεῖν περὶ ἡστινοσοῦν οὐσίας ὡς ἔστιν ἄποιος. καὶ γὰρ ἐν ᾧ
ἄποιον εἶναι λέγει, τὴν ποιότητα αὐτῆς μηνύει, ὁποία ἐστὶν ἡ ὕλη διαγραφόμενος,
ὅπερ ἐστὶ ποιότητος εἶδος. ὅθεν, εἴ σοι φίλον ἐστίν, ἄνωθεν ἄρχου πρὸς ἐμὲ τοῦ
λόγου. [6] ἐμοὶ γὰρ ἡ ὕλη ἀνάρχως ποιότητας ἔχειν δοκεῖ· οὕτως γὰρ καὶ τὰ κακὰ ἐκ
τῆς ἀποῤῥοίας αὐτῆς εἶναι λέγω [7], ἵνα τῶν κακῶν ὁ μὲν θεὸς ἀναίτιος ᾖ, τούτων δὲ
ἁπάντων ἡ ὕλη αἰτία.

1) Conf. Pseudo-Origen. p. 100, 16. — p. 101, 19. et Phot. p. 305, *b*. 3. — p. 306, *a*. 1, apud quem haec: *πέπλεκται ... συμβεβηκότων αὐτῇ*, ad verbum expressa, proxima circumscripta reperiuntur.
2) Conf. Phot. p. 306, *a*. 1—13.
3) Hactenus Photius l. c.
4) Cf. Phot. p. 306, *a*. 13—30.
5) Hactenus Pseudo-Origen. l. c.
6) Haec: *ἐμοὶ ... ἡ ὕλη αἰτία*, delibavit Pseudo-Origen. p. 95, 31—36.
7) Hactenus Phot. l. c.

ΟΡΘΟΔ. Τὴν μὲν προθυμίαν τὴν σὴν ἀποδέχομαι, ὦ φίλε, καί σου τὴν ἐν τοῖς
λόγοις σπουδὴν ἐπαινῶ. προςῆκε γὰρ ὡς ἀληθῶς ἕκαστον τῶν φιλομαθῶν μὴ ἁπλῶς
καὶ ὡς ἔτυχε συγκατατίθεσθαι τοῖς λεγομένοις, ἀλλ' ἀκριβῆ ποιεῖσθαι τὴν ἐξέτασιν
τῶν λόγων. οὐδὲ γὰρ εἰ ὁ προςζητῶν παρὰ λόγον ὁρισάμενος ἀφορμὴν παρέσχε τῷ
226 E. προςδιαλεγομένῳ συνάγειν ὡς ἐθέλει, τοῦτο καὶ τὴν ἀκροατὴν πείσει, ἀλλ' εἴ τι δο-
444 R. κεῖ δυνατὸν εἶναι λέγεσθαι καλῶς, τοῦτο λέξει· παρ' ὧν δυοῖν θάτερον ἔσται· ἢ γὰρ
καὶ πρὸς ὃ κινεῖσθαι δοκεῖ ἀκούσας τέλεον ὠφεληθήσεται, ἢ τὸν προςδιαλεγόμενον
ἐλέγξει οὐ τἀληθῆ λέγοντα.

Οὐ δοκεῖς δέ μοι δεόντως εἰρηκέναι τὴν ὕλην ἄνωθεν ποιότητας ἔχειν. [1] εἰ γὰρ
τοῦθ' οὕτως ἔχει, τίνος ἄρα ἔσται ποιητὴς ὁ θεός; εἴτε γὰρ οὐσίας ἐροῦμεν, προεῖ-
ναι ταύτας φαμέν· εἴτ' αὖ πάλιν ποιότητας, καὶ ταύτας ὑπάρχειν. [2] οὐκοῦν οὐσίας
τε οὔσης καὶ ποιοτήτων περιττὸν εἶναί μοι δοκεῖ δημιουργὸν λέγειν τὸν θεόν. ἵνα
δὲ μὴ ἐμαυτῷ κατασκευάζειν τινὰ δόξω λόγον, [3] ἀπόκριναι νῦν ἐρωτώμενος, [4] τίνι
τρόπῳ δημιουργὸν εἶναι φῂς τὸν θεόν; πότερον ὅτι τὰς οὐσίας ἔτρεψεν εἰς τὸ μη-
κέθ' ὑπάρχειν ἐκείνας, αἵπερ ἦσάν ποτε, ἀλλ' ἑτέρας παρ' αὐτὰς γενέσθαι, ἢ ὅτι τὰς
μὲν οὐσίας ἐφύλαξεν ἐκείνας, αἵπερ ἦσαν πρὸ τούτου, τὰς δὲ ποιότητας ἔτρεψεν
227 E. αὐτῶν;

445 R. *ΕΤΑΙΡ.* Οὔ τι μοι δοκεῖ ἀλλαγήν τινα οὐσιῶν γεγονέναι· καὶ γὰρ ἄτοπον τοῦτο
λέγειν μοι φαίνεται· τροπὴν δέ τινα τῶν ποιοτήτων γεγονέναι φημί, καθ' ἃς δημιουρ-
γὸν εἶναι λέγω τὸν θεόν. καὶ ὥςπερ εἰ τύχοι λέγειν ἐκ λίθων οἰκίαν γεγονέναι, ἐφ'
ὧν οὐκ ἔστιν εἰπεῖν ὡς οὐκέτι λίθοι μένουσι τῇ οὐσίᾳ, οἰκία γενόμενοι οἱ λίθοι (τῇ
γὰρ ποιότητι τῆς συνθέσεως τὴν οἰκίαν γεγονέναι φημί, τραπείσης δηλονότι τῆς προ-
τέρας τῶν λίθων ποιότητος)· οὕτω μοὶ δοκεῖ καὶ τὸν θεόν, ὑπομενούσης τῆς οὐσίας,
τροπήν τινα τῶν ποιατήτων αὐτῆς πεποιηκέναι, καθ' ἣν τὴν τοῦδε τοῦ κόσμου γένε-
σιν πρὸς τοῦ θεοῦ γεγονέναι λέγω [5].

ΟΡΘΟΔ. Ἐπεὶ τοίνυν τροπήν τινα τῶν ποιοτήτων πρὸς τοῦ θεοῦ γεγονέναι
φῄς, ἀπόκριναί μοι βραχέα πυθέσθαι προαιρουμένῳ. [6] λέγε δή, εἰ ὁμοίως καὶ σοὶ
δοκεῖ τὰ κακὰ ποιότητας εἶναι τῶν οὐσιῶν;

228 E. *ΕΤΑΙΡ.* Δοκεῖ.

ΟΡΘΟΔ. Ἄνωθεν δὲ ἦσαν αἱ ποιότητες αὗται ἐν τῇ ὕλῃ, ἢ ἀρχὴν ἔσχον τοῦ
εἶναι;

ΕΤΑΙΡ. Συνεῖναί φημι ἀγενήτως τῇ ὕλῃ ταυτασὶ τὰς ποιότητας.

446 R. *ΟΡΘΟΔ.* Οὐχὶ δὲ τὸν θεὸν φῂς τροπήν τινα τῶν ποιοτήτων πεποιηκέναι;

ΕΤΑΙΡ. Τοῦτό φημι.

ΟΡΘΟΔ. Πότερον οὖν εἰς τὸ κρεῖττον ἢ εἰς τὸ χεῖρον;

ΕΤΑΙΡ. Εἰς τὸ κρεῖττον λέγειν μοι δοκεῖ.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ ποιότητες τῆς ὕλης τὰ κακά, τὰς δὲ ποιότητας αὐτῆς εἰς τὸ
κρεῖττον ἔτρεψεν ὁ θεός, πόθεν τὰ κακὰ ζητεῖν ἀνάγκη. οὐ γὰρ ἔμειναν αἱ ποιότη-
τες ὁποῖαί ποτ' ἦσαν τῇ φύσει. ἤ, εἰ μὲν πρότερον οὐκ ἦσαν ποιότητες κακαί, ἐκ
δὲ τοῦ τραπῆναι πρὸς τοῦ θεοῦ τὰς πρώτας τοιαύτας περὶ τὴν ὕλην γεγονέναι [7] ποιό-
τητας φῄς, αἴτιος ἔσται τῶν κακῶν ὁ θεός, τρέψας τὰς οὐκ οὔσας ποιότητας κακὰς εἰς
τὸ εἶναι κακάς· ἢ τὰς μὲν κακὰς ποιότητας εἰς τὸ κρεῖττον οὐ δοκεῖ σοι τρέψαι τὸν
229 E. θεόν, τὰς δὲ λοιπὰς καὶ μόνας, ὅσαι ἀδιάφοροι ἐτύγχανον, τῆς διακοσμήσεως ἕνεκα
πρὸς τοῦ θεοῦ τετράφθαι λέγεις;

ΕΤΑΙΡ. Οὕτως ἄνωθεν εἶχον ἐγώ.

ΟΡΘΟΔ. Πῶς τοίνυν αὐτὸν τὰς τῶν φαύλων ποιότητας ὡς εἶχον καταλελοιπέναι
447 R. λέγεις; [8] πότερον δυνάμενον μὲν κἀκείνας ἀνελεῖν, μὴ βουληθέντα δέ, ἢ τὸ δύνασθαι
μὴ ἔχοντα; εἰ μὲν γὰρ δυνάμενον λέξεις, μὴ βουληθέντα δέ, αὐτὸν αἴτιον τούτων
εἰπεῖν ἀνάγκη, ὅτι δυνάμενος ποιῆσαι μὴ εἶναι κακὰ συνεχώρησεν αὐτὰ μένειν ὡς
ἦν, καὶ μάλιστα ὅτε δημιουργεῖν τὴν ὕλην ἤρξατο. εἰ γὰρ μηδ' ὅλως ἔμελεν αὐτῷ
τῆς ὕλης, οὐκ ἂν αἴτιος ἦν ὧν συνεχώρει μένειν· ἐπεὶ δὲ μέρος μέν τι αὐτῆς ἐδη-
μιούργει, μέρος δέ τι οὕτως εἴα, δυνάμενος κἀκεῖνα τρέπειν εἰς τὸ κρεῖττον, αἰτίαν
ὀφλισκάνειν ἄξιος εἶναί μοι δοκεῖ, καταλιπὼν μέρος ὕλης εἶναι πονηρὸν ἐπ' ὀλέθρῳ
οὗ ἐδημιούργησε μέρους. ἀλλὰ μὴν καὶ τὰ μέγιστα κατὰ τοῦτο τὸ μέρος ἠδικῆσθαί

1) Cf. Phot. p. 306, *a*. 30—36. usque ad illa: *λέγειν τὸν θεόν*.
2) Hinc nonnihil hausit Pseudo-Origen. p. 96, 19—21.
3) Cf. Phot. p. 306, *a*. 36. — p. 306, *b*. 8.
4) Methodium porro compilat Pseudo-Origenes p. 96, 28. — p. 98, 3.
5) Hactenus Photius l. c.
6) Cf. Phot. p. 306, *b*. 9—35. ubi nonnulla in brevius contracta.
7) Hactenus Pseudo-Origenes l. c. omissa parenthesi: *τῇ γὰρ ποιότητι ... λίθων ποιότητος*.
8) Pseudo-Origenes Methodium compilare pergit p. 98, 21. — p. 99, 29.

μοι δοκεῖ, τοῦθ᾽ ὅπερ κατεσκεύασε τῆς ὕλης μέρος ἀντιλαμβανόμενον τανῦν τῶν κα-
κῶν[1]. εἰ γάρ τις ἐξετάζοι ἐπ᾽ ἀκριβὲς τὰ πράγματα, χαλεπώτερον νῦν εὑρήσει τὴν 230 E.
ὕλην πεπονθυῖαν τῆς προτέρας ἀκοσμίας. [2]πρὶν γὰρ αὐτὴν διακριθῆναι τὸ μηδὲ αἰ-
σθέσθαι τῶν κακῶν παρῆν αὐτῇ· νυνὶ δὲ ἕκαστον τῶν μερῶν αὐτῆς αἴσθησιν λαμ- 448 R.
βάνει τῶν κακῶν. καί μοι ἐπ᾽ ἀνθρώπου τὸ παράδειγμα λάβε. πρὶν γὰρ εἰκονισθῇ
καὶ ζῶον γένηται τῇ τοῦ δημιούργου τέχνῃ, τὸ μηδὲ ἑνὸς ἀντιλαμβάνεσθαι τῶν κακῶν
παρὰ τῆς φύσεως εἶχεν· ἀφ᾽ οὗ δὲ πρὸς τοῦ θεοῦ ἄνθρωπος γίνεται, καὶ τὴν αἴσθη-
σιν τοῦ προςπελάζοντος κακοῦ προςλαμβάνει. καὶ τοῦθ᾽, ὅπερ ἐπὶ εὐεργεσίᾳ τῆς ὕλης
πρὸς τοῦ θεοῦ γεγονέναι λέγεις, εὑρίσκεται μᾶλλον ἐπὶ τῷ χείρονι προςγενόμενον
αὐτῇ. εἰ δ᾽ ἐκ τοῦ μὴ δύνασθαι τὸν θεὸν ἀνελεῖν τὰ κακὰ τὸ μὴ πεπαῦσθαι λέγεις,
ἀδύνατον τὸν θεὸν φήσεις ὑπάρχειν. τὸ δὲ ἀδύνατον ἤτοι τῷ φύσει ἀσθενῆ ὑπάρχειν
αὐτὸν ἔσται, ἢ τῷ νικᾶσθαι τῷ φόβῳ δεδουλωμένον πρός τινος κρείττονος. εἰ μὲν
οὖν τὸν θεὸν φύσει ἀσθενῆ ὄντα τολμήσεις εἰπεῖν, περὶ τῆς σωτηρίας αὐτῆς κινδυ-
νεύειν μοι δοκεῖς· εἰ δὲ τῷ νικᾶσθαι φόβῳ πρός του μείζονος, μείζονα ἔσται τοῦ 231 E.
θεοῦ τὰ κακά, νικῶντα τῆς προαιρέσεως αὐτοῦ τὴν ὁρμήν· ὅπερ ἄτοπον εἶναί μοι
λέγειν περὶ θεοῦ δοκεῖ[3]. διὰ τί γὰρ οὐχὶ μᾶλλον ταῦτ᾽ ἔσονται θεοί, νικᾶν κατὰ
τὸν λόγον τὸν σὸν δυνάμενα τὸν θεόν, εἴπερ θεὸν ἐκεῖνό φαμεν, ὃ τὴν ἁπάντων 449 R.
ἐξουσίαν ἔχει;

[4]*Βραχέα δέ σου καὶ περὶ τῆς ὕλης αὐτῆς πυθέσθαι βούλομαι· καί μοι φέρων
λέγε, πότερον ἁπλῆ τις ἦν ἡ ὕλη ἢ σύνθετος; ἡ γὰρ διαφορὰ τῶν γεγονότων εἰς
τοιαύτην με περιίστησιν ἐξέτασιν τοῦδε τοῦ λόγου. εἰ γὰρ ἁπλῆ τις ἐτύγχανεν ἡ ὕλη
καὶ μονοειδής, σύνθετος δὲ ὁ κόσμος καὶ ἐκ διαφόρων οὐσιῶν τε καὶ κράσεων τὴν
σύστασιν ἔχει, ἀδύνατον τοῦτον ἐξ ὕλης γεγονέναι λέγειν, τῷ τὰ σύνθετα μὴ οἷόν τε
ἐξ ἑνὸς ἀποίου τὴν σύστασιν ἔχειν· τὸ γὰρ σύνθετον ἁπλῶν τινων μίξιν μηνύει. εἰ
δ᾽ αὖ πάλιν τὴν ὕλην σύνθετον λέγειν ἐθέλοις, πάντως ἐξ ἁπλῶν τινων συντεθεῖσθαι
φήσεις. εἰ δὲ ἐξ ἁπλῶν συνετέθη, ἦν ποτε καθ᾽ ἑαυτὰ τὰ ἁπλᾶ, ὧν συντεθέντων
γέγονεν ἡ ὕλη, ἐξ οὗπερ καὶ γενητὴ οὖσα δείκνυται. εἰ γὰρ σύνθετος ἡ ὕλη, τὰ δὲ 232 E.
σύνθετα ἐξ ἁπλῶν τὴν σύστασιν ἔχει, ἦν ποτε καιρὸς ὅτε ἡ ὕλη οὐκ ἦν, τουτέστι
πρὶν τὰ ἁπλᾶ συνελθεῖν. εἰ δὲ ἦν ποτε καιρὸς ὅτε ἡ ὕλη οὐκ ἦν, οὐκ ἦν δέ ποτε καιρὸς 450 R.
ὅτε τὸ ἀγένητον οὐκ ἦν, οὐκ ἄρα ἔσται ἀγένητος ἡ ὕλη. τὸ δ᾽ ἐντεῦθεν ἄρα ἔσται
πολλὰ τὰ ἀγένητα. εἰ γὰρ ἦν ἀγένητος ὁ θεός, ἦν δὲ ἀγένητα καὶ τὰ ἁπλᾶ ἐξ ὧν
ἡ ὕλη συνετέθη, οὐκ ἔσται ἄρα δύο καὶ μόνα τὰ ἀγένητα, ἵνα παρήσω τὸ ἐπιζητῆσαι
τί ὄντα ἐστὶν ἁπλᾶ, ὕλη ἢ εἶδος· πολλὰ γὰρ καὶ οὕτως ἄτοπα ἀκολουθήσειαν. δο-
κεῖ δέ σοι μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντικεῖσθαι;*

ΕΤΑΙΡ. *Δοκεῖ.*

ΟΡΘΟΔ. *Ἀντίκειται δὲ τῷ πυρὶ τὸ ὕδωρ;*

ΕΤΑΙΡ. *Ἀντικεῖσθαί μοι φαίνεται.*

ΟΡΘΟΔ. *Ὁμοίως δὲ καὶ τῷ φωτὶ τὸ σκότος καὶ τῷ ψυχρῷ τὸ θερμόν, πρὸς δὲ τούτοις καὶ τῷ ξηρῷ τὸ ὑγρόν;*

ΕΤΑΙΡ. *Οὕτως ἔχειν μοι δοκεῖ.*

ΟΡΘΟΔ. *Οὐκοῦν εἰ μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντίκειται, οὐκ ἔσονται ὕλη μία, οὐδὲ μὴν ἐξ ὕλης μιᾶς. ὅμοιον δέ τινα τούτῳ λόγον πάλιν πυθέσθαι σου βούλομαι. δοκεῖ σοι τὰ μέρη μὴ ἀναιρετικὰ τυγχάνειν ἀλλήλων;*

ΕΤΑΙΡ. *Δοκεῖ.* 233 E.

ΟΡΘΟΔ. *Εἶναι δὲ τῆς ὕλης μέρη τό τε πῦρ καὶ τὸ ὕδωρ, ὡςαύτως δὲ καὶ τὰ λοιπά;*

ΕΤΑΙΡ. *Οὕτως ἔχει.*

ΟΡΘΟΔ. *Τί δέ; οὐ δοκεῖ σοι ἀνατρεπτικὸν μὲν εἶναι τοῦ πυρὸς τὸ ὕδωρ, τοῦ 451 R.
δὲ σκότους τὸ φῶς, καὶ τἆλλα ὅσα τούτοις παραπλήσια;*

ΕΤΑΙΡ. *Δοκεῖ.*

ΟΡΘΟΔ. *Οὐκοῦν εἰ τὰ μέρη οὐκ ἔστιν ἀλλήλων ἀναιρετικά, τὰ δὲ ὕλης μέρη ἀναιρετικὰ ἀλλήλων ἐστίν, οὐκ ἄρα ἔσται ἀλλήλων μέρη· εἰ δὲ οὐκ ἔστιν ἀλλήλων μέρη, οὐκ ἔσονται ὕλης μιᾶς. ἀλλὰ μὴν οὐδ᾽ αὐτὰ ἔσονται ὕλη, τῷ μηδέν τι τῶν ὄντων αὐτὸ ἑαυτοῦ ἀναιρετικὸν ὑπάρχειν κατὰ τὸν τοῦ ἀντικειμένου λόγον. οὐδὲ γάρ ἐστί τι αὐτῷ ἀντικείμενον· τὰ γὰρ ἀντικείμενα ἑτέροις ἀντικεῖσθαι πέφυκεν. οἷον τὸ*

1) Hactenus Photius l. c.
2) Cf. Phot. p. 306, *b*. 36. — p. 207, *a*. 9.
3) Hactenus Photius l. c., nonnullis contractis.
4) Hactenus Pseudo-Origenes i. c, omissis illis: *καί μοι ἐπ᾽ ἀνθρώπου ... τοῦ προςπελάζοντος κακοῦ προςλαμβάνει.* Continuantur excerpta ap. Phot. p. 307, *a*. 10. — p. 307, *b*. 4. nonnullis omissis vel contractis.

λευκὸν αὐτὸ ἑαυτῷ οὐκ ἀντίκειται, πρὸς δὲ τὸ μέλαν ἀντικείμενον λέγεται· καὶ τὸ φῶς ὁμοίως ἑαυτῷ μὴ ἀντικεῖσθαι δείκνυται, πρὸς δὲ τὸ σκότος οὕτως ἔχον φαίνεται, καὶ
234 E. ἄλλα γοῦν ὁμοίως πλεῖστα ὅσα. εἰ τοίνυν καὶ ὕλη μία τις ἦν, οὐκ ἂν αὐτὴ αὑτῇ ἀντέκειτο. οὕτω δὲ τῶν ἀντικειμένων ἐχόντων τὸ μὴ εἶναι τὴν ὕλην δείκνυται [1].

Περὶ μὲν τῆς ὕλης αὐτάρκως ἔχει· ἐπὶ δὲ τὴν τῶν κακῶν ἐξέτασιν ἔρχεσθαι δεῖ καὶ ἀναγκαίως ἀναζητεῖν τὰ παρὰ ἀνθρώποις. τὰ παρ' ἀνθρώποις κακὰ πότερον εἴδη τυγχάνει κακοῦ ἢ μέρη; εἰ γὰρ εἴδη, οὐκ ἄρα ἔσται ἕτερον παρὰ ταῦτα τὸ κακὸν καθ' αὑτὸ τῷ τὰ γένη ἐν τοῖς εἴδεσιν ἐξετάζεσθαι καὶ ὑφεστάναι. εἰ δὲ τοῦτο, γενητὸν ἄρα ἔσται τὸ κακόν· τὰ γὰρ εἴδη γενητὰ ὄντα δείκνυται, οἷον φόνος καὶ μοιχεία καὶ τὰ τούτοις παραπλήσια. εἰ δὲ μέρη τινὸς κακοῦ ταῦτα εἶναι ἐθέλοις, ἔστι δὲ ταῦτα γενητά, ἀνάγκη κἀκεῖνο γενητὸν ὑπάρχειν. ὧν γὰρ τὰ μέρη γενητά, ταῦτα ὁμοίως ἐξ ἀνάγκης ἐστὶ γενητά· τὸ γὰρ ὅλον ἐκ μερῶν συνέστηκε. καὶ τὸ μὲν ὅλον οὐκ ἔσται μὴ ὄντων μερῶν, ἔσται δέ τινα τῶν μερῶν, κἂν μὴ τὸ ὅλον παρῇ. οὐδενὸς δὲ τῶν ὄντων μέρος μέν ἐστι γενητόν, μέρος δὲ ἀγένητον. εἰ δὲ καὶ τοῦτο συγχωρήσαιμι τῷ λόγῳ, ἦν ποτε τὸ κακὸν, ὅτε ὁλόκληρον οὐκ ἦν, τουτέστι πρὶν δημιουργῆσαι τὴν ὕλην τὸν θεόν. τότε δὲ ὁλόκληρον γίνεται, ὅτε πρὸς θεοῦ γέγονεν ἄνθρωπος· τῶν γὰρ μερῶν τοῦ κακοῦ ἄνθρωπος ὑπάρχει ποιητής. καὶ τὸ ἐντεῦθεν ὁλόκληρον εἶναι τὸ κακὸν αἴτιος ἔσται δημιουργήσας ὁ θεός, ὅπερ ἀσεβές. εἰ δ' οὐδ' ὁπότερον τούτων λέγεις τὸ κακόν, πρᾶξιν δέ τινος κακοῦ εἶναι λέγεις, γενητὸν αὐτὸ ὑπάρχειν μηνύεις· ἡ γὰρ τοῦ τινὸς πρᾶξις ἀρχὴν τοῦ εἶναι λαμβάνει. πρὸς δὴ τούτοις οὐδὲν ἕτερον παρὰ ταῦτα τὸ κακὸν εἰπεῖν ἔχεις. ποίαν γὰρ πρᾶξιν κακὴν ἑτέραν παρὰ τὸ ἐν ἀνθρώποις δεικνύειν ἔχεις; ὅτι γὰρ ὁ ἐνεργῶν οὐ κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχει κακία, ἀλλὰ κατ' αὐτὸ τὸ ἐνεργεῖν τὸ κακὸν ἤδη δέδεικται [2].

Ὅτι τῇ φύσει κακὸν οὐδέν ἐστιν, ἀλλὰ τῇ χρήσει γίνεται κακὰ τὰ κακά [3].

[4] *Πρὸς μὲν τοῦ θεοῦ τοὺς ἀνθρώπους κακοὺς γεγονέναι οὔτι μοι δοκεῖ λέγειν· αὐτεξούσιον δὲ τὸν πρῶτον ἄνθρωπον γεγονέναι λέγω, τουτέστιν ἐλεύθερον, ἀφ' οὗ καὶ οἱ διάδοχοι τοῦ γένους τὴν ὁμοίαν ἐλευθερίαν ἐκληρώσαντο. φημὶ τοιγαροῦν ἐλεύθερον γεγονέναι τὸν ἄνθρωπον, δουλεύοντα δὲ αὐτὸν οὐ βούλομαι· τοῦτο γὰρ*

1) Hactenus ficti Maximi fragmentum *περὶ τῆς ὕλης* et Phot. l. c. Pergit Photius p. 307, *b.* 5—36.

2) Ad redintegrandum dialogi tenorem hoc loco interruptum nihil confert Pseudo-Origenes, quippe qui p. 100, 16 — p. 101, 19, uti supra vidimus, post Methodiana vel, si Diis placet, Maximiana ap. Euseb. p. 229, 8 — p. 231, 6. (ap. Pseudo-Orig. p. 98, 21 — p. 99, 29.) ex parte saltem eam Methodii disputationem intulerit, quae ap. Euseb. p. 222, 7 — p. 224, 34. exstat et h. l. interlocutoris verbis: *ὅτι γὰρ ὁ ἐνεργῶν ... ἤδη δέδεικται*, respicitur.

3) Hactenus Photius l. c. Methodii disputationem, cuius summa novissimo apud Photium excerpto inest, integram hoc loco refero ex Pseudo-Origene, qui Adamantium Orthodoxo substitutum haec loquentem facit p. 101, 25 — p. 103, 3. *ΑΔΑΜ. Ἐγὼ πρῶτον τῇ φύσει οὐδὲν φαῦλον λέγω, τῷ δὲ τῆς χρήσεως* (vulg. *φύσεως*) *τρόπῳ κακὸν εἶναι λέγεσθαι. τὸ γὰρ τῆς μοιχείας ὄνομα κοινωνίας ἐστὶν ἀνδρὸς καὶ γυναικὸς σημαντικόν· ἀλλ' ἐὰν κοινωνῇ τις τῇ γυναικὶ παιδοποιίας ἕνεκα καὶ τῆς τοῦ γένους διαδοχῆς, ἀγαθή τις ἡ κοινωνία γίνεται. εἰ δέ τις καταλιπὼν τὴν νόμιμον κοινωνίαν* (p. 102) *ἐνυβρίζοι γάμοις ἀλλοτρίοις, λίαν ἔργον πράττει κακόν, καὶ ἡ μὲν κοινωνία ἡ αὐτή, ὁ δὲ τῆς χρήσεως τρόπος οὐχ ὅμοιος. καὶ ἐπὶ τῆς πορνείας δὲ ὁ αὐτὸς λόγος. ἡ κοινωνία τοίνυν χωρὶς τοῦ τρόπου τῆς χρήσεως ἐξεταζομένη κακὸν οὐκ ἔστιν, τότε δὲ γίνεται κακόν, ὁπότε ὁ τρόπος ἔσται σαφής. ἀλλὰ καὶ τὸν φόνον ὁμοίως ἔχειν φημί. ἐὰν γάρ τις τὸν ἐπὶ μοιχείᾳ ληφθέντα κτεῖναι θέλῃ, δίκας ὧν ἐτόλμησεν ἀπαιτῶν, κακὸν οὐκ ἐργάζεται. ἐὰν τις δὲ τὸν μηδέν τι τῶν ἀπηγορευμένων πεποιηκότα ἀναιρήσῃ οὐδενὸς ἀλλ' ἢ προφάσεως χάριν, οὐδὲ τῆς τῶν οἰκείων ἀφαιρέσεως ἕνεκα, τουτέστιν ἢ χρημάτων ἢ κτημάτων, φαῦλον ἐργάζεται. καὶ τὸ μὲν ἔργον τὸ αὐτὸ ἀμφοτέρων γίνεται, ὁ δὲ τρόπος τοῦ ἔργου τὴν διαφορὰν ἐμποιεῖ. πρὸς δὴ τούτοις καὶ τὸ χρήματα λαμβάνειν τινὸς τῷ τρόπῳ τῆς λήψεως γίνεται κακόν. ἐὰν μὲν γάρ τις δῷῃ κοινωνῶν ἐξ ὧν ἔχει, ὁ λαμβάνων οὐδὲν φαῦλον ποιεῖ· εἰ δ' αὖ πάλιν ἄκοντος ἀφέλοιτο ἢ λεληθότως, ἔργον τι πονηρὸν πράττει. καὶ τὸ μὲν ἀλλότρια λαμβάνειν ἐπ' ἀμφοτέρων ἐστίν, ὁ δὲ τῆς λήψεως τρόπος λέγεσθαι τοῦτο ποιεῖ. ὁμοίως δὲ καὶ τὸ θεοσεβεῖν τρόπῳ κακὸν γίνεται. εἰ μὲν γάρ τις τὸν ἀληθῆ σέβει θεόν, ἔργον ποιεῖ ἀγαθόν· εἰ δὲ τοῦτον καταλιπὼν τὸν οὐκ ὄντα σέβει, καὶ τὴν τοῦ κρείττονος τιμὴν ξύλοις ἢ λίθοις προσάπτειν ἐθέλει, κακὸν πράττει. καὶ* (p. 103) *τὸ μὲν τῆς θεοσεβείας ὄνομα τὸ αὐτό, ὁ δὲ τῆς χρήσεως τρόπος ἐναλλάσσει τὸ γινόμενον.*

4) Praeclarum hoc fragmentum nobis servarunt Leontius et Joannes Rerum sacrarum libro II. tit. 3. *περὶ αὐτεξουσίου*, ubi Methodii *ἐκ τοῦ περὶ αὐτεξουσίου λόγου* esse dicitur. Vid. Mai Scriptor. veter. nova collect. T. VII. p. 92, col. 1. — p. 93, col. 2. Lacunam, quae hoc fragmentum praecedit, quodammodo explet Pseudo-Origenes, apud quem Droserius, i. e. Methodii *Ἑταῖρος*, ad Adamantii verba supra allata haec respondet p. 103, 4—15: *ΔΡΟΣ. Ἐπεὶ τοίνυν περὶ τῶν κακῶν ἐποιήσω τὸν λόγον, δεικνύναι βουλόμενος ὡς ἔστι τὰ κακά, ὅτι τούτων οἱ ἄνθρωποι τυγχάνουσι ποιηταί, βραχύ τι πάλιν πυθέσθαι βούλομαι. πότερον οἱ ἄνθρωποι τὴν ἀφορμὴν ἀφ' ἑαυτῶν λαμβάνοντες ἔχουσι, τουτέστιν αὐτοὶ τῆς τοιαύτης χρήσεως εὑρεταὶ γινόμενοι, ἢ τοιοῦτοι ὑπὸ θεοῦ γεγόνασιν, ἢ αὖ πάλιν ἕτερός τις ὑπάρχει ὁ εἰς τὰ τοιαῦτα τοὺς ἀνθρώπους παρορμῶν.* Ad quae Adamantius, i. e. Methodii *Ὀρθόδοξος*, p. 103, 16 — p. 104, 25. iis ipsis respondet, quae priore parte fragmenti a Leontio et Joanne servati disputantur, exceptis nonnullis, de quibus infra.

αὐτῷ καὶ βέλτιστον πρὸς τοῦ θεοῦ κεχαρίσθαι λέγω. τὰ μὲν γὰρ ἄλλα πάντα ἀνάγκῃ δουλεύει τῷ θείῳ προστάγματι, [1] οὐδ᾿ ὁπότερον αὐτῶν δυνάμενον ἕτερόν τι παρ᾿ ὃ καὶ εἰς ὃ γέγονε ποιεῖν. διόπερ οὐκ ἐπαινοῦμεν ταῦτα οὕτω πειθόμενα τῷ δεσπότῃ, οὐδέ τις ἀπόκειται αὐτοῖς κρείττων ἐλπίς, ὅτι τὸ προσταχθὲν ἄκοντες ἐφύλαξαν. ἄνθρωπος δὲ τῷ νῷ βούλεται πείθεσθαι· [2] προςέλαβε γὰρ ἐξουσίαν ἑαυτὸν δουλαγωγεῖν, οὐκ ἀνάγκῃ τῆς φύσεως κρατούμενος, οὐδὲ τῆς δυνάμεως ἀφαιρούμενος ὅπερ αὐτῷ κρεῖττον· οὗ ἕνεκα κεχαρίσθαι φημί, ἵνα τι πλεῖον ὧν ἔχει προςλάβῃ, ὅπερ αὐτῷ παρὰ τοῦ κρείττονος ἐκ τῆς ὑπακοῆς προςγίνεται καὶ ὡς ὀφειλὴ ἀπαιτεῖται παρὰ τοῦ πεποιηκότος. οὐ γὰρ ἐπὶ βλάβῃ τὸν ἄνθρωπον γεγονέναι φημί, ἕνεκα δὲ τῶν κρειττόνων. εἰ γὰρ ὡς ἕν τι γέγονε τῶν στοιχείων ἢ τῶν ὁμοίως δουλευόντων θεῷ, οὐκ ἔτι μισθὸν ἄξιον τῆς προαιρέσεως λαμβάνει, ἀλλ᾿ ὥςπερ ὄργανον ἂν ἦν τοῦ δημιουργοῦ, τὴν ἐφ᾿ οἷς οὐ καλῶς ἔπραξεν ἀλόγως μέμψιν ὑπομένων· τούτων γὰρ αἴτιος ἦν ὁ χρώμενος. ἀλλ᾿ οὐδὲ τὸ κρεῖττον ἄνθρωπος ἠπίστατο, μὴ τὸν αἴτιον εἰδώς, ἀλλ᾿ ἐκεῖνο μόνον εἰς ὃ πέφυκεν εἶναι. φημὶ τοιγαροῦν τὸν θεόν, οὕτω τὸν ἄνθρωπον τιμῆσαι προαιρούμενον καὶ τῶν κρειττόνων ἐπιστήμονα γίνεσθαι, τὴν ἐξουσίαν αὐτῷ τοῦ δύνασθαι ποιεῖν ἃ βούλεται δεδωκέναι [3], καὶ τὴν ἐξουσίαν αὐτοῦ εἰς κρεῖττον παραινεῖν, οὐκ ἀφαιρούμενον πάλιν τὸ αὐτεξούσιον, ἀλλὰ τὸ κρεῖττον μηνύειν θέλοντα. τὸ μὲν γὰρ δύνασθαι πάρεστιν αὐτῷ καὶ τὴν ἐντολὴν λαμβάνει, τὴν δὲ τοῦ δύνασθαι προαίρεσιν εἰς τὸ κρεῖττον τρέπειν ὁ θεὸς παραινεῖ. ὥςπερ γὰρ πατὴρ παιδὶ παραινῶν ἐξουσίαν ἔχοντι ἐκμανθάνειν τὰ μαθήματα καὶ μᾶλλον ἔχεσθαι τῶν μαθημάτων, ὅτι κρεῖττον τοῦτο μηνύων, οὐ τὴν τοῦ δύνασθαι τοῦ παιδὸς ἐξουσίαν ἀφαιρεῖ, κἂν μὴ ἑκὼν μανθάνειν βούληται· οὕτω μοι καὶ τὸν θεὸν οὐ δοκεῖ προτρέποντα τὸν ἄνθρωπον πείθεσθαι τοῖς προστάγμασιν ἀφαιρεῖν αὐτοῦ τὴν ἐξουσίαν τῆς προαιρέσεως τοῦ δύνασθαι καὶ μὴ ὑπακούειν τοῖς προστάγμασιν. καὶ γὰρ τὴν ἀρχὴν τὸ οὕτως παραινεῖν ὅτι μὴ ἀφεῖλε τὴν ἐξουσίαν μηνύει. προστάττει δέ, ἵνα τῶν κρειττόνων ἄνθρωπος ἀπολαύειν δυνηθῇ· τοῦτο γὰρ ἕπεται τῷ πεισθῆναι τῷ τοῦ θεοῦ προστάγματι. ὥςτε οὐχ ἵνα τὴν ἐξουσίαν ἣν δέδωκεν ἀφέλῃ προστάττειν βούλεται, ἀλλ᾿ ἵνα κρεῖττον δωρήσηται ὡς ἀξίῳ μειζόνων τυχεῖν, ἀνθ᾿ ὧν ὑπήκουσε τῷ θεῷ καὶ τὴν τοῦ μὴ ὑπακούειν ἐξουσίαν ἔχων. [4] αὐτεξούσιον δέ φημι τὸν ἄνθρωπον γεγονέναι, οὐχ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν τοῦ ἑλέσθαι, εἰ βούλοιτο, ὁ ἄνθρωπος ἔλαβε, ἀλλὰ διὰ τὴν τοῦ ὑπακούειν τῷ θεῷ καὶ μὴ ὑπακούειν αἰτίαν μόνην. τοῦτο γὰρ τὸ αὐτεξούσιον ἐβούλετο τότε. καὶ γενόμενος ὁ ἄνθρωπος τὴν ἐντολὴν λαμβάνει παρὰ τοῦ θεοῦ, καὶ ἐντεῦθεν ἤδη τὸ κακὸν ἄρχεται· οὐ γὰρ πείθεται τῷ θείῳ προστάγματι. καὶ τοῦτο καὶ μόνον τὸ κακόν, ἡ παρακοή, ἥτις τοῦ εἶναι ἤρξατο [5]. οὐδὲ γὰρ ἀγένητον ταύτην τις εἰπεῖν ἔχει, τοῦ ποιήσαντος αὐτὴν ὄντος γενητοῦ. πάντως δὲ πόθεν τοῦτο τὸ παρακοῦσαι ἐρωτήσεις. ἀλλὰ κεῖται σαφῶς ἐν τῇ θείᾳ γραφῇ. ὅθεν οὐδὲ τοιοῦτον τὸν ἄνθρωπον πρὸς τοῦ θεοῦ γεγονέναι φημί, κατὰ δὲ τήν τινος διδασκαλίαν τοῦτο πεπονθέναι λέγω· οὐδὲ γὰρ τοιαύτην φύσιν εἰληφὼς ὁ ἄνθρωπος. εἰ γὰρ οὕτως εἶχεν, οὐκ ἂν αὐτῷ κατὰ διδασκαλίαν τοῦτο προςεγίνετο, τῆς φύσεως αὐτῆς οὕτως ἐχούσης. λέγει δέ τις θεία φωνὴ μεμαθηκέναι τὸν ἄνθρωπον· Jerem. 13,23. διδάσκεσθαι οὖν φημι τὸ παρακούειν θεοῦ. τοῦτο γὰρ καὶ μόνον ἐστὶ τὸ κακόν, ὃ παρὰ τὴν τοῦ θεοῦ προαίρεσιν γίνεται· οὐ γὰρ ἂν καθ᾿ ἑαυτὸ τὸ πονηρὸν ὁ ἄνθρωπος διδάσκεται. ὁ διδάσκων τοίνυν τὸ κακόν ἐστιν ὁ δράκων. καὶ τὰ ἑξῆς. λείπει [6].

[7] Τὴν μὲν οὖν ἀρχὴν τοῦ κακοῦ τὸν φθόνον εἶπον ἔγωγε, τὸν δὲ φθόνον ἐκ τοῦ

1) Personatus Origenes p. 103, 22—33. hoc loco plura interponit, quae Methodio prorsus digna sunt et ab eo postea illis verbis: *εἰ — ὡς ἕν τι γέγονε τῶν στοιχείων ἢ τῶν ὁμοίως ἀνάγκῃ δουλευόντων θεῷ*, respiciuntur. Sunt autem haec: *ἐάν τε γὰρ οὐρανὸν εἴπῃς, ἕστηκε φέρων τὸν δεσπότην, οὐ μετακινούμενος τοῦ ὡρισμένου τόπου· ἐάν τε περὶ ἡλίου τὸν λόγον ποιεῖσθαι θέλῃς, ἐκτελεῖ οὗτος τὴν ὡρισμένην κίνησιν, οὐ παραιτούμενος τὸν δρόμον, ἀλλ᾿ ἀνάγκῃ τινὶ δουλεύων τῷ δεσπότῃ. καὶ γῆν ὁμοίως πεπηγυῖαν ὁρᾷς καὶ φέρουσαν τὸ πρόσταγμα τοῦ κεκελευκότος. ὁμοίως δὲ καὶ τὰ ἄλλα ἀνάγκῃ δουλεύει τῷ πεποιηκότι.* Librarius, perscriptis verbis praegressis: *τὰ — ἄλλα πάντα ἀνάγκῃ δουλεύει τῷ θείῳ προστάγματι*, oculis aberrans ad novissima: *τὰ ἄλλα ἀνάγκῃ δουλεύει τῷ πεποιηκότι*, ab iis quasi iam visis et descriptis ad proxima: *οὐδ᾿ ὁπότερον* — properavit, in medio posita omisit.

2) Reliqua huius fragmenti Combefisius, qui a Sirmondo acceperat nescio unde sumta, primus edidit in Methodio suo, unde Gallandius Biblioth. Patr. T. III. p. 771—772. repeti curavit.

3) Hactenus personatus Origenes p. 104, 25.

4) Conf. Phot. p. 307, *b*. 37 — p. 308, *a*. 4.

5) Hactenus Photius l. c., ubi excerpta ex libro *περὶ αὐτεξουσίου* desinunt.

6) Hactenus Leontius et Joannes l. c.

7) Fragmentum, a Combefisio e cod. ms. Rupifucaldino Elementorum Jo. Damasceni editum, Galland. Bibl. SS. PP. T. III. p. 772, B. repetiit.

κρείττονι τιμῇ κατηξιῶσθαι τὸν ἄνθρωπον πρὸς τοῦ θεοῦ· τὸ δὲ κακὸν ἡ παρακοὴ τῆς τοῦ θεοῦ ἐντολῆς.

ΜΕΘΟΔΙΟΥ

ΕΚ ΤΟΥ ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ.

Ed. Pet.
D
[1] *ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΠΙΤΟΜΗ ΕΚ ΤΩΝ ΜΕΘΟΔΙΟΥ.*
p. 534,

I. *Ἐντεῦθεν οἱ ἁπλούστεροι τῶν πεπιστευκότων ὁρμώμενοι νομίζουσι τοὺς ἀσεβεῖς
τῆς ἀναστάσεως μὴ τεύξεσθαι, τί νοοῦντες τὴν ἀνάστασιν καὶ ποταπὴν τὴν κρίσιν φαν-
ταζόμενοι οὐ πάνυ σαφηνίζοντες. κἂν γὰρ δοκῶσι περὶ τούτων ἀποφαίνεσθαι, ἡ
βάσανος αὐτοὺς διελέγξει, τὰ ἑξῆς ἀκολούθως σώζειν μὴ δυναμένους. ἐὰν οὖν πυν-
535 θανώμεθα αὐτῶν τίνος ἡ ἀνάστασις γίνεται, ἀποκρίνονται ὅτι τῶν σωμάτων ἃ νῦν
περικείμεθα. εἶτα προσεπερωτησάντων ἡμῶν πότερον τῆς οὐσίας αὐτῶν ὅλης, ἢ οὐχί,
πρὶν βασανίσαι λέγουσιν ὅτι ὅλης. ἐὰν δὲ προσαπορήσωμεν συμπεριφερόμενοι τῇ
ἀκεραιότητι αὐτῶν, εἰ συναναστήσεται τὰ ἀποῤῥεύσαντα ἐν φλεβοτομίαις αἵματα καὶ
σάρκες καὶ τρίχες αἱ πώποτε γενόμεναι, ἢ μόναι αἱ πρὸς τῇ ἐξόδῳ θλιβόμεναι, εἰς
τὸ τῷ θεῷ ποιεῖν ἃ βούλεται προστρέχουσιν. οἱ δὲ γενναιότεροι αὐτῶν, ἵνα μὴ ἀναγκά-
B ζωνται τὰ αὐτὰ αἵματα συναγαγεῖν τῷ λόγῳ, ἃ πολλάκις ἀπεκκριθῆναι τῶν σωμάτων
ἡμῶν συνέβη, φασὶ τὸ ἐπὶ τέλει ἡμῶν ἀναστήσεσθαι σῶμα. προσηπορήσαμεν δὲ διὰ
τὸ τρεπτὴν εἶναι τὴν σωματικὴν φύσιν καὶ τοιαῦτα. ὥςπερ εἰς τὸ ἡμέτερον σῶμα αἱ
τροφαὶ κατατάττονται, καὶ μεταβάλλουσι τὰς ὁμοιότητας, οὕτως καὶ τὰ ἡμέτερα
σώματα μεταβάλλονται, καὶ ἐν τοῖς σαρκοβόροις οἰωνοῖς καὶ θηρίοις γίγνεται μέρη
τῶν ἐκείνων σωμάτων, καὶ πάλιν ἐκεῖνα ὑπὸ ἀνθρώπων ἢ ἑτέρων ζώων ἐσθιόμενα
C ἀντιμεταβάλλει καὶ γίγνεται ἀνθρώπων ἢ ἑτέρων ζώων σώματα. καὶ τούτου ἐπὶ
πολὺ γιγνομένου ἀνάγκη τὸ αὐτὸ σῶμα πλειόνων ἀνθρώπων πολλάκις γενέσθαι μέ-
ρος. τίνος οὖν ἔσται σῶμα ἐν τῇ ἀναστάσει; καὶ οὕτως εἰς βυθὸν ἡμᾶς φλυαρίας
ἀλόγου συμβήσεται ἐμπίπτειν.*

II. *Καὶ μετὰ ταύτας τὰς ἀπορίας ἐπὶ τὸ πάντα εἶναι δυνατὰ τῷ θεῷ καταφεύ-
γουσι, καὶ λέξεις τῶν γραφῶν δυναμένας κατὰ τὴν πρόχειρον ἐκδοχὴν ὑποβάλλειν τὸ
Ez. 37, 1 sqq. νοούμενον αὐτοῖς προφέρονται, οἷον τὴν ἐν τῷ Ἰεζεκιὴλ „καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ
D κυρίου, καὶ ἐξήγαγέ με ἐν πνεύματι καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν
μεστὸν ὀστέων ἀνθρωπίνων. καὶ περιήγαγέ με ἐπ' αὐτὰ κυκλόθεν κύκλῳ· καὶ ἰδού,
πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, καὶ ἰδού, αὐτὰ ξηρὰ λίαν. καὶ εἶπε πρός
με, υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστᾶ ταῦτα; καὶ εἶπον, κύριε ὁ θεός, σὺ ἐπίστα-
σαι ταῦτα. καὶ εἶπε πρός με, προφήτευσον, υἱὲ ἀνθρώπου. καὶ εἶπον πρὸς αὐτά,
τὰ ὀστέα τὰ ξηρὰ ταῦτα, ἀκούσατε λόγον κυρίου. τάδε λέγει Ἀδωναΐ κύριος τοῖς
ὀστέοις τούτοις ἰδού, ἐγὼ εἰςάγω εἰς ὑμᾶς πνεῦμα ζωῆς, καὶ δώσω ἐφ' ὑμᾶς νεῦρα,
536 καὶ ἐπάξω ἐφ' ὑμᾶς σάρκας, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω τὸ πνεῦμά μου
ἐφ' ὑμᾶς, καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγώ
εἰμι κύριος.“ τούτῳ μὲν οὖν πιθανωτέρῳ χρῶνται τῷ ῥητῷ. καὶ ἄλλα δὲ λέγουσιν
Matth. 8, 12. εὐαγγελικά, οἷον ὡς τό „ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων,“ καὶ
Matth. 10, 28. τό „φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν Γεέννῃ.“ καὶ τὸ ἐν
Rom. 8, 11. τῷ Παύλῳ „ζωοποιήσει τὰ θνητὰ ὑμῶν σώματα, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύ-
ματος ἐν ὑμῖν.“*

B III. *Χρὴ δὲ πάντα τὸν φιλαλήθη κατὰ ταὐτὸν τούτοις τὸν νοῦν ἐπιστήσαντα περὶ
τῆς ἀναστάσεως ἀγωνίσασθαι, σῶσαί τε καὶ τὴν τῶν ἀρχαίων παράδοσιν, καὶ φυ-*

1) Ex Epiphanio Advers. Haeres. Lib. II. Tom. I. Haer. LXIV. cap. 12—62. Opp. ed. Petav. Vol. I. p. 534, D. — p. 590, D., ed. Dindorf. Vol. II. p. 599, 1. — p. 668, 5. Apud Epiphanium haec praecedunt p. 534, C. *ἀρκεσθῆναι ἐνόμισα καλῶς ἔχειν τοῖς ὑπὸ τοῦ μακαρίτου Μεθοδίου εἰς τὸν περὶ τῆς ἀναστάσεως λόγον κατὰ τοῦ αὐτοῦ Ὠριγένους εἰρημένοις, ἅτινα ἐνταῦθα κατὰ λέξιν παραθήσομαι. καὶ ἔστι τὰ ὑπὸ Μεθοδίου οὕτως, ὡς καὶ αὐτὸς ἐτάξατο.* Ceterum iam antea Epiphanius Methodii disputationem contra Origenem tangere videtur p. 531, C. *ἀρχὴ δέ μοι λέγειν πρὸς τὸν κομπώδη καὶ δοκησίσοφον καὶ ἐρευνητὴν τῶν ἀνερευνήτων καὶ ἐκβιβαστὴν τῶν ἐπουρανίων τουτονὶ τὸν φλυαρίας ἐμπλήσαντα τὸν βίον, ὡς καὶ ὁ κρείττων ἡμῶν κατ' αὐτοῦ εἴρηκε, πρῶτον περὶ γενητοῦ θεοῦ.* Vid. Dindorf. Annot. p. 800. Quamquam Epiphanius, si quidem Methodium h. l. tetigit, fortasse potius respexit, quae ille libro *περὶ τῶν γενητῶν* contra Origenem disputavit.

λάξασθαι μὴ ἐμπεσεῖν εἰς φλυαρίαν πτωχῶν νοημάτων, ἀδυνάτων τε ἅμα καὶ θεοῦ
ἀναξίων. τοῦτο οὖν εἰς τὸν τόπον διαληπτέον, ὅτι πᾶν σῶμα ὑπὸ φύσεως συνεχό-
μενον τῆς καταταττούσης ἔξωθέν τινα δίκην τροφῆς εἰς αὐτό, καὶ ἀπεκκρινούσης ἀντὶ
τῶν ἐπειςαγομένων ἕτερα, ὥςπερ τὰ τῶν φυτῶν καὶ τῶν ζώων, τὸ ὑλικὸν ὑποκείμε-
νον οὐδέποτε ἔχει ταὐτόν. διόπερ οὐ κακῶς ποταμὸς ὠνόμασται τὸ σῶμα, διότι ὡς
πρὸς τὸ ἀκριβὲς τάχα οὐδὲ δύο ἡμερῶν τὸ πρῶτον ὑποκείμενον ταὐτόν ἐστιν ἐν τῷ C
σώματι ἡμῶν, καίτοι γε τοῦ οἱονεὶ Παύλου ἢ Πέτρου ἀεὶ τοῦ αὐτοῦ ὄντος (οὐ τοῦ
κατὰ ψυχὴν μόνον, ἧς ἡ οὐσία οὔτε ῥεῖ καθ' ἡμᾶς οὔτ' ἐπειςαγόμενόν τι ἔχει ποτέ,
κἂν ῥευστὴ ᾖ ἡ φύσις τοῦ σώματος) τῷ τὸ εἶδος τὸ χαρακτηρίζον τὸ σῶμα ταὐτὸν
εἶναι, ὡς καὶ τοὺς τύπους μένειν τοὺς αὐτοὺς τοὺς τὴν ποιότητα Πέτρου καὶ Παύλου τὴν
σωματικὴν παριστάνοντας, καθ' ἣν ποιότητα καὶ οὐλαὶ ἐκ παίδων παραμένουσι τοῖς
σώμασι καὶ ἄλλα τινὰ ἰδιώματα, φακοὶ καὶ ἐπὶ τούτοις εἴ τί ἐστιν ὅμοιον. τοῦτο D
τὸ εἶδος, καθ' ὃ εἰδοποιεῖται ὁ Παῦλος καὶ ὁ Πέτρος, τὸ σωματικὸν [, ὃ] ἐν τῇ ἀνα-
στάσει περιτίθεται πάλιν τῇ ψυχῇ, ἐπὶ τὸ κρεῖττον μεταβάλλον, οὐ πάντως δ' ἔτι τὸ
ἐντεταγμένον τὸ κατὰ τὴν πρώτην ὑποκείμενον. ὥςπερ δὲ τὸ εἶδός ἐστιν ἐκ βρέφους
μέχρι τοῦ πρεσβυτέρου, κἂν οἱ χαρακτῆρες δοκῶσι πόλλην ἔχειν παραλλαγήν, οὕτως 537
νοητέον τὸ ἐπὶ τοῦ παρόντος εἶδος ταὐτὸν εἶναι τῷ μέλλοντι, πλείστης ὅσης ἐσομέ-
νης τῆς ἐπὶ τὸ κάλλιον μεταβολῆς. ἀναγκαῖον γὰρ τὴν ψυχὴν ἐν τόποις σωματικοῖς
ὑπάρχουσαν κεχρῆσθαι σώμασι καταλλήλοις τοῖς τρόποις. καὶ ὥςπερ ἐν θαλάσσῃ
ζῇν ἡμᾶς ἐνύδρους γενομένους εἰ ἐχρῆν, πάντως ἂν ἡμᾶς ἔδει βράγχια ἔχειν καὶ τὴν
ἄλλην ἰχθύων κατάστασιν, οὕτως μέλλοντας κληρονομεῖν βασιλείαν οὐρανῶν καὶ ἐν
τόποις διαφόροις ἔσεσθαι, ἀναγκαῖον χρῆσθαι σώμασι πνευματικοῖς, οὐχὶ τοῦ εἴδους B
τοῦ προτέρου ἀφανιζομένου, κἂν ἐπὶ τὸ ἐνδοξότερον γένηται αὐτοῦ ἡ τροπή, ὥςπερ
ἦν τὸ Ἰησοῦ εἶδος καὶ Μωυσέως καὶ Ἠλίου, οὐχ ἕτερον ἐν τῇ μεταμορφώσει παρ' Matth. 17, 2.
ὃ ἦν.

IV. Μὴ πρόςκοπτε τοίνυν, εἰ τὸ πρῶτον ὑποκείμενον ἄν τις λέγοι μὴ ἔσεσθαι
ταὐτὸν τότε, ὅπου ὁ λόγος τοῖς ἐφιστάναι δυναμένοις δείκνυσιν ὅτι οὐδὲ νῦν δύνα-
ται δύο ἡμερῶν ταὐτὸν εἶναι τὸ πρῶτον ὑποκείμενον. ἄξιον δὲ ἐπιστῆσαι καὶ τὸ
ἑτεροῖον μὲν σπείρεσθαι, ἑτεροῖον δὲ ἀνίστασθαι. σπείρεται γὰρ σῶμα ψυχικόν, 1 Cor. 15, 44.
ἐγείρεται σῶμα πνευματικόν. καὶ ἐπιφέρει πάλιν ὁ ἀπόστολος, σχεδὸν τὴν γήϊνην C
ποιότητα διδάσκων ἀποτίθεσθαι μέλλειν ἡμᾶς, τοῦ εἴδους σωζομένου κατὰ τὴν ἀνά-
στασιν· „τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι 1 Cor. 15, 50.
οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν.“ ἴσως μὲν γὰρ ἔσται περὶ τὸν ἅγιον
διακρατούμενον ὑπὸ τοῦ εἰδοποιοῦντός ποτε τὴν σάρκα, σὰρξ δὲ οὐκέτι· ἀλλ' ὅπερ
ποτὲ ἐχαρακτηρίζετο ἐν τῇ σαρκί, τοῦτο χαρακτηρισθήσεται ἐν τῷ πνευματικῷ σώ- D
ματι.

Καὶ πρὸς τὰ ῥήματα δὲ τῶν γραφῶν, ἃ παρατίθενται οἱ ἀδελφοὶ ἡμῶν, ταῦτα ἔστιν
εἰπεῖν. καὶ πρῶτον ἐν τῷ Ἰεζεκιήλ, [ἐπὶ τὸ ὅσον] ἐφ' ὅσον βούλονται οἱ ἁπλού-
στεροι, κατὰ τὰς λέξεις ταύτας οὐδὲ ἀνάστασις σαρκῶν ἔσται, ἀλλὰ ὀστέων μόνον
καὶ δερμάτων καὶ νεύρων. ἅμα δὲ καὶ ὑποδεικτέον αὐτοῖς ὅτι συναρπάζονται, ὡς μὴ
νενοηκότες τὸ γεγραμμένον. οὐ γὰρ εἰ ὀστᾶ ὀνομάζεται, πάντως τὰ ὀστᾶ ταῦτα νοη-
τέον, ὥςπερ οὐδὲ ἐν τῷ „ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν Ἅιδην“ καί „ἐσκορ- Psal. 140, 7. 21, 14. 6, 2.
πίσθη πάντα τὰ ὀστᾶ μου“ καί „ἴασαί με, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου,“ φανεροῦ 538
ὄντος τοῦ μὴ λέγεσθαι τὰ ὀστᾶ κατὰ τὴν κοινὴν ἐκδοχήν. ἐπιφέρεται γοῦν τῷ λόγῳ
ὅτι αὐτοὶ λέγουσιν ὅτι ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν. ἆρά γε λέγουσι „ξηρὰ γέγονε τὰ Psal. 21, 15.
ὀστέα ἡμῶν,“ θέλοντες ἀνίστασθαι συναχθέντα; ἀλλὰ τοῦτο ἀμήχανον. λέγοιεν δ'
ἂν „ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν“ ἐν αἰχμαλωσίαις γενόμενοι καὶ πᾶσαν ζωτικὴν νο- Ezech. 37, 21.
τίδα ἀποβεβληκότες. ἐπιφέρουσι γοῦν τό „ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκα- Ibid.
μεν.“ οὐκοῦν ἡ ἐπαγγελία τῆς ἀναστάσεως τοῦ λαοῦ ἐστιν ἀπὸ τοῦ πτώματος καὶ τῆς B
οἱονεὶ νεκρότητος ἣν νενέκρωνται, διὰ τὰ ἁμαρτήματα τοῖς ἐχθροῖς παραδοθέντες.
καὶ οἱ ἁμαρτωλοὶ δὲ ὑπὸ τοῦ σωτῆρος λέγονται εἶναι τάφοι γέμοντες ὀστέων νεκρῶν Matth. 8, 12.
καὶ πάσης ἀκαθαρσίας. πρέπει δὲ τῷ θεῷ ἀνοίγειν τὰ μνημεῖα ἑκάστου καὶ ἐξάγειν
ἐκ τῶν μνημείων ἡμᾶς ἐζωοποιημένους, ὥςπερ ὁ σωτὴρ τὸν Λάζαρον εἵλκυσεν ἔξω.

V. Τὸ δέ „ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων“ πρὸς αὐτοὺς C
ἀπορητέον ὅτι ὡς ἐν τούτῳ τῷ βίῳ πᾶν μέλος εἴς τινα χρείαν ὁ δημιουργὸς κατε-
σκεύασεν, οὕτως καὶ τοὺς ὀδόντας εἰς τὸ διακόπτεσθαι τὴν στερεὰν τροφήν. τίς
οὖν χρεία τοῖς κολαζομένοις ὀδόντων; οὐ γὰρ εἰς τὴν Γέενναν ὄντες κατ' αὐτοὺς φά-
γονται. καὶ δεικτέον ὅτι οὐ πάντα παραλαμβάνεσθαι δεῖ κατὰ τὸ κείμενον. „ὀδόν- Psal. 3, 7.
τας γὰρ ἁμαρτωλῶν (φησίν) συνέτριψας,“ καί „τὰς μύλας τῶν λεόντων συνέθλασεν Psal. 57, 6.
κύριος.“ τίς δὲ οὕτως ἠλίθιος, ὡς ὑπολαμβάνειν ὅτι τηρῶν τὰ σώματα τῶν ἁμαρτω-
λῶν ὁ θεὸς τοὺς ὀδόντας αὐτῶν μόνον συντρίβει; ὥςπερ οὖν εἴ τις θέλων ταῦθ' οὕτως D

ἔχειν θλιβόμενος εἵλκετο ἐπ' ἀλληγορίαν, οὕτως ζητητέον τῶν κολαζομένων τὸν
βρυγμὸν τῶν ὀδόντων τῆς ψυχῆς δύναμιν μαστικὴν ἐχούσης, ἥτις ἐν καιρῷ τοῦ
ἐλέγχου περὶ τῶν ἁμαρτημάτων κατὰ τὸν συγκρουσμὸν τῶν ὀδόντων ὧν ἐφρόνησε
Matth. 10, 28. βρύξει τοὺς ὀδόντας. τὸ δέ „φοβήθητε τὸν δυνάμενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα
ἀπολέσαι ἐν Γεέννῃ“ τάχα μὲν διδάσκει ὅτι ἀσώματος ἡ ψυχή, τάχα δὲ δηλοῖ καὶ
ὅτι χωρὶς σώματος οὐ κολασθήσεται· περὶ οὗ φυσιολογοῦντες τὰ περὶ τοῦ εἴδους
539 καὶ τοῦ πρώτου ὑποκειμένου εἰρήκαμεν. καὶ τὸ παρὰ τῷ ἀποστόλῳ δέ „ζωοποιήσει
Rom. 8, 11. καὶ τὰ θνητὰ ἡμῶν σώματα,“ θνητοῦ ὄντος τοῦ σώματος καὶ οὐ μετέχοντος τῆς
ἀληθινῆς ζωῆς, δύναται παριστάνειν ὅτι τὸ σωματικὸν εἶδος, περὶ οὗ εἰρήκαμεν, τῇ
Col. 3, 4. φύσει θνητὸν ὄν, ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, καὶ αὐτὸ μεταβάλλει ἀπὸ
τοῦ εἶναι σῶμα θανάτου ζωοποιηθέν, διὰ τὸ πνεῦμα τὸ ζωοποιοῦν ἐκ τοῦ πνευμα-
1 Cor. 15, 35. τικὸν γεγονέναι. καὶ τό „ἐρεῖ δέ, πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρ-
χονται;“ γυμνῶς παρίστησιν ὅτι τὸ πρῶτον ὑποκείμενον οὐκ ἀναστήσεται. εἰ γὰρ
B καλῶς ἐλάβομεν τὸ παράδειγμα, ῥητέον ὅτι ὁ σπερματικὸς λόγος ἐν τῷ κόκκῳ τοῦ
σίτου δραξάμενος τῆς παρακειμένης ὕλης καὶ δι' ὅλης αὐτῆς χωρήσας, περιδραξάμενος
αὐτῆς αὖ τοῦ εἴδους, τὸ εἶδος ὧν ἔχει δυνάμεων ἐπιτίθησι τῇ ποτε γῇ καὶ ὕδατι καὶ
ἀέρι καὶ πυρί, καὶ νικήσας τὰς ἐκείνων ποιότητας μεταβάλλει ἐπὶ ταύτην, ἧς ἐστιν
αὐτὸς δημιουργός, καὶ οὕτως συμπληροῦται ὁ στάχυς, εἰς ὑπερβολὴν διαφέρων τοῦ
ἐξ ἀρχῆς κόκκου μεγέθει καὶ σχήματι καὶ ποικιλίᾳ.

C

ΠΡΟΚΛΟΥ ΤΟΥ ΑΥΤΟΥ.

VI. Ἃ μὲν οὖν Ὠριγένης εἰς τὴν περὶ τῆς ἀναστάσεως ἐγχειρῶν πραγματείαν
ἐσπούδασε, ποικιλωτάτην ἐπιδεικνύμενος εἰς αὐτὴν θεωρίαν, τοσαῦτα ὡς ἐν ἐπιτομῇ·
ἐνθυμοῦ δὲ καὶ τὰ τούτοις ἀναθεωρῶν ἐφεξῆς. λείπεται γὰρ τὰς ἀπὸ τῶν γραφῶν
ἔτι πρὸς τοῖς εἰρημένοις μαρτυρίας παραλαβεῖν, ἵν' ὥσπερ ἀνδριὰς πάντα τὰ μέρη
συμμέτρως ὁ λόγος ἑαυτοῦ λαβὼν ὅλος ἐκ πλήρους ᾖ κατεσκευασμένος, ἀλλὰ μηδὲν
D ἔχων ἐνδεὲς τῶν εἰς σχῆμα καὶ κάλλος συναγομένων. τί οὖν αἱ γραφαὶ συνᾴδουσι
τούτοις, ἐπικρατύνουσαι πρὸς συμπλήρωσιν διαγωγῆς κρείττονος τὸν ἄνθρωπον, φρα-
στέον. ταῦτα γὰρ ἐάν τις οἷός τε ᾖ, μὴ παρακόπτων τοῦ δέοντος, ἀκριβῶς νοεῖν,
εἴσεται τὴν ἀνάστασιν ἐπὶ τούτου μὴ χρῆναι παραλαμβάνεσθαι τοῦ σώματος, ἅτε
ἀδυνατοῦντος ἀτρέπτου δι' αἰῶνος μένειν, ἀλλὰ ἐπὶ τοῦ πνευματικοῦ, ἐν ᾧ αὐτὸς ὁ
540 καὶ νῦν ἐν τούτῳ διασωζόμενος χαρακτὴρ τηρηθήσεται, ἵν' ἕκαστος ἡμῶν καὶ κατὰ
τὴν μορφὴν ὁ αὐτὸς ᾖ, καθάπερ ἐλέχθη καὶ Ὠριγένει. οὕτω γὰρ ἐκεῖνος ἔσεσθαι
τίθεται τὴν ἀνάστασιν. ῥευστοῦ γὰρ ὄντος τοῦ σώματος τοῦ ὑλικοῦ καὶ μηδέποτε
μένοντος ἐφ' ἑαυτῷ κἂν τὸ βραχύ, ἀλλὰ προσγινομένου καὶ ἀπογινομένου περὶ τὸ
εἶδος τὸ χαρακτηρίζον τὸν ἄνθρωπον, ὑφ' οὗ καὶ συγκρατεῖται τὸ σχῆμα, [1] ἀνάγκη,
560, D φησί, τὴν ἀνάστασιν ἐπὶ μόνου τοῦ εἴδους σώζεσθαι δεῖν προσδοκᾶν. καὶ ἵνα μὴ
561 εἴπῃς ὅτι Οὐ καταμανθάνω· σκοτεινῶς ἐκεῖνος γὰρ τοῦτο διέλαβεν· ἐγὼ δέ σοι σα-
φέστερον ὧδε τὸν νοῦν τούτων ἐξηγήσομαι. ἤδη γὰρ πάντως ἑώρακας δέρμα ζῴου
ἢ ἄλλο τι τοιοῦτο γεμισθὲν ὕδατος, ὅπως, ἐὰν πρὸς ὀλίγον κενούμενον πρὸς ὀλίγον
πληροῖτο, ἀεὶ τὸ εἶδος τὸ αὐτὸ δείκνυσιν. οἷον γὰρ ἂν ᾖ τὸ περιέχον, ἀνάγκη πρὸς
αὐτὸ καὶ τὸ ἐντὸς σχηματίζεσθαι. φέρε γάρ, ὑπεκρέοντος τοῦ ὕδατος εἴ τις προσ-
βάλλοι τοσοῦτον ὅσον ἐκχεῖται, μὴ ἐῶν τὸν ἀσκὸν ἀθρόως κενωθῆναι τοῦ ὕδατος, εἰ
μὴ τοιοῦτο ἀνάγκη φαίνεσθαι τὸ προστιθέμενον οἷον καὶ τὸ πᾶν, διὰ τὸ εἶναι καὶ
B τὸ περιέχον τὸ αὐτό, περὶ ὃ εἰσρεῖ καὶ ἀποῤῥεῖ τὸ ὕδωρ. καὶ δὴ καὶ τὸ σῶμα τού-
τοις ὁ ἐθέλων ἀπεικάζειν οὐκ αἰδεσθήσεται. ὡσαύτως γὰρ καὶ τὰ ἀπὸ τῆς τροφῆς
ἀντεισαγόμενα ἀντὶ τῶν ὑπεξεωθεισῶν σαρκῶν εἰς τὸ σχῆμα τοῦ περιέχοντος εἴδους
μεταβαλοῦνται, καὶ ὁπόσον μὲν ἂν κατὰ τοὺς ὀφθαλμοὺς διαχυθῇ, τοῖς ὀφθαλμοῖς
ἔοικεν, ὁπόσον δὲ κατὰ τὸ πρόσωπον, τῷ προσώπῳ, ὁπόσον δὲ κατὰ τὰ ἕτερα, τού-
τοις· ὥστε τὸν αὐτὸν ἕκαστον φαίνεσθαι, οὐκ οὐσῶν τῶν σαρκῶν ἐν ταὐτῷ τῶν
πρώτων ὑποκειμένων, ἀλλὰ τοῦ εἴδους, καθ' ὃ εἰδοποιοῦνται τὰ προσγιγνόμενα. καὶ
C τοίνυν εἰ μή ἐσμεν οἱ αὐτοί, κἂν ἐπ' ὀλίγας ἡμέρας, τῷ σώματι, ἀλλὰ τῷ εἴδει τῷ
ἐν τῷ σώματι· τοῦτο γὰρ μόνον ἕστηκεν ἀπὸ γενέσεως· πολλῷ μᾶλλον οὐδὲ τότε
οἱ αὐτοὶ κατὰ τὴν αὐτὴν σάρκα ἐσόμεθα, ἀλλὰ κατὰ τὸ εἶδος τὸ καὶ νῦν ἀεὶ δια-
σωζόμενον ἐν ἡμῖν καὶ μένον. ὃ γὰρ ἐκεῖ τὸ δέρμα, τοῦτο τὸ εἶδος ἐνθάδε· ὃ
δὲ ἐκεῖ τὸ ὕδωρ ἐπὶ τῆς εἰκόνος, τοῦτο ἐνταῦθα τὸ προσγιγνόμενον καὶ ἀπογιγνό-
μενον. ὥσπερ οὖν νῦν τοῦ σώματος οὐκ ὄντος τοῦ αὐτοῦ, ὅμως ὁ χαρακτὴρ κατὰ
τὴν αὐτὴν μορφὴν ὁ αὐτὸς σώζεται, οὑτωσὶ καὶ τότε, οὐκ ὄντος τοῦ σώματος τοῦ

1) Post ἀνάγκη vulgo pergi solebat (ed. Petav. p. 540, B.): τῶν εἰρημένων ἐναργέστερον, usque ad illa p. 560, D. ἀνοικείως ἐκτιθεμένῳ. Errorem ex foliorum traiectione ortum Oehlerus ope codicis Ven. primus correxit.

αὐτοῦ, εἰς τὸ ἐνδοξότερον τὸ εἶδος αὐξηθὲν οὐκέτι ἐν φθαρτῷ, ἀλλ' ἐν ἀπαθεῖ καὶ D
πνευματικῷ δειχθήσεται σώματι, ὥςπερ οἷον τοῦ Ἰησοῦ κατὰ τὴν μεταμόρφωσιν ἦν,
ὅτε εἰς τὸ ὄρος ἀνέβη μετὰ Πέτρου καὶ τοῦ Μωυσέως καὶ τοῦ Ἡλίου τῶν ὀφθέντων Matth. 17.
αὐτῷ. Marc. 9.

VII. *Καὶ ταῦτα μὲν οὖν μέχρι τοσούτου διεσκέφθω. οὗτος γὰρ ὡς ἐν κεφαλαίῳ
τῶν Ὠριγένους δογματισμῶν ὁ νοῦς. ἐὰν δέ τις τῶν ἀμφισβητούντων προβαλλόμενος
τὸ σῶμα τοῦ Χριστοῦ, διὰ τὸ πρωτότοκον τῶν νεκρῶν καὶ ἀπαρχὴν αὐτὸν εἰρῆσθαι 562
τῶν κεκοιμημένων, λέγοι ὅτι Καθάπερ ἐκεῖνος ἀνέστη, κατὰ πάντων ὡςαύτως ἐκείνῳ Apoc. 1, 5.
δεῖ προςδοκᾶν ἀναστήσεσθαι, ἵνα ὥςπερ Χριστὸς ἐγήγερται, οὕτως ὁ θεὸς τοὺς κοι- 1 Cor. 15, 20. 1 Thess. 4, 14.
μηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ, ἐγήγερται δὲ τὸ τοῦ Ἰησοῦ, καὶ τὰς σάρκας
ἔχον ἃς εἶχε, καὶ τὰ ὀστᾶ, καθάπερ ἐπείσθη καὶ Θωμᾶς· λέξωμεν, Ἀλλὰ τὸ τοῦ Joann. 1, 13.
Χριστοῦ σῶμα οὐκ ἦν ἐκ θελήματος ἀνδρός, ἡδονῆς ὕπνῳ συνελθούσης, ἐν ἀνομίαις Sap. 7, 2. Psal. 50, 7.
συλληφθὲν καὶ κισσηθὲν ἐν ἁμαρτίαις, ἀλλὰ ἐκ πνεύματος ἁγίου καὶ δυνάμεως ὑψίστου Luc. 1, 35.
καὶ παρθένου, τὸ δὲ σὸν ὕπνος ἐστὶ καὶ ἡδονὴ καὶ ῥύπος. καὶ διὰ τοῦτο καὶ ὁ B
σοφὸς Σειράχ „ἐν γὰρ τῷ ἀποθνήσκειν ἄνθρωπον "ἀποφθέγγεται„ κληρονομήσει ἑρπετὰ Sir. 10, 11.
καὶ θηρία καὶ σκώληκας." καὶ ἐν ὀγδοηκοστῷ ἑβδόμῳ ψαλμῷ „μὴ τοῖς νεκροῖς ποιή- Psal. 87, 10.
σῃς θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; μὴ διηγήσεταί τις ἐν
τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; μὴ γνωσθήσεται ἐν τῷ
σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;" καὶ ἕτερα δὲ
ῥήματα τοιαῦτα τῷ βουλομένῳ συνάγειν ἐκ τῶν γραφῶν πάρεστιν ὅσα, ἵνα μὴ πάντων
ἡμεῖς εἰς πλῆθος μνημονεύσαντες πολυπλασίονα τῶν εἰρημένων αὐξήσωμεν τὸν λόγον.* C

ΛΟΙΠΟΝ ΜΕΘΟΔΙΟΥ.

VIII. *Ὡς οὖν ἐπαύσατο μόγις ὁ Πρόκλος καὶ σιγὴ τῶν παρόντων ἦν ἐπὶ πολύ, κα-
ταβληθέντων ἱκανῶς πρὸς ἀπιστίαν, καὶ ἐγὼ ᾐσθόμην ὅτι τῷ ὄντι πεπαυμένος εἴη,
ἠρέμα τὴν κεφαλὴν ἐπάρας καὶ ἀναπνεύσας, ὥςπερ οἱ πλέοντες τοῦ κύματος ἤδη λω-
φῶντος, ὑποτρέμων ἔτι καὶ σκοτιζόμενος (ἐβεβλήμην γάρ, ὡς πρὸς ὑμᾶς εἰρῆσθαι, τῇ
δεινότητι κατηντλημένος τῶν λόγων) τρέπομαι πρὸς τὸν Αὐξέντιον, καὶ καλέσας αὐτόν, D
Ὦ Αὐξέντιε, νομίζω, ἔφην, μὴ μάτην λελέχθαι τὸ ποιητικὸν σύν τε δύ' ἐρχομένω· Il. 10, 224.
καὶ γὰρ οἱ ἀνταγωνισταὶ δύο. διὸ σθένος ἀμφότεροι ἀμφοτέρων περ σχῶμεν. συναν-
τιλήπτορα γὰρ καὶ συναγωνιστὴν αἱροῦμαί σε τῆς πρὸς αὐτοὺς μάχης, μὴ ἡμῖν ὁ Ἀγλαο-
φῶν μετὰ Πρόκλου καὶ Ὠριγένους τοῖς ἀνατρεπτικοῖς καθ' ἡμῶν ὡπλισμένος λόγοις
ἐκπέρσῃ τὴν ἀνάστασιν. ἄγε οὖν ἀντιπαραταξώμεθα, τῶν σοφισμάτων αὐτῶν μηδὲν
τῶν ἀντιλογικῶν, οἷς οἱ δειλοὶ βάλλονται, φοβηθέντες. καὶ γὰρ οὐδὲν ἐν αὐτοῖς ὑγιὲς 563
ὅλως οὐδὲ πάγιον, ἀλλὰ φαντασία μόνον εὐπρεπὴς ῥημάτων, πρὸς κατάπληξιν τῶν
ἀκουόντων καὶ πειθὼ κατεσκευασμένη, οὐ τῆς ἀληθείας καὶ τοῦ συμφέροντος χάριν,
ἀλλὰ τοῦ δόξαι τοῖς παροῦσι σοφοὺς τοὺς λόγους. ἐντεῦθεν γοῦν τοῖς πολλοῖς οἱ ἐκ
τῶν εἰκότων ἔσθ' ὅτε λόγοι πρὸς κάλλος καὶ ἡδονὴν πεποικιλμένοι μᾶλλον τῶν εἰς
ἀκρίβειαν ἐξητασμένων νομίζονται σπουδαιότεροι, τῶν διδασκάλων οὐ πρὸς τὸ βέλτι-
στον ἁμιλλωμένων ἔτι καὶ σεμνόν, ἀλλὰ πρὸς τὸ ἀρέσαι καὶ εὐημερῆσαι, καθάπερ οἱ B
σοφισταί, οἳ μισθὸν αἴρονται τῶν λόγων, ἐπευωνιζόμενοι τῆς σοφίας ἐπαίνοις. τὸ
μέντοι παλαιὸν βραχὺ παντελῶς τὸ περὶ τὴν ἐξήγησιν ἦν, φιλοτιμουμένων μὴ τέρπειν,
ἀλλὰ ὠφελεῖν τοὺς παρόντας τῶν τότε. ἀφ' οὗ δὲ λοιπὸν εἰς ῥαστώνην ἐπετράπη πᾶσιν
ἑρμηνεύειν ἐξεῖναι τὰς γραφάς, καὶ πάντες εἰς τὸ ποιῆσαι μὲν τὸ καλὸν ἠμβλύνθησαν
πλησθέντες οἰήματος, περὶ τὸ λογικεύεσθαι δὲ προέκοψαν καλλωπιζόμενοι ὡς πάντα C
γινώσκειν ὑπάρχοντες δεινοί, διδάσκεσθαι μὲν ὁμολογεῖν χρῄζειν αἰδεσθέντες, φιλονει-
κεῖν δὲ μᾶλλον καὶ προπηδᾶν, ὡς οἱ διδάσκαλοι, θρασυνθέντες· ἐντεῦθεν γοῦν τοῦ
μὲν εὐλαβοῦς καὶ πρᾴου καὶ πάντα δύνασθαι ποιεῖν τὸν θεόν, ὡς ἐπηγγείλατο, πιστεύειν
ὠλίσθησαν, εἰς δὲ ζητήσεις κενὰς καὶ βλασφημίας ἥκασι, μὴ νοήσαντες ὡς οὐ τὰ ἔργα
τῶν λόγων ἐπετηδεύθη χάριν, ἀλλὰ τῶν ἔργων οἱ λόγοι, ὥςπερ ἰατρικῆς δι' ὧν τοὺς
κάμνοντας σώζεσθαι δεῖ τῶν λόγων ἔργοις κυρουμένης, ἵν' ἡρμοσμένων ἡμῶν πάντα
συμφώνως ὁ νοῦς εἴη τοῖς ἀρίστοις λόγοις τὰ ἤθη τῇ γλώσσῃ συνῳδὰ παρέχων δίκην D
λύρας, ἀλλὰ μὴ ἄμουσα καὶ ἀσύμφωνα. ἐπὶ γὰρ τῷ κτήσασθαι κατὰ ἀλήθειαν ἀγω-
νίζεσθαι δεῖ τὸ δίκαιον ἀσκεῖν, καὶ οὐκ ἐπὶ τῷ δοκεῖν, χωλῶς ἐπιβαίνοντα σοφίας,
καὶ πρὸς δόξαν μᾶλλον ἢ πρὸς ἀλήθειαν ἁμιλλώμενον, πρόθυρα καὶ προσχήματα καὶ
πᾶσαν ὑποδυσάμενον τῆς ὑποκρίσεως τὴν σκευήν.*

IX. *Εἰσὶ γάρ, εἰσὶν οἱ λόγων τραγικῶς κεκοσμημένων προβολαῖς καθάπερ γυναῖκες 564
ἔξωθεν ὡραϊζόμενοι πρὸς ἀπάτην ἐντέχνως, ἐὰν μή τις πεφυλαγμένως αὐτοῖς τῶν ἔτι
νεωτέρων προσβλέψῃ τῇ πίστει καὶ νηπτικῶς. ὅθεν εὐλαβητέον πρὸ τοῦ καταμαθεῖν
ἀσφαλῶς εἰς τὴν καρδίαν εἰςδέξασθαι τὸν τῶν τοιούτων λόγον. καὶ γὰρ φθάνουσιν οἱ*

ἐξαπατῶντες πολλάκις τοὺς διδάσκοντας, καθάπερ δὴ καὶ αἱ Σειρῆνες τοὺς φεύγοντας αὐτὰς κρύπτουσι μακρόθεν τὸ μισάνθρωπον τῇ καλλιφωνίᾳ. ἢ πῶς, ὦ Αὐξέντιε, ἔφην
B ἐγώ, σὺ ταῦτα τίθεσαι; καὶ ὃς ἀπεκρίνατο, Οὕτως καθάπερ καὶ σύ. Οὐκοῦν πάντας τῶν ἑτεροδόξων τοὺς σοφιστὰς μιμητὰς εἰδώλων ἀληθείας εἶναι λέγωμεν, ἀλήθειαν μὴ γινώσκοντας, καθάπερ ζωγράφους; καὶ γὰρ [1] οὗτοι μιμεῖσθαι μὲν ναυπηγοὺς καὶ πλοῖα καὶ κυβερνήτας ἐπιχειροῦσι, ναυπηγεῖν καὶ κυβερνᾶν οὐ γινώσκοντες. οὐκοῦν ἀποξέοντες θέλεις τὰ χρώματα πείθωμεν αὐτῶν τὰ θαυμάζοντα τὰς τοιαύτας γραφὰς παιδία ὅτι οὔτε τὸ πλοῖον τοῦτο πλοῖόν ἐστιν οὔτε ὁ κυβερνήτης κυβερνήτης, ἀλλὰ τοῖχος
C ἔξωθεν πρὸς τέρψιν χρώμασι καὶ γραφαῖς κεκοσμημένος, καὶ ὅτι μιμηταὶ μὲν εἰδώλου πλοίου καὶ κυβερνήτου οἱ δημιουργήσαντές εἰσιν ἀπὸ τῶν χρωμάτων ταῦτα, καὶ οὐ πλοίου; Μακρὸν τῷ ἀκοῦσαι ποθοῦντι τὸ προοίμιον. Ἀλλ' ὠφέλιμον, ἔφην, ὦ ἄριστε. τὰ γὰρ ἀπὸ τῶν θεοπνεύστων γραφῶν ῥήματα, οἷς ἐπιχρωματίζοντες ποικίλλουσιν ἑαυτῶν πρὸς ἀπάτην οὗτοι τὴν δόξαν, δικαιοσύνην αὐθαδῶς καὶ ἀλήθειαν ὀνομάζοντες, οὐ γινώσκοντες ὅλως δικαιοσύνην, εἴ τις ἀφέλοιτο, πόσον οἴει γυμνωθέντας αὐτοὺς τῶν τοιούτων ὀνομάτων χλευασθήσεσθαι; Πάνυ πολύ, ἔφη. Πότερον οὖν, ὦ Αὐξέντιε, ἦν
D δ' ἐγώ, σὺ βούλει ταύτης ἡγεμονεύειν τῆς ὁδοῦ, ἢ ἐγὼ ἡγῶμαι; Δίκαιος, ἔφη, σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου.

X. Οὐκοῦν ἐλέγετο (φέρε γὰρ πρὸς μέρος ἐξ ἀρχῆς ἀκολούθως τὸν Ἀγλαοφῶντος ἐξετάσωμεν νοῦν) ἡ ψυχὴ τὸ σῶμα διὰ τὴν παράβασιν ὃ περικείμεθα τοῦτο ἀνειληφέναι χρόνοις τοῖς ἄνω χωρὶς αὐτοῦ μακαρίως διάξασα; [2] τοὺς γὰρ δερματίνους εἶναι

1) *Οὗτοι .. οὐ γινώσκοντες.* Haec sua fecit personatus Origenes Dial. c. Marcionit. V. p. 131. ed. Wetsten.

2) Contra hanc Origenis sententiam, a me illustratam in Symbol. in Epiph. Pan. p. 31, Methodius p. 565, A. — 567, A. 546, A. — C. iis disputat, quibuscum confer Anastasii Sinaitae Contempl. anagogicas in Hexaëm., Graece nondum editas, lib. XI., Bibl. max. PP. T. 9. p. 920, E. — 930, A.: Graece in Cod. Monac. 146. p. 421. (ex apographo, quod editori petenti officiosissime transmisit Marc. Joseph. Muellerus, Dr. Phil., Classis philosophae et philologicae Academiae Regiae Bavaricae scientiarum et literarum Soc. Ord. idemque Secretarius, et linguarum orientalium in Universitate literarum Monacensi Prof. Ord.) *ἀπήτω (l. ἀπίτω) γὰρ ἡμῶν πόῤῥω ὠριγένης καὶ οἱ τοῦ ὠριγένους μύσται, τῶν ἡμετέρων ψυχῶν προΰπαρξιν μυθικῶς φανταζόμενοι. γεγονὼς γὰρ ἐκεῖνος καὶ ὑπάρξας καὶ εἰς ὀντότητα ἐλθὼν μετὰ τοῦ δερματίνου χιτῶνος, οὐκ οἶδα πόθεν ὁρμώμενος ἢ παρὰ τίνος τοῦτο λαβών, γυμνοὺς νόους πρὸ τῶν χιτώνων πάντῃ ἀφθάρτους καὶ ἀνεπιδέκτους θανάτου καὶ ῥεύσεως καὶ βρώσεως καὶ πόσεως καὶ ὕπνου, τὸν ἀδὰμ καὶ τὴν εὔαν ἐδογμάτισεν εἶναι. οὐ τὴν τερατώδη μανίαν ἀνατρέπων ὁ πολὺς ἐν σοφίᾳ μεθόδιος οὐ μίαν οὐδὲ δευτέραν, ἀλλὰ γὰρ καὶ δεκάτην ἡμῖν γραφικὴν ἀπόδειξιν παρίστησι δηλοῦσαν ὅτι σῶμα ἀληθῶς γηγενὲς καὶ χοϊκὸν τὸν ἄνθρωπον ἀπαρχῆς* (l. *ἀπ' ἀ.*) *ἐποίησεν ὁ θεός, καθὼς διὰ στόματος ἡμῖν παύλου φθέγγεται λέγων· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός· πρῶτον γὰρ τὸ χοϊκόν· εἶθ' οὕτως διὰ χριστοῦ τὸ πνευματικόν, ἵνα, καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου* [1 Cor. 15, 46, 47, 49.]. *εἰ γὰρ διὰ τῆς παρακοῆς, φησί, μετέπεσε καὶ ἀλλοιώθη* (l. *ἠλλ.*) *κατ' οὐσίαν ὁ ἄνθρωπος, ἄλλο ἀπ' ἄλλου ἀποδυσάμενος καὶ ἀμφιασάμενος σῶμα, ἠδικήθη ἐν τούτῳ ὑπὸ θεοῦ. ἔδει γὰρ καὶ τοὺς πολλῷ πλέον παρανομήσαντας δαίμονας πρὸ τοῦ ἀνθρώπου τοῦτο παθεῖν καὶ ἐξ ἀθανάτου καὶ ἀφθάρτου καὶ ἀΰλου φύσεως θνητὰ καὶ φθαρτὰ καὶ ῥευστὰ ἀμφιάσασθαι σώματα. δεύτερον πάλιν φησὶν ὁ πατὴρ ὅτι ἡ παραλλαγὴ τοῦ σχήματος τῶν παιδουργῶν μορίων τοῦ ἀδὰμ καὶ τῆς εὔας δείκνυσιν ὅτι ἐπὶ σαρκικῇ τεκνογονίᾳ καὶ σπορᾷ τοιαῦτα αὐτοῖς διεπλάσθη ὄργανα. τρίτον τὸ εἰπεῖν τὴν γραφὴν εὐθέως σὺν τῇ ποιήσει αὐτῶν ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς* [Gen. 1, 27.). *ἐπὶ* (l. *ἐπεὶ*) *ἀφθάρτου φύσεως καὶ ἀκτίστου τίς ἦν χρεία ἄῤῥενος καὶ θήλεος; τέταρτον ὅτι καὶ διὰ τῆς εὐλογίας τῆς ὑπὸ θεοῦ πρὸς αὐτοὺς ῥηθείσης αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν* [Gen. 1, 28.] *ἡ διὰ σπορᾶς καὶ τόκου σαρκικοῦ τεκνογονία αὐτῶν δείκνυται. πέμπτον τὸ πρὸ τῆς ἐκπτώσεως κοινὴν αὐτοῖς καὶ τοῖς κτήνεσι καὶ πετεινοῖς τὴν τῶν σπερμάτων ἀπὸ γῆς ποιήσασθαι ἐπιτροπὴν τὸν θεόν. ἕκτον φησὶ πάλιν ὁ διδάσκαλος· εἰ πᾶν τὸ εἰςερχόμενον εἰς τὸ στόμα εἰς ἀφεδρῶνα χωρεῖ κατὰ τὴν τοῦ κυρίου φωνὴν* [Matth. 15, 17.], *ἀδύνατον ἦν αὐτοὺς κοινῆς τῆς κτηνώδους μεταλαμβάνοντας σπερμοφαγίας μὴ καὶ τὴν ἴσιν* (l. *ἴσην*) *ὑπομένειν φθαρτώδη ἔκρισιν* (l. *ἔκκρ.*). *ἕβδομον ὅτι καὶ ἡ τοῦ ὕπνου ἔκστασις καὶ ἡ τομὴ τῆς πλευρᾶς ὑλικῆς καὶ γηγενοῦς σαρκός εἰσι γνωρίσματα, οὐ χώραν ἔχοντα ἐπὶ ἀθανάτου φύσεως. ὄγδοον, εἰ ἄϋλός τις καὶ ἀσώματος πρὸ τῆς παρακοῆς ὑπῆρχεν ὁ ἄνθρωπος, πῶς περὶ τῆς παρ' αὐτοῦ ληφθείσης πλευρᾶς φησι τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου;* [Gen. 2, 23.] *ἔννατον, εἰ ἄρα ὁ χριστὸς* [1 Cor. 15, 20. Col. 1, 18.] *ἀπαρχὴ καὶ πρωτότοκος λέγεται ἐκ τῶν νεκρῶν, ὡς πρῶτος δηλονότι ἄφθαρτον καὶ ἀθάνατον ἀναστήσας τὸ πανάγιον αὐτοῦ σῶμα, πῶς δυνατὸν πρὸ τοῦ πρωτοτόκου ἄλλον εἶναι ἐν ἀφθαρσίᾳ σαρκὸς καὶ ἀθανασίᾳ ὑπὸ θεοῦ γεγόνε* (l. *γεγονότα*) *ἄνθρωπον; δεκάτην δὲ πρὸς αὐτοὺς ποιεῖ τὴν ἀπόδειξιν ὁ πατὴρ ἐκείνην τὴν πρὸς τοὺς σαδδουκαίους τοῦ σωτῆρος φωνὴν τὴν φάσκουσαν ὅτι οἱ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν οὔτε ἐκγαμοῦσιν οὔτε ἐκγαμίζονται· οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται* [Luc. 20, 35, 36.]. *εἰ οὖν οὐ δύνανται ἀποθανεῖν οἱ ἐν ἀφθαρσίᾳ ὄντες, πῶς ἀπέθανεν ὁ ἀδάμ, εἴπερ ὠριγένης μυθεύεται ὅτι τοιοῦτοι ἐκ νεκρῶν ἀνιστάμεθα τῇ φύσει τοῦ σώματος οἷος ἦν ὁ ἀδὰμ πρὸ τῆς παραβάσεως; ἀλλὰ κατάδηλός ἐστιν ὠριγένης τὴν ἀνάστασιν τῆς σαρκὸς ἀπαρνούμενος. καὶ διὰ τοῦτο γυμνὰς ψυχὰς καὶ ἡμᾶς καὶ τὸν ἀδὰμ ὅτε γέγονε μυθεύεται δυσσεβῶς, προϋπαρχούσας τοῦ σώματος. ἀσφαλεστέρου μὲν οὖν καὶ κρείττονος καθ' ὑπεροχὴν τὸν πρωτόπλαστον τυχεῖν σώματος ὁ λέγων, φησὶν ὁ αὐτὸς μεθόδιος, οὐκ ἂν ἁμάρτῃ* (l. *ἁμάρτοι*), *μέσιν* (l. *μέσην*) *τινὰ τάξιν φθορᾶς καὶ ἀφθαρσίας ἔχοντος. τοῦτο γὰρ καὶ ὁ πολύσοφος ἐμπεδοῖ σολομὼν φάσκων ὅτι ἐπ' ἀφθαρ-*

*χιτῶνας σώματα, εἰς ἃ ἐνεῖρχθαι συνέβη τὰς ψυχάς, δίκην ὅπως ὧν ἔδρασαν νεκρο- 565
φοροῦσαι παράσχωσιν. ἢ οὐ ταῦτα πρῶτον ἦν ἐν ἀρχῇ τὰ λεχθέντα ὑπὸ σοῦ, ἰατρέ;
ἀλλ᾽ ἴθι ὑπόμνησον, ἐάν τί σοι φαίνωμαι μὴ μεμνημένος. Οὐδὲν νῦν ὑπομνήσεως εἰς
τοῦτο δέῃ· αὐτὰ ταῦτα γὰρ ἦν ἐν πρώτοις ἡμῖν τὰ εἰρημένα. Τί δέ; οὐχὶ καὶ τοῦτο
ἐν τοῖς ἑξῆς ἐλέγετο πολλαχῶς ὑπὸ σοῦ, ὡς ἐμποδὼν πρὸς τὴν κατάληψιν ἡμῖν τὸ
σῶμα τῶν ὄντως ὄντων καὶ γνῶσιν διὰ τὰς πρὸς τὸ κοσμεῖν ἀσχολίας αὐτὸ καὶ θερα-
πεύειν γίγνεται καὶ τὰς ἄλλας τὰς περὶ τὴν ἐπιθυμίαν τῆς γαστρὸς προςβολάς, ἔτι τε
βλασφημιῶν καὶ παντοίων αἴτιον ἁμαρτημάτων, διὰ τὸ μὴ δύνασθαι καθ᾽ ἑαυτὴν δίχα B
σώματος ὅλως ἁμαρτῆσαι ψυχήν· καὶ διὰ τοῦτο μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκτὸς
ἁμαρτήματος ὅπως ἔσοιτο καὶ παρακοῆς ἐν τοῖς οὐρανοῖς, ἔνθα καὶ τὰς διατριβὰς
ἕξει μετὰ τῶν ἀγγέλων, ἐλευθέραν αὐτὴν καὶ γυμνὴν χρῆναι διαμεῖναι σώματος, ἐπει-
δήπερ τὸ σῶμα τοῦ χραίνεσθαι τοῦτο καὶ ἁμαρτάνειν παραίτιον αὐτῇ καὶ συνεργὸν
γίγνεται· ἄνευ γὰρ σώματος ἀμήχανον ἁμαρτῆσαι ψυχήν· ὅθεν ἵνα τὸν ἄπειρον ἀνα-
μάρτητος αἰῶνα τηρηθῇ, οὐκέτι τὸ ταλαντεῦον αὐτὴν εἰς τὴν φθορὰν κάτω καὶ τὴν C
ἀδικίαν σῶμα λήψεσθαι; Ἀλλ᾽ ἐλέχθη καὶ τοῦτο. Τί δέ; καὶ καλῶς σοι τοῦτο καὶ
ὀρθῶς, ἔφην, ἥγησαι λελέχθαι; Καὶ τί σοι, ἔφη, τοῦτο διαφέρει, ἀλλὰ οὐκ ἐξελέγ-
χεις τὸν λόγον; Οὐδέν, ἦν δ᾽ ἐγώ, ἀλλὰ δι᾽ ἃ εἴρηκας, ὅπως ἐξετάζηται ὁ λόγος.
Καλῶς καὶ ὀρθῶς, ἔφη. Καλῶς δέ σοι δοκεῖ τίθεσθαι καὶ ὀρθῶς ὁ ἑαυτῷ τἀναντία
λέγων καὶ ἀσύμφωνα; Οὐδ᾽ ὁπωστιοῦν. Ἀμούσως γὰρ οὕτως σοι φαίνεται τὴν ἀλή-
θειαν ὑποκρίνεσθαι; Πάντων μάλιστα, ἔφη. Οὐκ ἄρα ἀποδέχῃ τὸν τὰς ἁμαρτίας ἐν-
τείνοντα πρὸς τὸ ψευδὲς μέλος τῶν λόγων; Οὐδ᾽ ὁπωστιοῦν. Οὐκοῦν οὐδὲ σεαυτοῦ D
λέγοντος ἀμούσως οὐδ᾽ ὁτιοῦν ἀποδέξῃ. δοὺς γὰρ ἀσωμάτως ἡμαρτηκέναι τὰς ψυχάς,
ἀποσφαλείσας τῆς ἐντολῆς, καὶ φράσας διὰ τὴν ἀνομίαν τοὺς χιτῶνας αὐταῖς ὕστερον
τοὺς δερματίνους δεδωκέναι τὸν θεόν, ἵνα δίκην νεκροφοροῦσαι παράσχωσι, χιτῶνας τὰ
σώματα φράσας, προϊόντος τοῦ λόγου ἐπιλαθόμενος ἃ τὸ πρῶτον ὑπέθου, μὴ δύνα-
σθαι καθ᾽ ἑαυτὴν τὴν ψυχὴν ἁμαρτῆσαι λέγεις. οὐ πεφυκέναι γὰρ ὅλως πρὸς τοῦτο, 566
ἀλλὰ παραίτιον αὐτῇ παντοίων κακῶν τὸ σῶμα γεγονέναι. ὅθεν πρὸς τὸ μὴ παρορμη-
θῆναι πρὸς ἀδικίαν αὐτὴν αὖθις, καθάπερ συνέβη καὶ πρόσθεν ὑπὸ τοῦ σώματος,
οὕτως εἰς τοὺς αἰῶνας αὐτὴν ἔσεσθαι χωρὶς αὐτοῦ, καίτοι πρῶτον εἰπὼν ἐν τῷ παρα-
δείσῳ πρὸ τοῦ σώματος τὴν ψυχήν, ὁπότε ἔτι μακαρία καὶ ἀναλγὴς ἦν, ἡμαρτηκέναι.
παραβάσῃ γὰρ τὴν ἐντολήν, καὶ κεκρατημένῃ ἤδῃ διὰ τὴν πρὸς τὸν ὄφιν πειθὼ ὑπὸ
τῆς ἁμαρτίας, δεσμὸν αὐτῇ τὸ σῶμα δεδόσθαι τιμωρόν. ὥστη ἢ τὸ πρότερον, ἢ τὸ
ὕστερον οὐκ ὀρθῶς ἔχει. ἤτοι γὰρ πρὸ σώματος ἥμαρτε, καὶ οὐδέν τι μᾶλλον κἂν μὴ B
λάβῃ σῶμα ἁμαρτήσεται, καὶ μάταιος ἡ περὶ τοῦ μὴ ἀνίστασθαι τὸ σῶμα περισσο-
λογία· ἢ μετὰ σώματος, καὶ οὐ δύνανται σῶμα οἱ χιτῶνες νομίζεσθαι εἶναι οἱ δερ-
μάτινοι. εὑρίσκεται γὰρ πρὸ τῆς κατασκευῆς αὐτῶν ἀθετήσας ὁ ἄνθρωπος τὴν θείαν
ἐντολήν· οὗ καὶ χάριν οἱ χιτῶνες κατασκευάζονται, τὴν γύμνωσιν τὴν ἀπὸ τῆς ἁμαρ-
τίας αὐτῶν προςγενομένην καλύψαντες. ἀλλὰ πότερον πείθω σε, καὶ ὁρᾷς ὡς ἑαυτῷ
μαχόμενα ὑπέθου, καί σοι τοῦτο γεγένηται σαφές; ἢ οὐδέπω μανθάνεις, ὦ Ἀγλαοφῶν, C
ἔφην, ὃ λέγω; Μανθάνω, ἔφη, καὶ οὐκέτι δέομαι δεύτερον ἀκοῦσαι· ἀλλὰ ἔλαθον
ἐμαυτὸν οὐκ ὀρθῶς εἰπών. ἀνάγκη γάρ μοι δεδωκότι τοὺς δερματίνους χιτῶνας εἶναι
τὰ σώματα ὁμολογεῖν, καὶ πρὶν εἰς τὸ σῶμα τὴν ψυχὴν ἐληλυθέναι ἡμαρτηκέναι, ἀνθ᾽
ὧν πρὸ τῆς κατασκευῆς αὐτῶν ἡ παράβασις ἐγένετο (διὰ τὴν παράβασιν γὰρ οἱ χιτῶ-
νες αὐτοῖς κατασκευάζονται, καὶ οὐχ ἡ παράβασις διὰ τοὺς χιτῶνας γίγνεται), καὶ ἐκ
ταύτης τῆς ὁμολογίας συγκατατίθεσθαι ὡς οὐ τὸ σῶμα τοῦτο παραίτιον κακίας ἐστίν, D
ἀλλ᾽ αὐτὴ ἡ ψυχὴ ἐν ἑαυτῇ. διὸ κἂν μὴ λάβῃ τὸ σῶμα, ἁμαρτήσεται, ἐπειδήπερ καὶ
πρόσθεν ἥμαρτε χωρὶς σώματος. καὶ ἀνόητον τὸ λέγειν ἀναβιῶναι μὴ δύνασθαι τὸ
σῶμα διὰ τοῦτο [τὴν σάρκα], ἵνα μὴ παραίτιον τῇ ψυχῇ τοῦ ἁμαρτῆσαι γενηθῇ. ἁμαρ-
τήσεται γάρ, ὥςπερ καὶ πρὸ τοῦ σώματος ἥμαρτεν, οὕτως καὶ μετὰ τὴν τοῦ σώματος
ἀπόθεσιν, κἂν μὴ αὖθις τὸ σῶμα ἀπολάβῃ. ὅθεν ἀνάγκη μοι διὰ ταῦτα μήτε ἐμαυτοῦ
μήτε ἄλλου ἀποδέχεσθαι λέγοντος τοὺς δερματίνους χιτῶνας εἶναι τὰ σώματα. εἰ δὲ 567
ἀποδεξαίμην, ὁμολογεῖν χρή με καὶ τὰ εἰρημένα.*

σίᾳ ἐποίησεν θεὸς τὸν ἄνθρωπον [Sap. 2, 23.], *τουτέστι μέσον τινὸς* (l. *τινὰ*) *ἀῤῥευσίας καὶ ῥεύσεως, ὅπως ἢ τοῦ κρείττονος ἑλόμενος* (*ὡς καὶ γρηγορίῳ δοκεῖ τῷ θεολόγῳ*) *πρὸς τελείαν ἀφθαρσίαν καὶ ἀθανασίαν ὁδεύῃ, ἢ τοῦ χείρονος πάλιν ἀψάμενος τέλειον ὑπομένῃ τὸν θάνατον· ὃ δὴ καὶ γέγονε κατὰ τὴν εἰποῦσαν φωνὴν αὐτῷ ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ* [Gen. 3, 19.]. Haec si Anastasius ex Methodii opere *περὶ ἀναστάσεως* depromsit (quod veri est simillimum), fatendum est, ea neque eodem ordine, neque eadem amplitudine in Excerptis Epiphanianis comparere. Nam ex argumentis, quibus Anastasius Methodium contra Origenem pugnasse testatur, nonnisi tertio, quarto et octavo, neque iisdem verbis Methodius ap. Epiphan. p. 546, C. et 546, A. B. utitur. Scripturae locis, ab Anastasio in argumento decimo et in clausula commemoratis, utitur quidem Methodius p. 557, D. 557, C. 545, D. sed longe aliter atque Anastasius refert.

XI. [1] *Τί δέ; οὐχὶ κἀκεῖνο, ἔφην, ὦ Ἀγλαοφῶν, δοκεῖ σοι μὴ ὀρθῶς ἔχειν; Τὸ*
Thren. 3, 34. *ποῖον; Τὸ λέγειν, ἦν δ' ἐγώ, δεσμὸν καὶ πέδας τὸ σῶμα μεμηχανῆσθαι κατὰ τῆς ψυ-*
Psal. 145, 7. *χῆς, καὶ ὅτι καὶ ὁ προφήτης δεσμίους ἡμᾶς γῆς ἔφη διὰ τοῦτο, καὶ ὁ Δαβὶδ πεπεδη-*
μένους. καὶ ὅς, Οὐκ ἔχω σοι προχείρως ἀποκρίνασθαι, ἔφη. ἀλλὰ τί ἄλλῳ οὐ δια-
B *λέγει; καὶ ἐγὼ (ᾐσθόμην γὰρ ἐρυθριῶν αὐτόν, φεύγοντα ἐλεγχθῆναι τὸν λόγον) Οἴει*
γάρ με κατὰ φθόνον ἐπιχειρεῖν σε ἐλέγξαι, ἔφην, καὶ μὴ τὸ προκείμενον καταφανὲς
φιλονεικεῖν ποιῆσαι; ἀλλ', ὠγαθέ, μὴ ἀποκάμῃς ἀνερωτώμενος. ὁρᾷς γὰρ ὡς οὐ περὶ
μικρῶν εἰσιν ἡμῖν οἱ λόγοι, ἀλλ' ὅντινα χρὴ τρόπον πεπιστευκέναι· καὶ γὰρ οὐδὲν
οἶμαι τοσοῦτον κακὸν ἀνθρώπῳ γενέσθαι, ὅσον ἀπὸ τῶν ἀναγκαίων, ὁπόταν ψευδῆ
περὶ αὐτῶν δοξάζῃ. ἴθι οὖν προθύμως πρὸς τὰ ἐρωτώμενα ἀποσάφει, καὶ ἐάν τί σοι
C *λέγειν ἀληθὲς μὴ δοκῶ, μᾶλλον τῆς ἀληθείας φροντίσας ἢ ἐμοῦ ἔλεγξον.* [2] *μεῖζον γὰρ*
ἀγαθὸν τὸ ἐλεγχθῆναι τοῦ ἐλέγξαι νομίζω, ὅσῳ μεῖζόν ἐστι τὸ αὐτὸν ἀπαλλαγῆναι
κακοῦ τοῦ ἄλλον ἀπαλλάξαι. φέρε οὖν παρ' ἀλλήλους παραβάλλοντες τοὺς λόγους σκε-
ψώμεθα εἴ τι διοίσουσιν ἀλλήλων. καὶ γὰρ τυγχάνει περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ
σμικρὰ ὄντα, ἀλλὰ περὶ ὧν εἰδέναι τε κάλλιον, μὴ εἰδέναι τε αἰσχρόν. οὐκοῦν σὺ μὲν
οὐ νομίζεις ἀναβιῶναι τὸ σῶμα, νομίζω δὲ ἐγώ. Πάνυ μὲν οὖν, ἔφη, καὶ δι' ἃ εἴ-
ρηκα. Καὶ σὺ δέ, ἦν δ' ἐγώ, δεσμὸν αὐτὸ καὶ φυλακὴν καὶ σῆμα καὶ ἄχθος καὶ πέ-
D *δας εἶναι ἔφης, ἐγὼ δὲ οὔ φημι. Ἀληθῆ, ἔφη, μοι λέγεις. Καὶ μὴν δι' ἀκολασίας*
καὶ πλάνης καὶ λύπης καὶ θυμοῦ καὶ συλλήβδην τῶν ἄλλων ἁπάντων, ὧν εἶναι παραί-
τιον αὐτὸ κακῶν ἔφης, ἐμποδίζει ἡμῖν τὴν πρὸς τὸ κάλλιον ὁρμὴν τῆς ψυχῆς, μὴ ἐῶν
τῶν ὄντως ὄντων εἰς κατάληψιν ἡμᾶς καὶ γνῶσιν παρελθεῖν. κἂν γὰρ ἐπιχειρήσωμεν
θηρεῦσαί τι τῶν ὄντων, ἀεὶ παρεμπίπτων ζόφος ζοφοῖ τὸν λογισμόν, μὴ ἐπιτρέπων
ἡμᾶς ἐπισκοπῆσαι τὸ ἀληθὲς τρανῶς. ἀπάτης μὲν γὰρ ἡ διὰ τῶν ὤτων ἡμῶν πεπλή-
568 *ρωται σκέψις, ὡς ἔφης, ἀπάτης δὲ καὶ ἡ διὰ τῆς ὄψεως, ἀπάτης δὲ καὶ ἡ διὰ τῶν*
ἄλλων αἰσθήσεων. Ὁρᾷς, ἔφη, ὦ Εὐβούλιε, ὡς ἐγὼ ἕτοιμός εἰμί σε ἐπαινεῖν, ὁπόταν
ὀρθῶς διασαφῇς τοὺς λόγους;

XII. [3] *Ἆρ' οὖν, ἵνα δή με καὶ μᾶλλον ἐπαινέσῃς, εἰ δεσμὸς τὸ σῶμα καθ' ὑμᾶς*
δοκεῖ, οὐ δύναται κακίας ὑπαίτιον εἶναι νομίζεσθαι τῇ ψυχῇ καὶ ἀδικίας ἔτι, ἀλλὰ
σωφροσύνης ἀντιστρόφως καὶ παιδείας; ὧδε δὲ σκόπει· οὕτω γὰρ ἂν μᾶλλον ἀκολου-
θήσειας· ποῖ ἄγομεν τοὺς τὰ σώματα κάμνοντας; οὐ παρὰ τοὺς ἰατρούς; Δῆλον, ἔφη.
B *Ποῖ δὲ τοὺς ἁμαρτάνοντας; οὐ παρὰ τοὺς δικαστάς; Ἀνάγκη. Οὐκοῦν δίκην ὧν ἔδρα-*
σαν δώσοντας, ἔφην, δικαίως; Ναί. Τὸ δὲ δίκαιον πᾶν καλόν; ὡμολόγει. Ὁ δὲ δι-
καίως κρίνων καλῶς ποιεῖ· δικαίως γὰρ κρίνει; συνέφη. Τὸ δὲ καλὸν ὠφέλιμον;
Φαίνεται. Ὠφελοῦνται ἄρα οἱ κρινόμενοι· ἀναιρεῖται γὰρ αὐτῶν ταῖς βασάνοις ἡ πονη-
ρία κωλυομένη, καθάπερ καὶ πρὸς τῶν ἰατρῶν τομαῖς καὶ φαρμάκοις αἱ νόσοι. τὸ
γὰρ ἀδικοῦντα διδόναι δίκην ἐπανορθοῦσθαι τὴν ψυχήν ἐστι, τὴν μεγάλην νόσον ἀδι-
κίαν ἀποβάλλοντα. ὡμολόγει. Τί δέ; οὐ κατὰ ἀναλογίαν τῶν ἁμαρτηθέντων τὰς κο-
C *λάσεις τοῖς κολαζομένοις δικαίως προςφέρεσθαι φής, καθάπερ καὶ τοῖς ἰατρευομένοις*
κατὰ ἀναλογίαν τῶν τραυμάτων τὰς χειρουργίας; ἐπένευσεν. Οὐκοῦν ὁ μὲν θανάτου
δράσας ἄξια τιμᾶται θανάτῳ τὴν δίκην, ὁ δὲ πληγῶν πληγαῖς, ὁ δὲ δεσμῶν δεσμοῖς;
ὡμολόγει. Ζημιοῦται δὲ ὁ ὀφλήσας, ἔφην, δεσμοῖς ἢ πληγαῖς ἢ ἄλλῃ τινὶ τοιαύτῃ
τιμωρίᾳ, ὅπως παύσηται μεταγνοὺς τοῦ ἀδικεῖν, ξύλον καθάπερ διεστραμμένον βασά-
νοις εὐθυνόμενος; Ἀληθέστατα, ἔφη, λέγεις. Τιμωρεῖται γὰρ αὐτὸν οὐ τοῦ παρελη-
λυθότος ἐγκλήματος ἕνεκα ὁ δικαστής, ἀλλὰ τοῦ μέλλοντος, ὅπως μὴ καὶ αὖθις ποιήσῃ.
D *Τοῦτο δῆλον, ἔφη. Ὁ γὰρ δεσμὸς αὐτῷ δῆλον ὡς τὴν πρὸς τὸ ἀδικεῖν ὁρμὴν ἀναιρεῖ,*
μὴ ἐπιτρέπων ποιεῖν ἃ θέλει. Ἀληθές. Οὐκοῦν εἴργεται τοῦ ἁμαρτάνειν, τῶν δεσμῶν
μὴ ἐώντων ἐλευθεριάζοντα χρῆσθαι ταῖς ἡδοναῖς, ἀλλὰ συστελλόντων καὶ τὸ δίκαιον
διδασκόντων τιμᾶν, ἔστ' ἂν ἀπομάθῃ νουθετούμενος σωφρονεῖν; Φαίνεται, ἔφη. Οὐδὲ
569 *τοίνυν παραίτιος ὁ δεσμὸς γίγνεται τοῦ πλημμελεῖν. Ἔοικε. Σωφρονίζει γὰρ καὶ ποιεῖ*
δικαιοτέρους, ἀλεξιφάρμακον ὢν ψυχῆς, αὐστηρὸν μὲν καὶ δηκτικόν, ἀλλ' ἰατικόν.
Δῆλον, ἔφη. Τί γάρ φέρε, ἐξετάζωμεν πάλιν τὰ ἔμπροσθεν. οὐ δεσμὸν τὸ σῶμα διὰ
τὴν παράβασιν δέδωκας εἶναι τῆς ψυχῆς; Καὶ δίδωμι, ἔφη. Ἁμαρτάνειν δὲ τὴν ψυχὴν
μετὰ σώματος, εἴπερ τὸ μοιχᾶσθαι, φονεύειν τε καὶ ἀσεβεῖν ἁμαρτία σοι δοκεῖ, ἃ

1) Pag. 567, A. *Τί δέ; ..* (p. 570, B.) .. *τοῦ θεοῦ δεθῆναι πέδαις.* In Excerptis ex Methodii opere *περὶ ἀναστάσεως*, quae apud Photium Biblioth. cod. 234. exstant, haec p. 293, *a*. 5. — 10. 13—29. in breve contracta reperiuntur. Excerptorum apud Photium haec est inscriptio p. 293, *a*. 1—3. *Ἀνεγνώσθη τοῦ ἁγίου Μεθοδίου, ἐπισκόπου καὶ μάρτυρος, ἐκ τοῦ περὶ ἀναστάσεως λόγου, οὗ ἡ ἐκλογὴ τὰ ὑποκείμενα λέγει.*

2) *Μεῖζον ... ἄλλον ἀπαλλάξαι.* Haec cum simplici lemmate: *Μεθοδίου*, apud Io. Damasc. Parall. SS. Opp. ed. Lequien. T. II. p. 331, D. exstant.

3) Totam, quae hoc capite continetur, argumentationem Methodio furatus est personatus Origenes Dial. c. Marcionit. V. p. 137 sq. ed. Wetsten.

μετὰ τοῦ σώματος ἡ ψυχὴ ποιεῖ; ἐπένευσεν. Ἀλλὰ τὸν δεσμώτην ὡμολογήσαμεν μὴ
δύνασθαι ἀδικεῖν; Ὡμολογήσαμεν, ἔφη. Κωλύεσθαι δὲ ἀλγυνόμενον ὑπὸ τῶν δεσμῶν; B
Ναί. Δεσμὸς δὲ ἡ σὰρξ τῆς ψυχῆς; ἐπένευσεν. Ἀλλὰ ἁμαρτάνομεν ὄντες ἐν σαρκί,
ὁμοδοξούσης ἡμῖν εἰς τοῦτο τῆς σαρκός; Ἁμαρτάνομεν, ἔφη. Ὁ δὲ πεπεδημένος οὐ
δύναται ἁμαρτάνειν; καὶ ἐνταῦθα ἐπένευσεν. Ἄγχεται γάρ. Ναί. Μὴ ἐώμενος ὑπὸ τοῦ
δεσμοῦ; Δῆλον. Ἀλλὰ τὸ μὲν σῶμα πρὸς τὸ ἁμαρτῆσαι συνεργόν. Ναί. Εἴργει δὲ ὁ
δεσμός; συνέφη. Οὐκ ἄρα τὸ σῶμα ὁ δεσμός, οὔτε κατὰ σὲ οὔτε κατὰ ἄλλον, ἔφην,
ὦ Ἀγλαοφῶν, ἀλλὰ πρὸς ἑκάτερον τῇ ψυχῇ συνεργόν, εἴτε πρὸς τὸ ἀγαθὸν εἴτε πρὸς C
τὸ κακόν. συνεχώρει.

XIII. Οὐκοῦν οὕτω δὴ τούτων ἐχόντων ἀπολόγησαι, ὦ Ἀγλαοφῶν, πρὸς ἃ πρῶ-
τον ὑπέθου. ἔφης γὰρ δεσμὸν καὶ εἱρκτὴν καὶ πέδας τὸ σῶμα τῆς ψυχῆς ἐν τοῖς ἔμ-
προσθεν. καὶ ὁρᾷς ὡς οὐ συνᾴδουσι τούτοις ἃ ἔφης; πῶς γὰρ συνᾴδοιεν, εἴπερ γε
ἀνάγκη, ὦ ἄριστε, δεσμὸν μὲν τὴν σάρκα νομίζεσθαι, τὴν δὲ ψυχὴν συνεργῷ πρὸς D
ἀδικίαν χρῆσθαι καὶ συμπράκτορι τῷ δεσμῷ, ὅπερ ἀδύνατον; [1] εἰ γὰρ διὰ τὴν ἁμαρ-
τίαν βασανιστήριον ἐδόθη, πρὸς τὸ ἀλγυνθεῖσαν εἰς τὸ τιμᾶν τὸν θεὸν παιδευθῆναι
τὴν ψυχήν, πῶς συνεργεῖ καὶ συναγωνίζεται τὸ σῶμα αὐτῇ πρὸς τὸ ἀδικεῖν; δεσμοὶ
γὰρ καὶ φυλακαὶ καὶ πέδαι καὶ συλλήβδην αἱ τοιαῦται πᾶσαι πρὸς ἐπανόρθωσιν τιμω-
ροὶ μηχαναὶ ἐφεκτικαὶ τοῦ ἀδικεῖν καὶ ἁμαρτάνειν τοῖς καλαζομένοις γίγνονται. οὐ
γὰρ ὅπως ὁ ἀδικήσας ἀδικήσῃ πλέον συνεργὸς αὐτῷ πρὸς τὸ ἀδικεῖν ὁ δεσμὸς δίδοται,
ἀλλ' ὅπως λήξῃ τοῦ ἀδικεῖν, βασανιζόμενος διὰ τῶν δεσμῶν. καὶ γὰρ οἱ δικασταὶ 570
ταύτῃ πεδοῦσι τοὺς φαύλους. κωλύονται γάρ, κἂν μὴ βούλωνται, κακοποιεῖν ὑπὸ τῶν
δεσμῶν. ἐλευθεριαζόντων δὲ τὸ κακουργεῖν ἐστι καὶ ζώντων ἀφυλάκτως, ἀλλ' οὐ πε-
πεδημένων. ὁ δὲ ἄνθρωπος πρῶτον μὲν ἐφόνευσε, κατὰ τὸν Κάϊν, ηὐξήθη πρὸς ἀπι-
στίαν, εἰδώλοις προσέσχεν, ἀπεστάτησε θεοῦ. καὶ πῶς αὐτῷ δεσμὸς τὸ σῶμα ἐδόθη;
ἢ πῶς ὁ θεὸς μετα τὸ πρὸ σώματος ἀνομῆσαι τὸν ἄνθρωπον συνεργὸν πρὸς ἀδικίαν
αὐτῷ μείζονα τὸ σῶμα ἔδοτο; πῶς δὲ καὶ μετὰ τὴν κατασκευὴν τοῦ δεσμοῦ τό „ἰδού, B
πρὸ προσώπου σου“ λέγεται „τέθεικα τὴν ζωὴν καὶ τὸν θάνατον, ἔκλεξαι τὴν ζωήν, Deut. 30, 15, 19.
τὸ ἀγαθὸν καὶ τὸ πονηρόν,“ καὶ „ἐὰν θέλητε καὶ εἰςακούσητέ μου.“ ταῦτα γὰρ ὡς Esai. 1, 19.
αὐτῷ ἐξουσιάζοντι, καὶ οὐχ ὡς ὑπὸ δεσμὰ καὶ ἀνάγκην ἀγομένῳ ἐῤῥήθη. ὥστε ἐκ
παντὸς συνίστασθαι μήτε πέδας ἢ φυλακὴν ἢ δεσμοὺς νομίζειν τὸ σῶμα μήτε δεσμώ-
τιδας γῆς διὰ ταῦτα τὰς ψυχάς, χοϊκαῖς κατακρίνοντος αὐτὰς τοῦ θεοῦ δεθῆναι πέδαις.
πῶς γάρ, ὁπότε μὴ δύναται ἀποδειχθῆναι τοῦτο; [2] ἄτοπον δὲ κἀκεῖνο προφανῶς τὸ C
οἴεσθαι τὸ σῶμα ἐν τῇ κατὰ τοὺς αἰῶνας διαγωγῇ μὴ συνέσεσθαι τῇ ψυχῇ διὰ τὸ
δεσμὸν αὐτὸ καὶ πέδας εἶναι, ἵνα μὴ αἰώνιοι γενώμεθα κατάκριτοι δεσμῶται κατ'
αὐτοὺς φθορᾶς, ἐν τῇ βασιλείᾳ τοῦ φωτὸς ἐσόμενοι. λελυμένου γὰρ ἱκανῶς καὶ ἐξε-
λεγχθέντος τοῦ λόγου, ἐν ᾧ δεσμὸν τῆς ψυχῆς ὡρίσαντο εἶναι τὴν σάρκα, λέλυται
καὶ τό, ἵνα μὴ δεσμῶται δι' αὐτὴν ἐν τῇ βασιλείᾳ τοῦ φωτὸς ἣν ἀπολαμβάνομεν ἐσώ-
μεθα, διὰ τοῦτο οὐκ ἀναστήσεσθαι.

XIV. Ποταπὸν γὰρ λοιπὸν εἰς πειθὼ τοῖς δυςχεραίνουσιν ἕτερον ἀλήθευμα χρὴ D
δεικνύναι, [3] εἰ τῶν εἰρημένων ἐναργέστερον οὐκ ἀνέξονται; ἀλλὰ ταύτην μὲν αὐτῶν τὴν 540, B
φιλονεικίαν καὶ ἐκ τούτων ἄν τις καὶ ἐξ ἑτέρων ἐλέγχοι πλειόνων. ἀποδείξομεν γὰρ ἐν
τοῖς ἑξῆς προβαίνοντος τοῦ λόγου φύσεως ἀληθεύμασι καὶ οὐκ εἰκασίαις μήτε τὸν Ἱε-
ρεμίαν δεσμίους ἡμᾶς γῆς διὰ τὴν πρὸς τὸ σῶμα κοινωνίαν εἰρηκέναι μήτε τὸν Δαβὶδ Thren. 3, 34.
κατὰ τοῦτο πεπεδημένους. ἄξιον γὰρ καὶ ταῦτα προφέρειν ἐν οἷς μάλιστα φαίνονται Psal. 145, 7.
διαπίπτοντες. περὶ μὲν οὖν τῶν δερματίνων χιτώνων, καὶ ὅτι πρὸ τῆς κατασκευῆς αὐ-
τῶν οἱ πρωτόπλαστοι διῆγον μετὰ σώματος, ἀθανασίας ἀπολαύοντες, ἔτι τε καὶ ὡς
οὐ δύναται τὸ σῶμα δεσμὸς καὶ εἱρκτὴ νομίζεσθαι, τὰ προςήκοντα εἰπών, ὦ ἄνδρες C
δικασταί (δικαστὰς γὰρ ὑμᾶς τῶν λόγων, ὦ κράτιστε Θεόφιλε, καλῶ), τρέψομαι λοι-
πὸν ἐπὶ τὰ ἀκόλουθα, καθάπερ ὑπεσχόμην, τῶν προκειμένων, ἵν' εὐκρινέστερον ἴδωμεν
ὃ βουλόμεθα.

1) *Εἰ γὰρ* .. (570, A.) .. *βασανιζόμενος διὰ τῶν δεσμῶν.* Iustinianus Epist. ad Menam, Act. Concil. ed. Hard. T. III. p. 247, C. D., haec exscripsit, neglecta quidem celati Methodii elegantia.

2) *Ἄτοπον ... ἐν τῇ βασιλείᾳ τοῦ φωτὸς ἐσώμεθα.* „Haec attulit Leontius [imo Anastasius Presb. in Doctrina Patrum de verbi incarnatione, cap. 25.] in Maii Scriptor. vet. nova collect. T. 7. p. 49. [col. 2. — p. 50, col. 1.] (cum lemmate *τοῦ ἁγίου Μεθοδίου ἐπισκόπου καὶ μάρτυρος ἐκ τῶν παρ' Ἐπιφανίου τοῦ τρισμάκαρος ἐν τῷ β' βιβλίῳ τῶν Παναρίων κατὰ Ὠριγένους γραφέντι*) et usque ad *ἀναστήσεται* [D. leg. *ἀναστήσεσθαι*] apposuit Combefisius in Gallandi Bibl. Patr. T. 3. p. 773, A. ex libris Rupif. et Sirmondi [de quibus vid. Combefis. in Gallandi Prolegom. sect. 5.].“ Dindorf. Annot. p. 774. Lemma loci, quem Combefis. ex cod. Rupif. Parallelorum SS. Io. Damasceni apposuit, ita habet ap. Lequien. T. II. p. 763, A. *τοῦτο τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου Πατάρων ἐστίν.*

3) Post *δεικνύναι* vulgo pergi solebat (ed. Petav. infra p. 570, D.): *εἰς παγίδα τὴν σάρκα* cet. Vid. supra annot. ad p. 540, A.

XV. Ὁ τῶν ὅλων δημιουργὸς θεός, ἐπειδὴ τὸ πᾶν εὐτάκτως συνεστήσατο, καθάπερ
μεγάλην πόλιν, καὶ διεκόσμησε προστάσσων τῷ λόγῳ, ἕκαστόν τε αὐτῷ συμφώνως ἡρ-
D μόσατο στοιχεῖον καὶ πάντα ζώων πεπλήρωτο διαφοραῖς, ἵνα τελέως ὁ κόσμος εἰς κάλ-
λος αὐξηθῇ, παντοίας φύσεως ζωοτοκήσας μορφάς, ἄστρα μὲν κατὰ τὸν οὐρανὸν καὶ
πτηνὰ κατὰ τὸν ἀέρα, τετράποδα δὲ κατὰ τὴν γῆν καὶ νηκτὰ κατὰ τὸ ὕδωρ, τελευ-
ταῖον τὸν ἄνθρωπον, προετοιμάσας ὥς οἰκίαν αὐτῷ καλλίστην τὸ πᾶν, μίμημα τῆς
ἰδίας εἰκόνος ἐμφερὲς εἰς τὸν κόσμον εἰςήγαγεν, ἄγαλμα ὡς ἐν ναῷ φαιδρῷ καλὸν ταῖς
541 ἑαυτοῦ χερσὶ κατασκευάσας. ἠπίστατο γὰρ ὅτι πάντως, ὅπερ ἂν τῇ ἑαυτοῦ τεχνήσηται
χειρί, ἐξ ἀνάγκης ἔσται ἀθάνατον, ἅτε ἀθανασίας ἔργον. ἀθανασίᾳ γὰρ ἀθάνατα τὰ
ἀθάνατα γίγνεται, καθάπερ καὶ τὰ κακὰ κακίᾳ κακά, καὶ τὰ ἄδικα ἀδικίᾳ ἄδικα.
οὐ γὰρ δικαιοσύνης ἔργον τὸ ἄδικον, ἀλλὰ ἀδικίας, οὐδ᾽ αὖ ἀδικίας ἀντιστρόφως τὸ
δικαιοπραγεῖν ἔργον, ἀλλὰ δικαιοσύνης, ὥςπερ οὐδὲ ἀφθαρσίας τὸ φθείρεσθαι ποιεῖν,
ἀλλὰ φθορᾶς, οὐδὲ φθορᾶς τὸ ἀθανατίζον, ἀλλ᾽ ἀφθαρσίας. καὶ συλλήβδην, οἷον ἂν
B ᾖ τὸ ποιοῦν, κατὰ τὸν αὐτὸν οὕτως λόγον τοιοῦτον καὶ τὸ ποιούμενον ἐξ ἀνάγκης
ἀπεργάζεσθαι συμβαίνει. ὁ δὲ θεὸς καὶ ἀθανασία καὶ ζωὴ καὶ ἀφθαρσία, ἔργον δὲ
ἄνθρωπος θεοῦ· πᾶν δὲ τὸ ὑπὸ ἀθανασίας ἐργασθὲν ἀθάνατον. ἀθάνατος ἄρα ὁ ἄν-
θρωπος. διὸ δὴ τὸν μὲν ἄνθρωπον αὐτούργησεν ὁ θεός, τὰ δὲ λοιπὰ γένη τῶν ζώων
ἀέρι καὶ γῇ καὶ ὕδατι προσέταξε φέρειν. ἄνθρωπος δὲ ἀληθέστατα λέγεται κατὰ φύ-
σιν [1] οὔτε ψυχὴ χωρὶς σώματος οὔτ᾽ αὖ πάλιν σῶμα χωρὶς ψυχῆς, ἀλλὰ τὸ ἐκ συστά-
C σεως ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορφὴν συντεθέν. ὅθεν ἐντεῦθεν
ἀθάνατον δὴ τὸν ἄνθρωπον γεγονέναι φαίνεται, φθορᾶς τε ἁπάσης καὶ νόσων ἐκτός.
μάθοι δ᾽ ἄν τις τοῦτο καὶ ἀπὸ τῆς γραφῆς ἱκανῶς. [2] ἐπὶ μὲν γὰρ τῶν ἄλλων, ὁπόσα
Gen.1,20.24. χρόνων μετακοσμοῦνται διαστολαῖς ἡβῶντα καὶ γηράσκοντα, „ἐξαγαγέτω“ λέγεται „τὰ
ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς, κατὰ τὸ στερέωμα τοῦ
οὐρανοῦ,“ καί „ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος τετράποδα καὶ ἑρπετὰ καὶ
D θηρία τῆς γῆς κατὰ γένος,“ ἐπὶ δὲ τοῦ ἀνθρώπου ὡσαύτως ἐκείνοις οὐκέτι „ἐξαγαγέτω
ἡ γῆ“ ἢ „ἐξαγαγέτω τὰ ὕδατα“ ἢ „γενηθήτωσαν φωστῆρες,“ ἀλλά „ποιήσωμεν ἄνθρωπον
Gen.1,20,14, 26; 2,7. κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης
καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν. καὶ ἔλαβεν ὁ θεὸς χοῦν ἀπὸ
τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον.“

XVI. Καὶ ἵνα δὴ μᾶλλον καὶ ὑμεῖς τὴν διαφορὰν αἴσθησθε, ὡς ὅλῳ καὶ παντὶ
τῶν ἄλλων διαφέρων καὶ ἐν δευτέρᾳ τιμῇ τῶν ἀγγέλων ἐγκαταλεχθεὶς ὁ ἄνθρωπος εὑ-
ρίσκεται ἀθάνατος ὤν, φέρε κατὰ τὸν ἀληθῆ πάλιν καὶ ὀρθόδοξον καὶ τοῦτο διαλά-
542 βωμεν λογισμόν. τοῖς μὲν γὰρ ἀπὸ τῆς εἰςπνοῆς τοῦ κατὰ τὸν ἀέρα πνεύματος ἐψυ-
χῶσθαι ἐδόθη τὸ ζῆν, τῷ δὲ ἐξ αὐτῆς τῆς ἀθανάτου καὶ διαφερούσης οὐσίας. ἐνε-
Gen. 2,7. φύσησε γὰρ ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς
ψυχὴν ζῶσαν. καὶ τοῖς μὲν δουλεύειν καὶ ἄρχεσθαι προσετάγη, τῷ δὲ ἄρχειν καὶ
δεσπόζειν. [3] καὶ τοῖς μὲν διάφορα σχήματα φύσεων δέδονται καὶ μορφαί, ὁπόσας ἡ
στερέμνιος καὶ ὁρατὴ φύσις κελεύοντος ἐγέννησε θεοῦ, τῷ δὲ τὸ θεοειδὲς καὶ θεοείκε-
B λον καὶ πάντα πρὸς ἐκείνην ἀπηκριβωμένον τὴν πρωτότυπον τοῦ πατρὸς καὶ μονογενῆ
Gen. 1, 27. εἰκόνα. ἐποίησε γὰρ ὁ θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· διὸ καὶ
ἐμέλησεν αὐτῷ τοῦ σφετέρου ἀγάλματος τῆς διαμονῆς, ἵνα μὴ εὐάλωτον ᾖ πρὸς διαφθο-
ράν, καθάπερ καὶ τῶν ἀνδριάντων τοῖς δημιουργοῖς. οὐ γὰρ μόνον κάλλους τῶν ἀγαλ-
μάτων αὐτοῖς καὶ τῆς εὐπρεπείας αὐτῶν πεφρόντισται, ὅπως ὦσι περικαλλῆ μεγαλο-
πρεπῶς, ἀλλὰ καὶ τῆς εἰς τὸ δυνατὸν σφίσιν αὐτοῖς ἀθανασίας τῶν δημιουργημάτων
πρόνοιαν ποιεῖσθαι, εἰς τὸν μακραίωνα χρόνον διασώζεσθαι μὴ λυόμενα, καθάπερ καὶ
C Φειδίας. [4] οὗτος γὰρ μετὰ τὸ κατασκευάσαι τὸ Πισαῖον εἴδωλον (ἐξ ἐλέφαντος δὲ
τοῦτο ἦν) ἔλαιον ἐκχεῖσθαι προσέταξεν ἀμφὶ τοὺς πόδας ἔμπροσθεν τοῦ ἀγάλματος,
ἀθάνατον εἰς δύναμιν φυλάσσων αὐτό. καὶ τοίνυν εἰ τῶν χειροκμήτων οὕτως οἱ δη-
μιουργοί, θεὸς ὁ ἀριστοτέχνας, ὃς πάντα δύναται καὶ ἐξ οὐκ ὄντων ποιεῖν, οὐ μᾶλλον
τὸ ἄγαλμα τὸ λογικὸν ἑαυτοῦ, τὸν ἄνθρωπον, ἀνώλεθρον καὶ ἀθάνατον εἶναι τὸ

1) *Οὔτε ψυχὴ .. χωρὶς ψυχῆς.* Inverso ordine et tacite haec exscripsit Iustinianus Epist. ad Menam, Act. Concil. ed. Hard. T. III. p. 249, B. Totum enuntiatum: *ἄνθρωπος ... συντεθέν*, Photius cod. 234. p. 293, *a*. 30—33. ad verbum refert. Quae apud eum sequuntur: *ὁ δ᾽ Ὠριγένης τὴν ψυχὴν μόνην ἔλεγεν ἄνθρωπον, ὡς ὁ Πλάτων*, utrum Photii, an Methodii sint, dubitare non oportebat Huetium Origenianor. lib. II. p. 101. Methodii haec verba esse temere sumit Guerick, De schola Alexandrina catech. p. 284.

2) *Ἐπὶ μὲν γὰρ τῶν ἄλλων* .. (542, A.) .. *τῷ δὲ ἄρχειν καὶ δεσπόζειν.* Iustinianus Epist. ad Menam, Act. Concil. ed. Harduin. T. III. p. 249, D. E. haec tacite et summatim exscripsit.

3) *Καὶ τοῖς μὲν ... μονογενῆ εἰκόνα.* Photius cod. 234. p. 292, *a*. 36—40. haec quoque ad verbum refert.

4) *Οὗτος ... φυλάσσων αὐτό.* Haec a Photio cod. 234. p. 293, *b*. 1—4. summatim referuntur.

παράπαν ἐξ ἁπάσης ἀνάγκης ἐμηχανήσατο, ἀλλ' εἴασεν οὕτως ἀτιμότατα λυόμενον ὀλέ-
θρῳ παραδοῦναι καὶ φθορᾷ, ὃ διαφερόντως ἠξίωσε ταῖς ἑαυτοῦ ποιῆσαι χερσί, κατ'
εἰκόνα μορφοποιήσας αὐτὸ καὶ καθ' ὁμοίωσιν τὴν ἑαυτοῦ, τὸν κόσμον τοῦ κόσμου, δι' D
ὃ καὶ ὁ κόσμος ἐγένετο; οὐκ ἔστιν εἰπεῖν. ἀπείη γὰρ εἰς ἀφροσύνην ἐπαρθέντα φρο-
νῆσαι τοῦτο.

XVII. Ἀλλ' ἴσως μὲν ἐπιστήσαντες ἑαυτοὺς πρὸς τὰ λεχθέντα νῦν, ὦ Ἀγλαοφῶν,
λέξετε, Καὶ πῶς, εἰ ἀθάνατον ἦν ἐκ γενέσεως καθ' ὑμᾶς τὸ ζῶον, γεγένηται θνητόν,
ὁπότε τὸ ἀθάνατον ἀμεταστρόφως τοῦτο ὅ ἐστιν εἶναι χρή, μὴ μεταπῖπτον ἢ ἐξανι-
στάμενον εἰς τὴν αἰσχίονα καὶ θνητὴν φύσιν; ἀμήχανον γάρ, ἐπεὶ οὐκ ἔστιν ἀθάνατον. 543
Ἐπειδή, λέξω, γενόμενον αὐτεξούσιον πρὸς τὴν αἵρεσιν τοῦ καλοῦ, καὶ τοῦτον τὸν θε-
σμὸν εἰληφός, ὁ μισόκαλος ἐπιστὰς ἐβάσκανε φθόνος. ὁ γὰρ θεὸς ἔκτισε τὸν ἄν-
θρωπον ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν. καὶ γὰρ ὁ
θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· φθόνῳ δὲ διαβόλου Sap. 1, 13; 2, 24.
θάνατος εἰςῆλθεν εἰς τὸν κόσμον", καθάπερ καὶ ἡ σοφία διὰ Σολομῶνος μαρτυρεῖ.
πόθεν οὖν ὁ θάνατος πάλιν δὴ λέγεσθαι ἀνάγκη, εἰ μὴ θάνατον ἐποίησεν ὁ θεός. εἰ B
ἀπὸ τοῦ φθόνου, καὶ πῶς ὁ φθόνος τῆς βουλήσεως μᾶλλον ἴσχυσε τοῦ θεοῦ; ἀλλὰ
τοῦτο δύςφημον λέξομεν. Πόθεν οὖν ὁ φθόνος; ὁ ἀντιλέγων ἐρεῖ. εἰ γὰρ ἀπὸ τοῦ
διαβόλου, καὶ διὰ τί διάβολος ἐγένετο, εἰ ἐγένετο, καὶ ὁ ποιήσας αὐτόν ἐστιν αἴτιος
τοῦ εἶναι κακόν; ἀλλὰ ἀναίτιος παντάπασι κακῶν πᾶσιν ὁ θεός. ἀγένητος ἄρα ὁ διά-
βολος, καὶ εἰ ἀγένητος, καὶ ἀπαθὴς καὶ ἀνώλεθρος καὶ ἀνενδεής. τῷ γὰρ ἀγενήτῳ
ἐξ ἀνάγκης ἁπάσης ταῦτα ὑπάρχειν δεῖ, ὁ δὲ διάβολος καταργεῖται καὶ κολάζεται· τὸ
δὲ κολαζόμενον ἀλλοιοῦται καὶ πάσχει, ἀπαθὲς δὲ τὸ ἀγένητον. οὐκ ἄρα ἀγένητος, C
ἀλλὰ γενητὸς ὁ διάβολος. εἰ δὲ γενητὸς καὶ πᾶν τὸ γεγενημένον ἀπό τινος ἀρχῆς ἐγέ-
νετο καὶ ἔστιν αὐτοῦ δημιουργός, ἔστιν ἄρα τις δημιουργὸς τοῦ διαβόλου. καὶ πότερον
κἀκεῖνος ἀγένητός ἐστιν ἢ γενητός; ἀλλὰ τὸ ἀγένητον ἓν εἶναι μόνον νοεῖσθαι χρὴ
τὸν θεόν· οὐδὲ γὰρ εἶναι τὸ σύνολον ὅλως ἐκ παντὸς τὸ παράπαν ἕτερος δημιουργὸς
δύναται πλὴν αὐτοῦ („ἐγώ" φησὶν „πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ ἄλλος Esai. 44, 6.
θεὸς οὐκ ἔστιν"), οὐδὲ μετασκευάζεσθαί τι ἢ κτίζεσθαι παρὰ τὴν αὐτοῦ δύναται βου- D
λήν. καὶ γὰρ ὁ υἱὸς οὐδὲν ἀφ' ἑαυτοῦ δύνασθαι ποιεῖν ὁμολογήσει, ἐὰν μή τι βλέπῃ
τὸν πατέρα ποιοῦντα· „ἃ γὰρ ἄν" φησίν „ὁ πατὴρ ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως Joann. 5, 19.
ποιεῖ." οὐδὲ μήν τι πολέμιον ἢ ἀντίξουν αὐτῷ ἢ ἀντίθεόν ἐστιν· ἐπεὶ κἂν εἰ ἀντέ-
πρασσέ τι τῷ θεῷ, ἐπαύσατο ἂν τοῦ εἶναι, λυθείσης αὐτοῦ τῇ τοῦ θεοῦ δυνάμει καὶ
ἰσχύϊ τῆς συστάσεως. τῷ γὰρ ποιήσαντι λῦσαι μόνῳ καὶ τὰ ἀθάνατα δυνατόν.

XVIII. [1] Τί οὖν ὁ διάβολος λέξεται; πνεῦμα περὶ τὴν ὕλην ἔχον, καθάπερ ἐλέχθη 544
καὶ Ἀθηναγόρᾳ, γενόμενον ὑπὸ τοῦ θεοῦ, ὥςπερ δὴ καὶ οἱ λοιποὶ γεγόνασιν ὑπ' αὐ-
τοῦ ἄγγελοι, καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ τοῖς τῆς ὕλης εἴδεσι πεπιστευμένον διοίκησιν.
τοῦτο γὰρ ἦν ἡ τῶν ἀγγέλων σύστασις, τῷ θεῷ ἐπὶ προνοίᾳ γεγονέναι τοῖς ὑπ' αὐτοῦ
διακεκοσμημένοις, ἵνα τὴν μὲν παντελικὴν καὶ γενικὴν ὁ θεὸς ἔχων τῶν ὅλων πρόνοιαν
ᾖ, τὸ κῦρος καὶ τὸ κράτος ἁπάντων αὐτὸς ἀνηρτημένος καὶ ὥςπερ σκάφος τῷ τῆς σο-
φίας οἴακι διευθύνων ἀκλινῶς τὸ πᾶν, τὴν δὲ διὰ μέρους οἱ ἐπὶ τούτῳ ταχθέντες ἄγ- B
γελοι. ἀλλ' οἱ μὲν λοιποὶ ἐφ' οἷς αὐτοὺς ἐποίησε καὶ διετάξατο ὁ θεὸς ἔμειναν, ὁ δὲ
ἐνύβρισε καὶ πονηρὸς περὶ τῶν πεπιστευμένων ἐγένετο τὴν διοίκησιν, φθόνον ἐγκισσή-
σας καθ' ἡμῶν, ὥςπερ καὶ οἱ μετὰ ταῦτα σαρκῶν ἐρασθέντες καὶ ταῖς τῶν ἀνθρώπων Gen. 6, 2.
εἰς φιληδονίαν ἐνομιλήσαντες θυγατράσιν. αὐθαίρετον γὰρ καὶ αὐτοῖς ἔχειν πρὸς ἑκά-
τερα διετάξατο βούλησιν ὁ θεός, οἷα καὶ ἐπὶ τῶν ἀνθρώπων, ἵν' ἢ πειθόμενοι τῷ
λόγῳ συνῶσιν αὐτῷ καὶ ἀπολαύωσι μακαριότητος, ἢ μὴ πειθόμενοι κρίνωνται. ἦν δὲ C
καὶ ὁ διάβολος ἀστὴρ ἑωςφόρος. „πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωςφόρος, ὁ πρωῒ Esai. 14, 12.
ἀνατέλλων;" ἦν μετὰ τῶν ἀγγέλων ἀνατέλλων τοῦ φωτός, ἦν ἄστρον πρωϊνόν, ἀλλ'
ἐξέπεσε καὶ εἰς τὴν γῆν συνετρίβη, ἐπιτροπεύσας τῷ ἀνθρώπῳ τἀναντία. τὸ γὰρ θεῖον
νεμεσᾷ τοῖς ὑπερηφάνοις καὶ τὰ αὐθάδη φρονήματα κολούει. ἐπέρχεται δέ μοι καὶ
ἐμμέτρως εἰπεῖν,

ὦ πᾶσιν ἀρχὴ καὶ πέρας κακῶν ὄφις, D
οὕτω βαρὺν τίκτουσα θησαυρὸν κακῶν
πλάνη, τυφλοῦ ποδηγὸς ἀγνοίας βίου,
χαίρουσα θρήνοις καὶ στενάγμασιν βροτῶν,
ὑμεῖς ἀθέσμους εἰς ὕβρεις ὁμοσπόρων
τὰς μισαδέλφους ὁπλίσαντες ὠλένας
Κάϊν μολῦναι φοινίῳ πρῶτον λύθρῳ
ἐπείσατον γῆν, καὶ τὸν ἐξ ἀκηράτων

1) *Τί οὖν ὁ διάβολος* .. (B.) ... *οἷα καὶ ἐπὶ τῶν ἀνθρώπων*. Photius cod. 234. p. 293, *b*. 5—21. haec, omissis in medio positis: *καὶ ὥςπερ σκάφος ... ἄγγελοι*, fere ad verbum refert.

πεσεῖν αἰώνων πρωτόπλαστον εἰς χθόνα
ὑμεῖς ἐτεκτήνασθε.

545 XIX. *Καὶ ὁ μὲν διάβολος οὕτως·* [1] ὁ δὲ θάνατος πρὸς ἐπιστροφὴν εὑρέθη, καθά-
περ καὶ τοῖς ἀρτιμαθέσι γραμμάτων παιδίοις πρὸς ἐπανόρθωσιν αἱ πληγαί. οὐδὲν γὰρ
ἄλλο ὁ θάνατος ἢ διάκρισις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. τί οὖν; παραίτιος ὁ
θεὸς θανάτου λέξεται; πάλιν γὰρ ὁ αὐτὸς ἡμῖν ἥκει λόγος. μὴ γένοιτο, ἐπεὶ μηδὲ οἱ
διδάσκαλοι προκαθηγουμένως τοῦ ἀλγύνεσθαι ταῖς πληγαῖς τοὺς παῖδας αἴτιοι. καλὸν
B οὖν ὁ θάνατος, εἰ καθάπερ παισὶ πρὸς ἐπιστροφὴν δίκην πληγῶν εὑρέθη, οὐχ ὁ τῆς
ἁμαρτίας, ὦ σοφώτατοι, ἀλλ' ὁ τῆς διαζεύξεως τῆς σαρκὸς καὶ τοῦ χωρισμοῦ. [2] αὐτε-
ξούσιος γὰρ ὢν καὶ αὐτοκράτωρ ὁ ἄνθρωπος, καὶ αὐτοδέσποτον βούλησιν καὶ αὐτο-
προαίρετον πρὸς τὴν αἵρεσιν, ὡς ἔφην, τοῦ καλοῦ λαβών, ἀκούσας τε „ἀπὸ παντὸς
Gen. 2, 16. ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγεσθε, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ
πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθα-
νεῖσθε," ἐνδοὺς εἰς τὸ φαγεῖν ἀπ' αὐτοῦ, τοῦ διαβόλου δεδελεασμένος τῇ σοφίᾳ ποι-
C κίλως πρὸς παρακοὴν πείθοντος, ἠθέτησε τὴν ἐντολὴν τοῦ θεοῦ· καὶ ἐγένετο τοῦτο
αὐτῷ εἰς σκάνδαλον καὶ παγίδα καὶ σκῶλον. [3] οὐ γὰρ ἐποίησεν ὁ θεὸς κακόν, οὐδέ
ἐστι τὸ σύνολον ὅλως ἐκ παντὸς εἰς τὸ παράπαν αἴτιος κακοῦ· ἀλλὰ πᾶν ὅπερ ἂν
αὐτεξούσιον οὕτως ὑπ' αὐτοῦ γεγονὸς ᾖ πρὸς τὸ φυλάξασθαι καὶ τηρῆσαι νόμον, ὃν
αὐτὸς δικαίως διεστείλατο, μὴ τηρῆσαν λέγεται κακόν. βαρυτάτη δὲ βλάβη τὸ παρα-
κοῦσαι θεοῦ, τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης. ὅθεν ἐπειδὴ
D κατεῤῥυπώθη καὶ κατεμιάνθη τῆς ἀποφάσεως ἀποστατήσας ὁ ἄνθρωπος τοῦ θεοῦ καὶ
κηλῖδας ἐναπεμάξατο κακίας πολλῆς, ἃς ὁ ἄρχων οὗτος ἀπεκύησε καὶ πατὴρ τῆς πλά-
Psal. 7, 14. νης, πόνον κατὰ τὴν γραφὴν συλλαβών, ἵνα τὸν ἄνθρωπον φαντάζειν ἀεὶ πρὸς ἀδικίαν
ἔχῃ καὶ κινεῖν, [4] ὁ θεὸς ὁ παντοκράτωρ, ἀθάνατον ἐν ἐλαττώσει κεκακωμένον ἐξ ἐπι-
βουλῆς τοῦ διαβόλου ἰδὼν αὐτὸν γεγενημένον, οὐκ εἴασε μεταλαβεῖν τοῦ ξύλου τῆς ζωῆς,
ἀλλὰ ἐνέδυσεν αὐτόν τε καὶ τὴν σύζυγον Εὔαν χιτῶνας δερματίνους καὶ ἀπέλυσε τοῦ
παραδείσου, νέκρωσιν αὐτοῖς ὁρίσας λέγων „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει," ὅπως καθα-
ρίσας τῆς ἐλαττώσεως ἐν τῇ ἀναστάσει ὡς ἄριστος κεραμεὺς πάλιν ἀπὸ τοῦ ἰδίου φυ-
ράματος ἄνευ ἐλαττώσεως ἀναστήσῃ.

546 XX. [5] *Προηπόρηται δὲ ἤδη καὶ ἀπεδείχθη τοὺς δερματίνους χιτῶνας μὴ εἶναι τὰ
σώματα.* ὅμως δὲ καὶ πάλιν (οὐ γὰρ ἅπαξ ῥητέον) φράζωμεν. [6] αὐτὸς πρὸ τῆς κατα-
σκευῆς αὐτῶν ὁ πρωτόπλαστος ὁμολογεῖ καὶ ὀστᾶ ἔχειν καὶ σάρκας, ὁπότε δὴ τὴν γυ-
Gen. 2, 23. ναῖκα προσενεχθεῖσαν αὐτῷ θεασάμενος „τοῦτο νῦν ὀστοῦν" ἐφώνησεν „ἐκ τῶν ὀστῶν
μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς
ἐλήφθη. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ
B προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν." οὐ γὰρ δὴ
ἀνέξομαι φληναφώντων τινῶν καὶ βιαζομένων ἀπηρυθριασμένως τὴν γραφήν, ἵνα αὐ-
τοῖς δὴ σαρκὸς μὴ εἶναι προχωρήσῃ ἡ ἀνάστασις, ὀστᾶ νοητὰ καὶ σάρκας νοητὰς ὑπο-
τιθεμένων, καὶ ἄλλοτε ἄλλως ἄνω καὶ κάτω μεταβαλλομένων ἀλληγορίαις, καὶ ταῦτα
οὕτως, ὡς γέγραπται, παραλαμβάνεσθαι κρατύνοντος τοῦ Χριστοῦ τὴν γραφήν, ἔνθα
Matth. 19, 4. πυνθανομένοις τοῖς Φαρισαίοις περὶ χωρισμοῦ γυναικὸς ἀποκρίνεται „οὐκ ἀνέγνωτε ὅτι
ἀπ' ἀρχῆς ὁ κτίσας ἄρσεν καὶ θῆλυ ἐποίησε; καὶ εἶπεν, ἕνεκεν τούτου καταλείψει ἄν-
C θρωπος τὸν πατέρα καὶ τὴν μητέρα" καὶ τὰ ἑξῆς. πῶς γὰρ ἐπὶ ψυχῶν μόνον τό

1) *Ὁ δὲ θάνατος* .. (B.) .. *χωρισμοῦ.* Locus exstat apud Leontium et Ioann. Rerum sacrarum Lib. II. Tit. *περὶ θανάτου.* Vid. Mai. Script. vet. nov. collect. T. VII. p. 102. col. 2. Excerpti lemma est: *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως.* Verba in fine adiecta: *καὶ τὰ ἑξῆς εἰς τὸν περὶ αὐτεξουσίου*, ad Excerptum infra annotatum respiciunt.

2) *Αὐτεξούσιος ὢν* .. (C.) .. *τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης.* Locum exscripserunt Leontius et Ioann. Rerum sacrar. Lib. II. Tit. 3. *περὶ αὐτεξουσίου.* Vid. Mai. Script. vet. nov. collect. T. VII. p. 92. col. 1. et 2. Excerpti lemma idem est ac supra annotatum.

3) *Οὐ γὰρ* .. *δικαιοσύνης.* Combefisius (ap. Galland. p. 772, C.) locum „emend. ex Element. Card. Rupifucald." exhibet.

4) *Ὁ θεὸς ὁ παντοκράτωρ ... ἄνευ ἐλαττώσεως ἀναστήσει* (*ἀναστήσῃ* Dindorf.) cod. Venet. Vulgo: *ὁ θεὸς ὁ παντοκράτωρ ἀθάνατον κακὸν ἐξ ἐπιβουλῆς ἰδὼν αὐτὸν γεγενημένον, καθάπερ καὶ ὁ διάβολος πλάνος ἦν, τοὺς δερματίνους χιτῶνας διὰ τοῦτο κατεσκεύασεν, οἱονεὶ νεκρότητα* (leg. *νεκρότητι*, coll. Symbol. in Epiphan. p. 51.) *περιβαλὼν αὐτόν, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος πᾶν τὸ ἐν αὐτῷ γεννηθὲν κακὸν ἀποθάνῃ.* Quae ipsa verba parva cum discrepantia in Excerptis apud Phot. cod. 234. p. 293, *b.* 23—28. exstant.

5) *Προηπόρηται* .. (C.) .. *μετὰ τὸ ἐκπεσεῖν.* Haec afferuntur ab Anastasio Presb. in Doctrina Patrum de verbi incarnatione cap. 25. Vid. Mai. Scriptor. vet. nov. collect. T. VII. p. 50. col. 1, qui tamen locum ipsum non exscripsit. Combefius (ap. Galland. p. 772, C. D.) eadem usque ad (C.) *τὸν πατέρα* „emend. ex autogr. R. P. Sirmond." affert.

6) Grabius Spicil. SS. Patr. T. II. p. 194. haec: *αὐτὸς* .. *εἰς σάρκα μίαν*, ex Iustini Mart. tractatu de resurrectione depromta esse suspicatur.

„αὐξάνεσθε καὶ πληρωσατε τὴν γῆν“ παραληπτέον, ἢ τό „ἔλαβε χοῦν ἀπὸ τῆς γῆς ὁ Gen. 1, 28.
θεὸς καὶ ἔπλασε τὸν ἄνθρωπον,“ ὃ κυρίως ἐπὶ τοῦ σώματος λελέχθαι φαίνεται; οὐ Gen. 2, 7.
γὰρ ἀπὸ τοῦ χοὸς καὶ τῶν βαρυτέρων τὴν οὐσίαν ἐκτήσατο ἡ ψυχή. ὥςτε συνέστηκεν
ἐκ παντὸς ἀληθέστατα πρὸ τῶν δερματίνων σεσωματοποιῆσθαι χιτώνων τὸν ἄνθρωπον.
ταῦτα γὰρ πρὸ τοῦ ἐκπεσεῖν αὐτὸν ἅπαντα εἴρηται, τὰ δὲ κατὰ τοὺς χιτῶνας μετὰ
τὸ ἐκπεσεῖν.

Ὅθεν ἴωμεν πάλιν ἐπισκεψόμενοι τὰ ἐν χερσίν, ἱκανῶς ἀποδείξαντες μὴ εἶναι τοὺς D
δερματίνους χιτῶνας τὰ σώματα, ἀλλὰ τὴν ἐπὶ τοῦ λογικοῦ τῶν ζώων νεκρότητα κα-
τεσκευασμένην· τοῦτο γὰρ λείπεται. ἀμέλει τῶν ὅρων ἔξω τοῦ παραδείσου κατὰ ταύ-
την ἐξοικίζεται τὴν αἰτίαν· οὐ γάρ, ὅτι μὴ θέλων ὁ θεὸς ἀπὸ τοῦ ξύλου δρέψασθαι
τῆς ζωῆς αὐτὸν καὶ φαγεῖν ἐξέβαλεν (ἐδύνατο γὰρ εἰς τὸν αἰῶνα ζῆν, αὖθις φαγὼν
ἀπὸ τῆς ζωῆς), ἀλλ᾽ ἵνα μὴ ἀθάνατον, ὡς ὑπεθέμεθα, γενηθῇ τὸ κακόν. ἐπεὶ διὰ τί
τὸν Χριστὸν ἀπὸ τῶν οὐρανῶν ἀπέστελλεν εἰς τὴν γῆν, εἰ ὅλως ἤθελε ζωῆς τὸν ἄν- 547
θρωπον ἄγευστον ἀποθανεῖν εἰς τὸ παντελές; εἰ δὲ ἐκ μεταμέλου φαίη τοῦτο πεποιη-
κέναι τὸν θεὸν ὁ ἀντιλέγων, ἀσθενὴς αὐτῷ ὁ λόγος, μεταγινώσκοντα τὸν θεὸν εἰς-
άγων. ἀλλ᾽ οὔτε ἀσύνετος τοῦ μέλλοντος θεὸς οὔτε κακοποιός, ἀλλὰ καὶ ἄκρως ἀγα-
θὸς καὶ προγινώσκων τὰ μέλλοντα. ὥςτε οὐκ ἄρα διὰ τὸ μὴ σώζεσθαι εἰς τὸν αἰῶνα
φαγόντα αὐτὸν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς ἐξέβαλεν, ἀλλὰ διὰ τὸ νεκρωθῆναι πρῶτον
θανάτῳ τὴν ἁμαρτίαν, ἵν᾽ οὕτως μετὰ τὸ ἀποθανεῖν ἐκτακείσης τῆς ἁμαρτίας ἐγερθεὶς B
ὁ ἄνθρωπος καθαρὸς φάγῃ τῆς ζωῆς.

XXI. *Μηδεὶς δὲ ἀβέλτερος ὢν παρακινδυνευέτω ὡς τούτων ἑτέρως λεχθέντων.* ὁ γὰρ
ὅλως ὁριζόμενος τὴν σάρκα μὴ εἶναι ταύτην ἀθανασίας δεκτικήν, ὄντως ἀνοίας ὑπεύ-
θυνος ὢν νόσῳ, βλασφημεῖ. διὰ τί γὰρ μετὰ τὴν τῶν χιτώνων τῶν δερματίνων ὁ Ἀδὰμ
κατασκευὴν ἐκβάλλεται, κωλυόμενος φαγεῖν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ζῆσαι, εἰ ὅλως
ἀδύνατον ἦν μετὰ σώματος εἰς τὸν αἰῶνα ζῆσαι τὸν ἄνθρωπον; ὡς δυναμένου γὰρ αὐ-
τοῦ μὴ ἀποθανεῖν, ἐὰν ἀπὸ τῆς ζωῆς γεύσηται λαβών, ἡ κώλυσις γίγνεται. φησὶ γάρ C
„καὶ ἐποίησε κύριος ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ Gen. 3, 21 —
ἐνέδυσεν αὐτούς.“ καὶ εἶπεν ὁ θεός „ἰδού, γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώ- 24.
σκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς
ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ
τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη, καὶ ἐξέβαλε τὸν Ἀδάμ.“
οὐκοῦν ἐδύνατο ζῆν εἰς τὸν αἰῶνα τὸ σῶμα καὶ ἀθάνατον ἔσεσθαι, εἰ μὴ κεκώλυτο
γεύσασθαι τῆς ζωῆς. ἐκωλύθη δέ, ὅπως ἡ μὲν ἁμαρτία συναποκτανθεῖσα τῷ σώματι D
λυθῇ, τὸ δὲ σῶμα ἀνασταθῇ τῆς ἁμαρτίας ἀπολομένης. [1] ἵνα μὴ τοίνυν ᾖ κακὸν
ἀθάνατον ὁ ἄνθρωπος, ὡς ἔφην, ἢ ἀείζωον, ἔχων ἐν ἑαυτῷ τὴν ἁμαρτίαν κρατιστεύ-
ουσαν, ἅτε ἐν ἀθανάτῳ βλαστήσασαν σώματι καὶ ἀθάνατον ἔχουσαν τὴν τροφήν, ὁ
θεὸς αὐτὸν διὰ τοῦτο θνητὸν ἀπεφήνατο νεκρότητι περιβαλών. τοῦτο γὰρ οἱ δερμά-
τινοι χιτῶνες ἐβούλοντο, ἵνα δὴ διὰ τῆς λύσεως τοῦ σώματος καὶ τῆς διαιρέσεως ἡ
ἁμαρτία κάτωθεν αὐτόπρεμνος πᾶσα διαφθαρῇ, ὡς μηδὲ κἂν βραχύτατον ῥίζης ἐαθῆ-
ναι μέρος, ἀφ᾽ οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων ἀναβήσονται.

XXII. *Καθάπερ γὰρ ἐν οἰκοδομήμασι ναῶν καλοῖς συκῆ γεννηθεῖσα καὶ εἰς ἔκτασιν* 548
καὶ μέγεθος εὐτραφήσασα, καὶ περὶ πάσας τὰς ἁρμονίας πολυκλημάτοις ῥίζαις τῶν
λίθων κεχυμένη, οὐ πρότερον τοῦ φύειν στέλλεται, ἔστ᾽ ἂν πᾶσα ἀποσπασθῇ, λυθέν-
των τῶν καθ᾽ οὓς ἐβλάστησε τόπους τῶν λίθων (δυνατὸν γὰρ πάλιν εἰς τοὺς ἑαυτῶν
ἐναρμοσθῆναι τόπους τοὺς λίθους, τῆς συκῆς ἀφῃρημένης, ὅπως ὁ μὲν ναὸς σώζηται,
μηδὲν τῶν ἀφανιζόντων αὐτὸν κακῶν ἐν ἑαυτῷ μηκέτι φέρων, ἡ δὲ συκῆ πᾶσα προ-
θέλυμνος ἀποσπασθεῖσα ἀποθάνῃ), κατὰ ταὐτὰ καὶ ὁ θεὸς ὁ τεχνίτης τὸν ἑαυτοῦ νεὼν B
τὸν ἄνθρωπον, δίκην ἀγρίας συκῆς τὴν ἁμαρτίαν βλαστήσαντα, διέλυσε θανάτου προς-
καίροις προςβολαῖς ἀποκτείνων, κατὰ τὸ γεγραμμένον, καὶ ζωοποιῶν, ἵνα ἀπὸ τῶν Deut. 32, 39.
αὐτῶν ἡ σὰρξ μερῶν, μετὰ τὸ ξηρανθῆναι καὶ ἀποθανεῖν, τὸ ἁμάρτημα δίκην ἀνακαι-
νοποιηθέντος ναοῦ ἀθάνατος καὶ ἀπήμων ἐγερθῇ, τελέως ἐκ βάθρων ἀπολομένης τῆς
ἁμαρτίας. ζῶντος γὰρ ἔτι τοῦ σώματος πρὸ τοῦ τεθνήξεσθαι συζῆν ἀνάγκη καὶ τὴν
ἁμαρτίαν, ἔνδον τὰς ῥίζας αὐτῆς ἐν ἡμῖν ἀποκρύπτουσαν, εἰ καὶ ἔξωθεν τομαῖς ταῖς C
ἀπὸ τῶν σωφρονισμῶν καὶ τῶν νουθετήσεων ἀνεστέλλετο, ἐπεὶ οὐκ ἂν μετὰ τὸ φωτι-
σθῆναι συνέβαινεν ἀδικεῖν, ἅτε παντάπασιν εἰλικρινῶς ἀφῃρημένης ἀφ᾽ ἡμῶν τῆς ἁμαρ-
τίας. νῦν δὲ καὶ μετὰ τὸ πιστεῦσαι καὶ ἐπὶ τὸ ὕδωρ ἐλθεῖν τοῦ ἁγνισμοῦ πολλάκις

1) *Ἵνα μὴ .. ἀναβήσονται.* Apud Combefis. (Galland. p. 773, A. B.), emend. ex cod. Rupif., ut illa: p. 548, A. *καθάπερ* .. (D.) .. *ἀφανισθήσεται* (p. 773, C. — 774, A.): p. 549, D. — 551, B. *φέρε γὰρ .. ἀμέμπτως ἀρεστόν* (p. 774, A. — 775, A.): p. 553, D. — 555, A. *οὐκ ἀρεστὸν δὲ .. τὸν βρασμόν* (p. 775, B. — 776, A.): p. 555, B. — 558, D. *ἐὰν δὲ ... ὁ ἀποστρέφων οὐκ ἀναστρέψει* (p. 776, A. — 779, A.)

ἐν ἁμαρτίαις ὄντες εὑρισκόμεθα. [1] οὐδεὶς γὰρ οὕτως ἁμαρτίας ἐκτὸς εἶναι ἑαυτὸν καυχήσεται,
D ὡς μηδὲ κἂν ἐνθυμηθῆναι τὸ σύνολον ὅλως τὴν ἀδικίαν. ὥςτε συμβέβηκε συστέλλεσθαι
μὲν καὶ κατευνάζεσθαι τῇ πίστει νῦν τὴν ἁμαρτίαν, εἰς τὸ μὴ οἶσαι καρποὺς βλαβο-
ποιούς, οὐ μὴν ἀνῃρῆσθαι καὶ τῶν ῥιζῶν ἄχρις. νῦν μὲν γὰρ ἐνταῦθα τὰς βλάστας
Hebr. 12, 15. αὐτῆς οἷον, τὰς ἐνθυμήσεις τὰς πονηράς, συστέλλομεν, μή τις ῥίζα πικρίας ἄνω φύουσα
ἐνοχλήσῃ, μὴ ἐῶντες ἀναμύειν καὶ διοίγνυσθαι τὰ μεμυκότα στόμια πρὸς τὰς ἐκφύ-
σεις, τοῦ λόγου δίκην ἀξίνης τὰς ῥίζας αὐτῆς τὰς κάτω φυομένας τέμνοντος· τότε δὲ καὶ
τὸ ὅλως ἐνθυμηθήσεσθαι περὶ κακίας ἀφανισθήσεται.
XXIII. *Οὐδὲ γὰρ ἀμάρτυρος ὁ λόγος γραφῶν τοῖς βουλομένοις εἰλικρινῶς τὸ ἀλη-*
549 *θὲς λέγειν, ἐπεὶ οἶδεν ὁ ἀπόστολος μηδέπω τὴν ῥίζαν ἐξ ἀνθρώπων τῆς ἁμαρτίας ὁλο-*
Rom. 7, 18 —20. σχερῶς ἀνῃρημένην, ὅτὲ μὲν „οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ ἀγαθόν, τουτέστιν ἐν τῇ
σαρκί μου "φράζων„ τὸ ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι
τὸ καλὸν οὔ. οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω.
εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, οὐκέτι κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ
Rom. 7, 22, 23. ἁμαρτία," ὅτὲ δὲ „συνήδομαι τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον· βλέπω δὲ
ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ ἐκ
B παντὸς αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου." οὕτως
οὐδέπω τὴν ἁμαρτίαν αὐτόπρεμνον ἐκ ῥιζῶν διακοπῆναι συνέβη (οὐ γὰρ εἰς τέλος ἀπέ-
θανεν), ἀλλὰ ζῆν (πῶς γὰρ πρὸ τοῦ περιβεβλῆσθαι θανάτῳ τὸν ἄνθρωπον;), ἵνα αὐτῷ
συμμαρανθεῖσα καὶ συμφθινήσασα αὐτὴ μὲν εἰς ἄρδην ἀπόληται καὶ διαφθαρῇ καθά-
περ φυτόν, λυθέντος ἐν ᾧ κρύπτουσα τὰς ῥίζας, ὡς ἔφην, ἑαυτῆς διεσώζετο, ὁ δὲ ἄν-
θρωπος αὖθις μηκέτι ῥίζαν ἐμφωλεύουσαν πικρίας ἔχων ἐξεγερθῇ ὥςπερ ναός. ἀλεξι-
C φαρμάκου γὰρ τρόπον ὑπὸ τοῦ ἀλεξητῆρος ἡμῶν ἀληθῶς καὶ ἰατροῦ θεοῦ πρὸς ἐκρί-
ζωσιν τῆς ἁμαρτίας παρελήφθη ὁ θάνατος καὶ ἀφανισμόν, ἵνα μὴ διαιωνίζον ἐν ἡμῖν
εἴη τὸ κακὸν ἀθάνατον, ἅτε ἐν ἀθανάτοις ἀνατεῖλαν, αὐτοὶ δὲ λελωβημένοι καὶ ἐκστάν-
τες, νοσούντων τρόπον, τῆς οἰκείας ἀρετῆς ἐπὶ πολὺ διατρίβωμεν, ἅτε ἐν ὑφεστηκόσιν
ἀεὶ καὶ ἀθανάτοις σώμασι τὴν κατὰ τὸ ἁμάρτημα μεγάλην τρέφοντες νόσον. διὸ δὴ
καλῶς ταύτην πρὸς ἄμφω σωτηρίαν καὶ ψυχῆς καὶ σώματος, φαρμακευτικῆς τρόπον καθάρ-
σεως, τὸν θάνατον ὁ θεὸς ηὕρατο, ἵνα πανάμωμοι καὶ ἀσινεῖς ὄντως ἐξεργασθῶμεν.
D XXIV. *Φέρε γάρ, ἐπειδὴ πολλῶν δεῖ τῶν περὶ τὰ τοιαῦτα παραδειγμάτων, ἐντεῦθεν*
αὐτὰ μάλιστα σκεψώμεθα, μὴ ἀφιστάμενοι, πρὶν ἂν πρῶτον εἰς εὐδηλοτέραν ἑρμηνείαν
ἀποτελευτήσῃ καὶ ἀπόδειξιν ὁ λόγος. φαίνεται τοίνυν, ὥςπερ εἴ τις δημιουργὸς ἄκρος
ἄγαλμα καλόν, ἀπὸ χρυσοῦ κατεσκευασμένον ἢ ὕλης ἑτέρας αὐτῷ, καὶ πάντα τὰ μέλη
συμμέτρως εἰς κάλλος διακεκοσμημένον, πάλιν χωνεύοι, λελωβημένον ἄφνω θεασάμενος
550 ὑπό τινος ἀνθρώπου πονηροτάτου, ὃς οὐκ ἐνεγκὼν ὑπὸ βασκανίας εὐπρεπὲς εἶναι τὸ
ἄγαλμα, ἐσίνατο, ματαίαν ἡδονὴν καρπούμενος τοῦ φθόνου (πρόςσχες γάρ, ὦ σοφώ-
τατε Ἀγλαοφῶν, ὅτι, εἰ βούλοιτο μὴ εἶναι σεσινωμένον ὅλως ὁ δημιουργὸς καὶ ψεκτὸν
τὸ μετὰ τοσαύτης αὐτῷ σπουδῆς τε καὶ φροντίδος πεπονημένον, πάλιν προτραπήσεται
συγχωνεύσας αὐτὸ τοιοῦτο ποιεῖν οἷον καὶ πρόσθεν ἦν· εἰ δὲ μὴ ἀναχωνεύοι, μηδὲ
ἀνασκευάζοι, ἐῴη δὲ οὕτως μένειν, θεραπεύων αὐτὸ καὶ ἐπανορθούμενος, ἀνάγκη δὴ
B πυρακτούμενον καὶ χαλκευόμενον τὸ ἄγαλμα μηκέτι δύνασθαι διατηρηθῆναι τὸ αὐτό,
ἀλλὰ διηλλαγμένον ἔσεσθαι καὶ ὑπεσπασμένον)· διὰ τοῦτο, εἰ βούλοιτο καλὸν καὶ
ἄμωμον εἶναι τὸ ἔργον, ἀναθλᾶσθαι αὐτὸ καὶ ἀναχωνεύεσθαι δεῖ, ὅπως τὰ μὲν αἴσχη
καὶ τὰ ἀλλοιώματα πάντα τὰ ἐξ ἐπιβουλῆς αὐτῷ καὶ φθόνου ὑπάρξαντα αὐτὰ μὲν διὰ
τῆς ἀνασκευῆς καὶ ἀναχωνεύσεως ἀπόληται, τὸ δὲ εἰς τὸ ἑαυτοῦ εἶδος ἀσινὲς καὶ ἀκί-
βδηλον αὖθις ἄγαλμα ὁμοιότατον ἑαυτῷ κατασταθῇ (τῷ μὲν γὰρ ἀγάλματι ἀπολέσθαι
οὐκ ἔστιν ὑπὸ τῷ αὐτῷ τεχνίτῃ, κἂν πάλιν εἰς ὕλην λυθῇ, ἀποκατασταθῆναι δὲ ἔστι·
C τοῖς δὲ αἴσχεσι καὶ λωβήμασιν ἀπολέσθαι μὲν ἔστι — τήκονται γάρ — ἀποκατασταθῆναι δὲ οὐκ ἔστι, διὰ τὸ ἐν πάσῃ τέχνῃ τὸν ἄριστον δημιουργὸν μὴ πρὸς τὸ αἴσχιον
ἢ ἀπηχθημένον ὁρᾶν, ἀλλὰ πρὸς τὸ σύμμετρον καὶ εὐθὲς τοῦ δημιουργουμένου)· ταὐτὸν γὰρ φαίνεται δή μοι καὶ ἐφ' ἡμῶν ὁ θεὸς διῳκονομηκέναι. τὸν γὰρ ἄνθρωπον,
τὸ εὐπρεπέστατον ἑαυτοῦ τέχνημα, βασκάνοις ἐπιβουλαῖς φθόνου κεκακωμένον ἰδὼν οὐκ
ἠνέσχετο τοιοῦτον καταλεῖψαι, φιλάνθρωπος ὤν, ὅπως μὴ δι' αἰῶνος εἴη λελωβημένον,
D ἀθάνατον ἔχον ἐν ἑαυτῷ τὸν ψόγον, ἀλλὰ διέλυσεν εἰς ὕλην πάλιν, ἵνα διὰ τῆς ἀνα-
πλάσεως ἐκτακῶσι καὶ ἐξαφανισθῶσι πάντα τὰ ἐν αὐτῷ μωμήματα. τὸ γὰρ ἐκεῖ ἀναχωνευθῆναι τὸν ἀνδριάντα τοῦτον τὸ ἐνταῦθα ἀποθανεῖν καὶ διαλυθῆναι τὸ σῶμα·
τὸ δὲ ἐκεῖ ἀναμορφοποιηθῆναι τὴν ὕλην ἢ ἀνακοσμοποιηθῆναι, τοῦτο ἐνταῦθα μετὰ τὸ
ἀποθανεῖν τὸ ἀναστῆναι. ὥςπερ καὶ ὁ προφήτης Ἱερεμίας· τούτοις γὰρ ἤδη καὶ αὐτὸς

1) *Οὐδεὶς γὰρ* .. (p. 549, C.) .. *ἵνα μὴ διαιωνίζον ἐν ἡμῖν εἴη τὸ κακόν.* Photius cod. 234. p. 294, *a.* 8—17. horum summam refert, simul ille respiciens, quae p. 584, A. — p. 587, D. eandem in sententiam disputantur.

ὧδε τὰ αὐτὰ παρεγγυᾷ „καὶ κατέβην“ λέγων „εἰς τὸν οἶκον τοῦ κεραμέως· καὶ ἰδού, Ierem. 18, 3.
αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ διέπεσε τὸ ἀγγεῖον ὃ ἐποίει ἐν ταῖς χερσὶν
αὐτοῦ, καὶ πάλιν ἐποίησεν αὐτὸς ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ
ποιῆσαι. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, εἰ καθὼς ὁ κεραμεὺς οὗτος οὐ 551
δυνήσομαι τοῦτο ποιῆσαι ὑμᾶς, οἶκος Ἰσραήλ; ἰδού, ὡς ὁ πηλὸς τοῦ κεραμέως ὑμεῖς
ἐστὲ ἐν ταῖς χερσί μου.“

XXV. *Πρόσσχες* γὰρ ὅπως, ὡς ἔφην, μετὰ τὸ παραβῆναι τὸν ἄνθρωπον ἡ μεγάλη
χεὶρ εἰς νῖκος καταλεῖψαι τὸ ἑαυτῆς ἔργον οὐκ ηὐδόκησεν ὡς κίβδηλον τῷ πονηρῷ ἀδί-
κως αὐτὸ λυμηναμένῳ βασκάνοις αἰτίαις, ἀλλὰ ἀνατήξας ἀνέδευσεν αὖθις εἰς πηλόν,
οἷα κεραμεὺς ὁ ἀναπλάσσων ἄγγος πρὸς τὸ ἀφανισθῆναι μὲν διὰ τῆς ἀναπλάσεως B
πάντα τὰ ἐν αὐτῷ αἴσχη καὶ θλάσματα, γενηθῆναι δὲ τὸ πᾶν ἄνωθεν ἀμέμπτως ἀρε-
στόν. „ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι Rom. 9, 21.
σκεῦος, ὃ μὲν εἰς τιμήν, ὃ δὲ εἰς ἀτιμίαν;“ ὃ δή ἐστι (τοῦτο γὰρ παντάπασιν ὁ ἀπό-
στολός μοι δηλοῦν φαίνεται) [1] μή τι ἐξουσίαν οὐκ ἔχει ὁ θεὸς ἀπὸ τῆς ὕλης ἑκάστου
τῆς αὐτῆς ἀναπλάσας καὶ ἀνακοσμήσας ἰδίως ἕκαστον ἢ εἰς τιμὴν ἡμῶν ἀναστῆσαι καὶ
δόξαν, ἢ εἰς ἀτιμίαν καὶ κατάκρισιν; εἰς ἀτιμίαν μὲν τῶν ἐν ἁμαρτίαις φαύλως βιω-
σάντων, εἰς τιμὴν δὲ τῶν ἐν δικαιοσύνῃ. καθάπερ ἐδηλώθη καὶ τῷ Δανιὴλ ὅτι „πολ- C
λοὶ τῶν καθευδόντων ἐν γῆς χώματι“ λέγοντι „ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, Dan. 12, 2.
καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον, καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ
λαμπρότης τοῦ στερεώματος.“ [2] ἐφ’ ἡμῖν γὰρ οὐ τὸ ἀφανίσαι τὴν ῥίζαν τελέως τῆς
πονηρίας, ἀλλὰ τὸ μὴ πρὸς ἔκτασιν αὐτὴν ἐᾶσαι φῦναι καὶ καρποφορεῖν. ἡ μὲν γὰρ
καθόλου καὶ παντελικὴ αὐταῖς ῥίζαις αὐτῆς ἀναίρεσίς τε καὶ ἀπώλεια ὑπὸ τοῦ θεοῦ
κατὰ τὴν τοῦ σώματος, ὡς εἴρηται, διάλυσιν γίγνεται, ἡ δὲ ἐκ μέρους πρὸς τὸ μὴ
οἴσαι βλαστὸν ὑφ’ ἡμῶν. καὶ διὰ τοῦτο τὸν ἐκθρέψαντα πρὸς αὔξησιν αὐτὴν μᾶλλον D
καὶ μέγεθος, ἀλλὰ μή τι στειρώσαντα ὅσον ἐπ’ αὐτῷ καὶ συμπιλήσαντα ἀνάγκη διδό-
ναι δίκην, ὅτι δυνάμενος καὶ ἔχων πρὸς τοῦτο τὴν ἐξουσίαν εἵλατο τὸ βλάπτον τοῦ
συμφέροντος μᾶλλον προτιμῆσαι.

XXVI. Ὥστε μηδείς, αὐτὸς αἴτιος ὤν, ἀκολάστῳ γλώσσῃ μεμφέσθω τὴν θείαν φύσιν,
ὡς οὐκ ἐν δίκῃ διανέμουσαν ἑκάστῳ κακίας καὶ ἀρετῆς τὰ ἀμοιβαῖα. „τίς γὰρ εἶ, ὦ Rom. 9, 20.
ἄνθρωπε, ὁ ἀνταποκρινόμενος τῷ θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίη- 552
σας οὕτως ἢ οὕτως;“ πῶς γὰρ ὁπότε αὐτοδεσπότῳ βουλῇ κακίαν εἵλατο. διὸ καὶ οὐ
λέξει δικαιοσύνης δόγμασιν ἀπαραλλάκτοις κρίνοντι τῷ θεῷ, τί με ἐποίησας οὕτως
κατακριθέντα εἰς τὸ ἀλγύνεσθαι; πρόσσχες γὰρ ὅπως ὥσπερ ἀκοντιστὴς ὁ ἀπόστολος
δεινὸς συνεστραμμένα ῥήματα τῶν λόγων εἰς μέσον ἐμβαλὼν ἀσαφῆ μὲν καὶ ἐπικεκα-
λυμμένην ποιεῖται εἰς βάθος τῶν ἀναγνωσμάτων τὴν ἐξεργασίαν, ἀληθεστάτην δὲ καὶ
ὀρθόδοξον καὶ μηδὲν ἔχουσαν ἀπημελημένον ἢ δύσφημον. τοῖς μὲν γὰρ μὴ μετὰ σπου-
δῆς, ἀλλὰ ἀγεννῶς ἐγκύπτουσι τοῖς λόγοις ἀσυνάρτητα ἔσθ’ ὅτε δοκεῖ καὶ ἀσύμφωνα B
λέγειν, τοῖς δ’ αὖ σπουδαίως καὶ λογισμῷ νήφοντι ὁπόσης τάξεως ἔμπλεα καὶ ἀλη-
θείας.

Δι’ ἀκριβείας μὲν οὖν περὶ τούτων διεξιέναι τὰ νῦν ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ’
ἑαυτὸ μόνον ἔργον. καὶ γὰρ γελοῖον καταλείψαντάς που τὴν σκέψιν, ἧς ἕνεκα ταύτην
ἐστειλάμεθα, εἰς ἄλλα μετιέναι. ταῦτα γὰρ ἡμῖν εἴρηται διὰ τὴν τῶν ἐθελοκακούντων
τιμωρὸν δίκην. ἀποδειχθέντος τοίνυν ἐνδηλότατα τὸν θάνατον τῷ ἀνθρώπῳ μεμηχα- C
νῆσθαι μὴ ἐπὶ κακῷ τινι, ἄλλα χρὴ λοιπὸν τὸν μὴ φαύλως τούτοις ἐγκύπτοντα περὶ
τῆς ἀναστάσεως νοεῖν τοῦ σώματος. πῶς γὰρ οὐκ ὠφέλιμος ὁ θάνατος, διαφθείρων
ἡμῶν τὰ ληΐζοντα τὴν φύσιν, εἰ καὶ παρὰ τὸν καιρὸν ἐπαχθής, καθ’ ὃν προσφέρεσθαι
δοκεῖ καθάπερ αὐστηρότατον τῷ νοσοῦντι φάρμακον; καὶ ἵνα μὴ πολλάκις τὰ αὐτὰ
περὶ τῶν αὐτῶν διαλεγώμεθα, φέρε καὶ ἀπὸ τῆς ᾠδῆς ἔτι τοῦ Δευτερονομίου βεβαιώ-
σαντες τὸν λόγον ἴωμεν τὰ ἑξῆς διαληψόμενοι. D

XXVII. Τὸ γάρ „ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω, κἀγὼ ἰάσομαι, καὶ οὐκ
ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου“ λεγόμενον ὑπὸ τοῦ θεοῦ τί ἄλλο διδάσκειν Deut. 32, 39.
βούλεται ἢ ὅτι διὰ τοῦτο τὸ σῶμα πρῶτον ἀποκτίννυται καὶ θνήσκει, ἵνα αὖθις ἀνα-
σταθῇ καὶ ζήσῃ; πατάσσεται πρῶτον καὶ θραύεται, ἵνα σῶν αὖθις πλασθῇ καὶ ὑγιές.
καὶ οὐδὲν ἐξελέσθαι ὅλως τὸ σύνολον τῆς μεγάλης καὶ κραταιᾶς αὐτοῦ χειρὸς πρὸς

1) Oecumenius Exposit. in Epistolas Pauli, ed. Veron. p. 327. ad Rom. 9, 21. *ἔχει, φησίν, ἐξουσίαν ὁ θεὸς ὁ ἐγείρων τοὺς νεκροὺς τοὺς μὲν εἰς δόξαν, τοὺς δὲ εἰς αἰσχύνην ἐγεῖραι, κατὰ τὴν ἀναλογίαν τῶν ἑκάστῳ ἀνθρώπῳ βεβιωμένων. οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ.* Oecumenium exscripsit Theodulus Coelosyr. Presb. Comm. in Epist. ad Rom. cap. 9. Vid. Biblioth. PP. max. T. 27. p. 606, F.

2) *Ἐφ’ ἡμῖν* .. (D.) .. *ἀρετῆς τὰ ἀμοιβαῖα.* Locus exstat apud Leont. et Ioann. Rer. sacr. Lib. II. Tit. *περὶ αὐτεξουσίου.* Vid. Mai. Script. vet. nov. collect. T. VII. p. 92, col. 2. Lemma: *ἐκ τοῦ αὐτοῦ λόγου*, respicit ad Excerptum, de quo ad p. 545, B.

553 ἀπώλειαν καὶ ὄλεθρον σθένει, οὐ πῦρ, οὐ θάνατος, οὐ σκότος, οὐ χάος, οὐ φθορά.
Rom. 8, 35—37. „τίς γὰρ ἡμᾶς“ φησίν „ἀπο τῆς ἀγάπης χωρίσει τοῦ κυρίου;“ — ὃς ἑρμηνεύεται χεὶρ
τοῦ πατρὸς καὶ λόγος — „θλίψις, ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίν-
Psal. 43, 23. δυνος; ἢ μάχαιρα; καθὼς γέγραπται ὅτι ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογί-
σθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος
Deut. 32, 39. ἡμᾶς,“ ἀληθέστατα, ἵνα πληρωθῇ, καθὼς ἔφην, τό „ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω,
Rom. 8, 39. πατάξω καὶ ἰάσομαι,“ καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν
B Χριστῷ πρὸς ἀπώλειαν. διὸ καὶ ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, ἵνα ἀποθανόντες
τῇ ἁμαρτίᾳ ζήσωμεν τῷ θεῷ. καὶ ταῦτα μὲν μέχρι τοσούτου διεσκέφθω· τὰ δὲ συνεχῆ
τούτοις ὧδε πάλιν προχειριστέον.

XXVIII. *Εἰ πᾶν τὸ γεννώμενον νοσεῖ (προτείνει γὰρ οὕτως ὁ ἐξ ἐναντίας) καὶ κατὰ
τὴν γένεσιν καὶ κατὰ τὴν τροφὴν ἀπὸ τῶν προσιόντων, φησίν, αὔξεται, καὶ ἀπὸ
τῶν ἀπιόντων ἐλαττοῦται, τὰ δὲ μὴ γεννώμενα ὑγιαίνει, ὅτι μὴ νοσεῖ μηδὲ προσ-
δεῖται ἢ ἐπιθυμεῖ, ἐπιθυμεῖ δὲ τὰ γεννώμενα καὶ συνουσίας καὶ τροφῆς, τὸ δὲ ἐπι-
C θυμεῖν νοσεῖν ἐστι, τὸ δὲ μὴ δεῖσθαι μηδὲ ἐπιθυμεῖν ὑγιαίνειν, νοσεῖ δὲ τὰ γεν-
νώμενα, ὅτι ἐπιθυμεῖ, τὰ δὲ μὴ γεννώμενα οὐ νοσεῖ, πάσχει δὲ τὰ νοσοῦντα ἢ κατὰ
πλῆθος, ἢ ἔνδειαν τῶν προσγινομένων καὶ ἀπογινομένων, τὸ δὲ πάσχον καὶ φθίνει καὶ
ἀπόλλυται, διόπερ καὶ γεννᾶται, γεννᾶται δὲ ὁ ἄνθρωπος, — οὐ δύναται ἄρα ἀπαθὴς
εἶναι ὁ ἄνθρωπος καὶ ἀθάνατος. καταπίπτει μὲν οὖν καὶ ἐπὶ τούτοις αὐτοῖς ὁ λόγος.
εἰ γὰρ πᾶν τὸ γιγνόμενον ἢ γεννώμενον ἀπόλλυται (διαφέρει γὰρ οὐδὲν οὕτως εἰ-
D πεῖν, ἐπειδὴ καὶ οἱ πρωτόπλαστοι οὐκ ἐγεννήθησαν, ἀλλ' ἐγενήθησαν), γενητοὶ δὲ
Psal. 103, 4. καὶ οἱ ἄγγελοι καὶ αἱ ψυχαί („ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα“), ἀπόλλυνται
ἄρα οἱ ἄγγελοι κατ' αὐτοὺς καὶ αἱ ψυχαί. ἀλλ' οὔτε οἱ ἄγγελοι οὔτε αἱ ψυχαὶ ἀπόλ-
λυνται· ἀθάνατα γὰρ ταῦτα καὶ ἀδάμαστα, καθὼς ὁ ποιήσας εἶναι βεβούλευται. ἀθά-
νατος ἄρα καὶ ὁ ἄνθρωπος.* [1] οὐκ ἀρεστὸν δὲ οὐδ' ἐκεῖνο, τὸ λέγειν εἰς ἄρδην ἀπο-
λεῖσθαι τὸ πᾶν, καὶ γῆν καὶ ἀέρα καὶ οὐρανὸν μὴ ἔσεσθαι. ἐκπυρωθήσεται μὲν γὰρ
πρὸς κάθαρσιν καὶ ἀνακαινισμὸν καταβασίῳ πᾶς κατακλυζόμενος ὁ κόσμος πυρί, οὐ
554 μὴν εἰς ἀπώλειαν ἐλεύσεται παντελῆ καὶ φθοράν. εἰ γὰρ κρεῖττον τὸ μὴ εἶναι τοῦ
εἶναι τὸν κόσμον, διὰ τί τὸ χεῖρον ᾑρεῖτο ποιήσας τὸν κόσμον ὁ θεός; ἀλλ' οὐδὲν ὁ
θεὸς ματαίως ἢ χεῖρον ἐποίει. οὐκοῦν εἰς τὸ εἶναι καὶ μένειν τὴν κτίσιν ὁ θεὸς διε-
Sap. 1, 14. κοσμήσατο, καθάπερ καὶ ἡ σοφία διασυνίστησιν „ἔκτισε γὰρ εἰς τὸ εἶναι“ λέγουσα
„τὰ πάντα ὁ θεός, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἐν αὐταῖς
Rom. 8, 19. φάρμακον ὀλέθρου.“ καὶ Παῦλος δὲ σαφῶς μαρτυρεῖ λέγων „ἡ γὰρ ἀποκαραδοκία
B τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. τῇ γὰρ ματαιότητι ἡ
κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ
κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης
τῶν τέκνων τοῦ θεοῦ.“ „τῇ γὰρ ματαιότητι“ φησίν „ἡ κτίσις ὑπετάγη.“ ἐλευθερω-
θήσεσθαι δὲ τῆς τοιαύτης δουλείας προσδοκᾷ κτίσιν, τὸν κόσμον τοῦτον βουλόμενος
νῦν καλεῖν. οὐ γὰρ τὰ μὴ βλεπόμενα τῇ φθορᾷ δουλεύει, ἀλλὰ ταῦτα δὴ τὰ βλεπόμενα.
C μένει ἄρα ἡ κτίσις εἰς τὸ ἄμεινον ἀνακαινοποιηθεῖσα καὶ εὐπρεπέστερον, ἀγαλλομένη
καὶ χαίρουσα ἐπὶ τοῖς τέκνοις τοῦ θεοῦ τῇ ἀναστάσει, δι' οὓς στενάζει καὶ συνωδίνει
νῦν, τὴν ἀπολύτρωσιν ἡμῶν ἀπὸ τῆς φθορᾶς καὶ αὐτὴ τοῦ σώματος ἀπεκδεχομένη,
ὅπως ἡμῶν ἐξεγερθέντων καὶ ἀποτιναξαμένων τὴν νεκρότητα τῆς σαρκός, κατὰ τὸ γε-
Esai. 52, 2. γραμμένον „ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι καὶ κάθισον, Ἱερουσαλήμ,“ ἐλευθερω-
D θέντων τε τῆς ἁμαρτίας ἐλευθερωθήσεται καὶ αὐτὴ τῆς φθορᾶς, μηκέτι τῇ ματαιότητι
Rom. 8, 22. δουλεύουσα, ἀλλὰ τῇ δικαιοσύνῃ. „οἴδαμεν γάρ (φησίν) ὅτι πᾶσα ἡ κτίσις συστενάζει
καὶ συνωδίνει ἄχρι τοῦ νῦν. οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος
ἔχοντες, καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν τὴν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρω-
Esai. 66, 22. σιν τοῦ σώματος ἡμῶν.“ καὶ ὁ Ἡσαΐας δέ „ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ
γῆ καινή, ἃ ἐγώ (φησί) ποιῶ, μένει ἐνώπιόν μου, λέγει κύριος, οὕτως ἔσται τὸ σπέρμα
Esai. 45, 18. ὑμῶν καὶ τὸ ὄνομα ὑμῶν·“ καὶ πάλιν „οὕτως λέγει κύριος ὁ ποιήσας τὸν οὐρανόν,
οὗτος θεὸς ὁ κατασκευάσας τὴν γῆν καὶ ποιήσας αὐτήν· αὐτὸς διώρισεν αὐτήν, οὐκ
555 εἰς κενὸν ἐποίησεν αὐτήν, ἀλλὰ κατοικεῖσθαι.“ ὄντως γὰρ οὐκ εἰς κενὸν οὐδὲ εἰς μά-
την πρὸς ἀπώλειαν ἔκτισε, κατὰ τοὺς φρονοῦντας μάταια, τὸ πᾶν ὁ θεός, ἀλλὰ εἰς τὸ
εἶναί τε καὶ οἰκεῖσθαι καὶ διαμένειν. διὸ ἀνάγκη δὴ καὶ τὴν γῆν αὖθις καὶ τὸν οὐρα-
νὸν μετὰ τὴν ἐκφλόγωσιν ἔσεσθαι πάντων καὶ τὸν βρασμόν. διὰ τί δὲ τοῦτο ἀνάγκη,
λόγος ἂν ἔτι πλείων τῶν εἰρημένων γίγνοιτο. οὔτε γὰρ εἰς ὕλην ἀργὴν καὶ τοιαύτην

1) **Οὐκ ἀρεστὸν .. φθοράν.** Haec cum proximis: *καὶ Παῦλος .. ἐπ' ἐλπίδι*, afferuntur ab Andrea Caesar. Comment. in Apocal. p. 96, 49. — p. 97, 2. ed. Sylburg., laudato Methodio *ἐν τῷ περὶ ἀναστάσεως λόγῳ*.

ἔτι κατάστασιν, οἵα καὶ πρὸ τῆς διακοσμήσεως ἦν, διαλυθὲν ἀναστοιχειωθήσεται τὸ
πᾶν, οὔτ' αὖ εἰς ἀπώλειαν παντελῆ καὶ φθοράν.

XXIX. Ἐὰν δέ, Πῶς οὖν, εἰ μὴ ἀπόλλυται τὸ πᾶν, οἱ ἐξ ἐναντίας εἴπωσι, ὁ μὲν B
κύριος τὸν οὐρανὸν παρελεύσεσθαι ἔφη καὶ τὴν γῆν, ὁ δὲ προφήτης ἀπολεῖσθαι μὲν Matth. 24, 35.
τὸν οὐρανὸν ὡς καπνόν, τὴν δὲ γῆν ὡς ἱμάτιον παλαιωθήσεσθαι; Ἐπειδήπερ ἔθος Psal. 101, 27. Esai. 51, 6.
ταῖς γραφαῖς, λέξομεν, τὴν εἰς τὸ κρεῖττον καὶ ἐνδοξότερον ἀπὸ ταύτης τῆς καταστά-
σεως τοῦ κόσμου μεταβολὴν ἀπώλειαν λέγειν, οἷον τοῦ πρόσθεν σχήματος ἀπολλυ-
μένου κατὰ τὴν εἰς τὸ φαιδρότερον ἁπάντων ἐξαλλαγήν· ὅτι μηδεμία ὑπεναντίωσις C
ἢ ἀτοπία ἐν τοῖς θείοις λόγοις. „παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου," καὶ 1 Cor. 7, 31.
οὐχ „ὁ κόσμος" εἴρηται. οὕτως ἔθος ἀπώλειαν καλεῖν τὰς γραφὰς τὴν εἰς τὸ ἄμεινον
ἔσθ' ὅτε καὶ εὐμορφότερον τροπὴν τοῦ πρόσθεν σχήματος, οἷον ὥςπερ ὁπόταν τις
ἀπώλειαν λέγῃ τοῦ κατὰ τὸν νήπιον σχήματος τὴν εἰς τὸν ἄνδρα τὸν τέλειον μεταλ-
λαγήν, τρεπομένης εἰς μέγεθος καὶ κάλλος τῆς ἡλικίας τοῦ νηπίου. „ὅτε γὰρ ἤμην 1 Cor. 13, 11.
νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέ-
γονα ἀνήρ, κατήργησα τὰ τοῦ νηπίου." παραχθήσεσθαι μὲν γὰρ τὴν κτίσιν, ὥςπερ D
τεθνηξομένην κατὰ τὴν ἐκπύρωσιν, ἵνα καὶ ἀνακαινισθῇ, οὐ μὴν ἀπολεῖσθαι προς-
δοκητέον, ὅπως οἱ ἀνακαινοποιηθέντες ἐν ἀνακαινοποιηθέντι τῷ κόσμῳ ἄγευστοι λύ-
πης κατοικήσωμεν, κατὰ τὸ λεχθὲν „ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσον- Psal. 103, 30.
ται" ἐν ἑκατοστῷ τρίτῳ ψαλμῷ „καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς," τοῦ περιέ-
χοντος τῆς εὐκρασίας ἐπιτροπεύοντος λοιπὸν τοῦ θεοῦ. ἐσομένης γὰρ καὶ μετὰ τοῦ-
τον τὸν αἰῶνα γῆς ἀνάγκη πᾶσα ἔσεσθαι καὶ τοὺς οἰκήσοντας οὐκέτι τεθνηξομένους
ἢ γαμήσοντας καὶ γεννησομένους, ἀλλ' ὡς ἀγγέλους ἀμεταστρόφως ἐν ἀφθαρσίᾳ τὰ 556
ἄριστα πράξοντας. διὸ ληρῶδες τὸ ἐν ποίᾳ διαγωγῇ τότε δὴ τὰ σώματα ἔσεσθαι
λέγεσθαι, μήτε ἀέρος μήτε γῆς μήτε τῶν ἄλλων ἐσομένων.

XXX. Ἄξιον δὲ κἀκεῖνο πρὸς τοῖς εἰρημένοις ἐπισκοπεῖν, ὡς ἔχει πολλὴν διάπτω-
σιν, εἰ δεῖ παῤῥησίαν ἄγειν περὶ τηλικούτων, ὦ Ἀγλαοφῶν, διαλεγομένους πραγμά-
των. φράσας γὰρ ἀποφήνασθαι τὸν κύριον ὡς οἱ τῆς ἀναστάσεως τευξόμενοι ἔσον-
ται τότε ὡς ἄγγελοι, ἔνθα πειράζουσιν αὐτὸν οἱ Σαδδουκαῖοι, ἐπέφερες „οἱ δὲ B
ἄγγελοι ἐκτὸς ὄντες σαρκὸς ἐν μακαριότητος ἀκρότητι διὰ τοῦτο καὶ δόξης εἰσί, καὶ Marc. 12, 25.
ἡμᾶς δὲ ἄρα ἐξισάζεσθαι μέλλοντας ἀγγέλοις ἀνάγκη δὴ σαρκῶν ὡσαύτως ἐκείνοις
γυμνοὺς ἔσεσθαι δεῖν," οὐκ ἐπιστήσας, ὦ ἄριστε, ὡς ὁ ποιήσας καὶ διακοσμήσας ἐξ
οὐκ ὄντων τὸ πᾶν τὴν τῶν ἀθανάτων φύσιν οὐ μόνον εἰς ἀγγέλους καὶ λειτουργοὺς
διανείμας διεκόσμησεν, ἀλλὰ καὶ εἰς ἀρχὰς καὶ θρόνους καὶ ἐξουσίας. ἄλλο γὰρ
γένος τὸ τῶν ἀγγέλων καὶ ἄλλο τὸ τῶν ἀρχῶν καὶ ἐξουσιῶν, ὅτι μὴ τάγμα ἓν καὶ
μία σύστασις καὶ φυλὴ καὶ πατριὰ τῶν ἀθανάτων, ἀλλὰ γένη καὶ φυλαὶ καὶ δια- C
φοραί. καὶ οὔτε τὰ Χερουβὶμ τῆς ἰδίας ἐξιστάμενα φύσεως εἰς τὴν τῶν ἀγγέλων
ἰδέαν μετασκευάζονται, οὔτ' αὖ πάλιν εἰς τὴν ἑτέρων οἱ ἄγγελοι. εἶναι γὰρ αὐτὰ
χρὴ καὶ ὅ εἰσι καὶ ὃ γεγόνασιν. ἀτὰρ καὶ ὁ ἄνθρωπος τὸν κόσμον οἰκεῖν καὶ τῶν
ἐν αὐτῷ πάντων ἡγεμονεύειν κατασταθεὶς τῆς ἐξ ἀρχῆς διακοσμήσεως, ἀθάνατος ὤν,
τοῦ εἶναι ἄνθρωπος οὔποτε μεταβληθήσεται, οὔτε εἰς τὴν τῶν ἀγγέλων οὔτε εἰς τὴν
τῶν ἑτέρων μορφήν, ὅτι μηδὲ οἱ ἄγγελοι εἰς τὴν τῶν ἄλλων τῆς ἐξ ἀρχῆς ἰδέας με-
τακοσμούμενοι μεταβάλλονται. ὁ γὰρ Χριστὸς ἧκεν οὐκ εἰς ἑτέραν μορφὴν πλασθῆ- D
ναι κηρύσσων ἢ μετασκευασθῆναι τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ εἰς ὃ ἦν ἐξ ἀρχῆς
πρὸ τοῦ ἐκπεσεῖν, ἀθάνατος ὤν. χρὴ γὰρ ἐν τῷ ἰδίῳ τῆς ἕξεως ἑαυτοῦ τύπῳ τῶν
γενητῶν ἕκαστον μένειν, ἵνα πάντα πάντων ὦσι πεπληρωμένα, οὐρανοὶ μὲν ἀγγέλων,
θρόνοι δὲ ἐξουσιῶν, φῶτα δὲ λειτουργῶν, καὶ οἱ θειότεροι τόποι καὶ τὰ ἄκρατα
καὶ ἀκραιφνῆ φῶτα τῶν Σεραφίμ, ἃ παρεστήκασι τῇ μεγάλῃ βουλῇ διακρατούσῃ τὸ
πᾶν, ὁ δὲ κόσμος ἀνθρώπων. ἐὰν δὲ μεταβάλλεσθαι δῶμεν τοὺς ἀνθρώπους εἰς 557
ἀγγέλους, ὥρα μεταβάλλεσθαι δοῦναι καὶ τοὺς ἀγγέλους εἰς ἐξουσίας, καὶ ταύτας εἰς
ἄλλο καὶ ἄλλο, ἔστ' ἂν ὁ λόγος ἀναβὰς εἰς κίνδυνον ἐμπέσῃ.

XXXI. Ἀλλ' οὔτε ὡς φαῦλον τεκτηνάμενος ὁ θεὸς τὸν ἄνθρωπον, ἢ διαμαρτήσας
αὐτοῦ περὶ τὴν διάπλασιν, ἄγγελον αὐτὸν ὕστερον ἐπενόησε ποιῆσαι, μεταγνούς,
ὥςπερ οἱ φαυλότατοι τῶν δημιουργῶν, οὔτε ἄγγελον κατ' ἀρχὰς θελήσας ποιῆσαι
καὶ μὴ δυνηθεὶς ἄνθρωπον ἔπλασεν. ἀσθενὲς τοῦτο γάρ. τί δήποτε οὖν τὸν ἄν-
θρωπον ἄνθρωπον ἐποίει καὶ οὐκ ἄγγελον, εἴ γε ἄγγελον τὸν ἄνθρωπον καὶ οὐκ B
ἄνθρωπον γενέσθαι ἤθελεν; ὡς οὐ δυνάμενος; βλάσφημον. ἀλλ' ἀνεβάλλετο περὶ τοῦ
κρείττονος τὸ χεῖρον ποιῶν; καὶ τοῦτο ἄτοπον. οὔτε γὰρ διασφάλλεται περὶ τὸ
ποιεῖν τὸ καλὸν οὔτε ἀναβάλλεται οὔτε ἀδυνατεῖ, ἀλλὰ καὶ ὡς θέλει καὶ ὅτε θέλει
τὸ δύνασθαι ἔχει, δύναμις ὤν. οὐκοῦν εἶναι τὸν ἄνθρωπον ἄνθρωπον θέλων ἐξ
ἀρχῆς ἔκτισεν. εἰ δὲ θέλων, θέλει δὲ τὸ καλόν, καλὸν δὲ ὁ ἄνθρωπος, ἄνθρωπος
δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος λέγεται συντεθέν, οὐκ ἔσται ἄρα ἐκτὸς σώματος ὁ

C ἄνθρωπος, ἀλλὰ μετὰ σώματος, ἵνα μὴ ἄλλος ἄνθρωπος παρὰ τὸν ἄνθρωπον γεννηθῇ. δεῖ γὰρ τῷ θεῷ τὰ ἀθάνατα γένη πάντα σώζεσθαι, ἀθάνατον δὲ ὁ ἄνθρωπος·
Sap. 2, 23. „ἔκτισε“ γάρ φησιν ἡ σοφία „τὸν ἄνθρωπον ὁ θεὸς ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν.“ οὐκ ἄρα ἀπόλλυται τὸ σῶμα· ὁ γὰρ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος.

XXXII. *Διὸ ἐπίστησον ὡς καὶ ὁ κύριος τὰ αὐτὰ ταῦτα διδάσκειν θέλων, μὴ πιστευόντων Σαδδουκαίων εἰς τὴν ἀνάστασιν τῆς σαρκός (δόγμα γὰρ τοῦτο Σαδδουκαίων·
D ὅθεν συσκευασάμενοι τὴν κατὰ τὴν γυναῖκα καὶ τοὺς ἑπτὰ ἀδελφοὺς παραβολήν, ἵνα τὸν περὶ ἀναστάσεως τῆς σαρκὸς λόγον ἀποκηρύσσωσι, προςῆλθον αὐτῷ· ἀμέλει αὐτὸς
Matth. 22, 23. ὁ εὐαγγελιστὴς ἐπεσημήνατο „προςῆλθον δὲ αὐτῷ“ εἰπὼν „καὶ Σαδδουκαῖοι, λέγοντες μὴ εἶναι ἀνάστασιν“), ὁ οὖν Χριστός, εἰ μὴ ἦν ἀνάστασις σαρκός, ἀλλὰ μόνον ἐσώζετο ἡ ψυχή, συνέθετο ἂν αὐτοῖς ὡς καλῶς καὶ ὀρθῶς φρονοῦσι. νυνὶ δὲ ἀποκρίνεται λέγων „ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλ᾽ ὡς ἄγγελοι ἐν
558 οὐρανῷ εἰσιν,“ οὐ τῷ σάρκα μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γαμεῖν καὶ γαμεῖσθαι, ἀλλὰ εἶναι λοιπὸν ἐν ἀφθαρσίᾳ. καί φησιν ἀγγέλοις κατὰ τοῦτο παραπλησιασθέντας, ἵν᾽ ὥσπερ οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ, οὕτως καὶ ἡμεῖς ἐν τῷ παραδείσῳ μὴ γάμοις ἢ εἰλαπίναις ἔτι σχολάζωμεν, ἀλλὰ τῷ βλέπειν τὸν θεὸν καὶ γεωργεῖν τὴν ζωὴν πρυτανεύοντος ἡμῖν τοῦ Χριστοῦ. οὐ γὰρ εἶπεν „ἔσονται ἄγγελοι,“ ἀλλ᾽ „ὡς ἄγγελοι,“
Psal. 8, 5. οἷον δόξῃ μὲν καὶ τιμῇ, κατὰ τὸ γεγραμμένον, ἐστεφανωμένοι, βραχὺ δέ τι παρὰ τοὺς ἀγγέλους διαλλάσσοντες καὶ ἐγγὺς ὄντες τοῦ εἶναι ἄγγελοι. καθάπερ εἰ ἔλεγεν,
B οὔσης εὐταξίας κατὰ τὸν ἀέρα καὶ γαλήνης νυκτὸς καὶ πάντων τῷ τῆς σελήνης αἰθερίῳ φωτὶ κεκοσμημένων, ἡ σελήνη φαίνει ὡς ὁ ἥλιος, καὶ οὐ πάντως ἂν ἥλιον εἶναι τὴν σελήνην ἀπομαρτυρεῖν αὐτὸν ἐλέγομεν, ἀλλ᾽ ὡς ἥλιον, ὥσπερ καὶ τὸ μὴ ὑπάρχον χρυσός, ἐγγὺς δὲ τοῦ εἶναι χρυσὸς πεφυκός, ὡς χρυσὸς λέγεται καὶ οὐ χρυσός. εἰ δὲ ἦν χρυσός, οὐκ ἐλέγετο ἂν ὡς χρυσός, ἀλλὰ χρυσός. ἐπεὶ δὲ μὴ ἔστι χρυσός, ἀλλὰ ἐγγὺς τοῦ εἶναι χρυσὸς καὶ φαντάζεσθαι τὸν χρυσόν, οὐ χρυσός, ἀλλ᾽ ὡς χρυσὸς λέγεται. οὕτω καὶ ὡς ἀγγέλους ἔσεσθαι λέγοντος τοὺς ἁγίους ἐν τῇ ἀναστάσει,
C οὐκ αὐτὸ τοῦτο ἀγγέλους αὐτὸν ἐπαγγέλλεσθαι ἀκούομεν τοὺς ἁγίους ἔσεσθαι ἐν τῇ ἀναστάσει, ἀλλὰ ἐγγὺς τοῦ εἶναι ἀγγέλους. ὥστε ἀλογώτατον λέγειν, ἐπειδὴ ὁ Χριστὸς τοὺς ἁγίους ἀπεφήνατο ὀφθῆναι ὡς ἀγγέλους ἐν τῇ ἀναστάσει, τὰ σώματα διὰ τοῦτο ταῦτα μὴ ἀνίστασθαι, καίτοι τῆς λέξεως αὐτῆν τὴν τάξιν δηλούσης σαφῶς τοῦ συμβαίνοντος. ἀνάστασις γὰρ οὐκ ἐπὶ τοῦ μὴ πεπτωκότος, ἀλλ᾽ ἐπὶ τοῦ πεπτωκότος
D λέγεται καὶ ἀνισταμένου· ὥςπερ ὁπόταν λέγῃ καὶ ὁ προφήτης „καὶ ἀναστήσω τὴν
Amos. 9, 11. σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν.“ ἔπεσε δὲ ὀκλάσασα ἡ παθητὴ σκηνὴ τῆς ψυχῆς εἰς
Dan. 12, 2. γῆν χώματος. οὐ γὰρ τὸ μὴ θνῆσκον, ἀλλὰ τὸ θνῆσκον κλίνεται. θνήσκει δὲ σάρξ· ψυχὴ γὰρ ἀθάνατος. καὶ τοίνυν εἰ ἡ ψυχὴ ἀθάνατος, σῶμα δὲ ὁ νεκρός, οἱ λέγοντες ἀνάστασιν μὲν εἶναι, σαρκὸς δὲ μὴ εἶναι, ἀρνοῦνται μὴ εἶναι ἀνάστασιν, ὅτι μὴ τὸ ἑστός, ἀλλὰ τὸ πεπτωκὸς καὶ κλιθὲν διανίσταται, κατὰ τὸ γεγραμμένον „μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἀναστρέψει;“

559 XXXIII. Ὅτι δὲ ἀθάνατος ἡ ψυχὴ ἐδίδαξεν ἀναφανδὸν ὁ κύριος καὶ δι᾽ ἑαυτοῦ καὶ διὰ Σολομῶνος εἰπών, δι᾽ ἑαυτοῦ μὲν ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα
Luc. 16. Λάζαρον ἱστορίᾳ, τὸν μὲν ἐν κόλποις Ἀβραὰμ δοὺς ἀναπαύεσθαι μετὰ τὴν ἀπόθεσιν τοῦ σώματος, τὸν δὲ ἐν ἀλγηδόσιν, οἷς διαλεγόμενον τὸν Ἀβραὰμ εἰςήγαγε·
Sap. 3, 1. διὰ Σολομῶνος δὲ ἐν τῇ ἐπιγραφομένῃ σοφίᾳ, ἔνθα „δικαίων αἱ ψυχαὶ ἐν χειρί“ γέγραπται „θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρό-
B νων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ, καὶ ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης.“ ὅθεν σώματος ἡ ἀνάστασις, καὶ οὐ ψυχῆς. οὐ γὰρ τὸν ἑστῶτά τις ἀνίστησιν, ἀλλὰ τὸν κείμενον, ὥσπερ οὐδὲ τὸν ὑγιαίνοντα θεραπεύουσιν, ἀλλὰ τὸν πάσχοντα.

Εἰ δέ τις τὴν ἀνάστασιν ἐπὶ τῆς ψυχῆς, καὶ μὴ ἐπὶ τῆς σαρκὸς βιάζεται [λέγειν] ἔσεσθαι, πολλὴ μὲν μωρία τοῦτο καὶ ἀλογία. δεῖ γὰρ φθορὰν πρῶτον καὶ λύσιν τὸν τοιοῦτον τῆς ψυχῆς δεικνύναι, ἵνα δείξῃ δὴ καὶ τὴν ἀνάστασιν, μήτοι ληροῦντά
C γε, ἀλλὰ σαφῶς λέγοντά τι φαίνεσθαι. ὅμως γοῦν δοτέον αὐτῷ θνητὴν ὁρίσασθαι τὴν ψυχήν. δυοῖν γάρ τοι θάτερον ταῦτα θετέον, ἢ ἀληθῆ τὸν κύριον ἀποφήνασθαι ἀθάνατον τὴν ψυχὴν διδάσκοντα, καὶ ψεῦδος αὐτὴν τὸ φθείρεσθαι λέγειν, ἢ φθείρεσθαι, καὶ ψεῦδος τὸ ἀνώλεθρον αὐτὴν καὶ ἀθάνατον εἶναι διδάσκειν τὸν Χριστόν, καὶ ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα φράσει, καὶ ἐν τῇ κατὰ τὸν Μωυσέα
Matth. 17. καὶ τὸν Ἠλίαν ὀπτασίᾳ. ἀλλ᾽ οὐδὲν ὁ κύριος ἄλλως ἐφθέγξατο, ἢ ἐψεύσατο. οὐ γὰρ
D εἴδωλον ἢ φάσμα, τοὺς ἀποστόλους βουλόμενος ἀπατᾶν, ἐδείκνυεν αὐτοῖς ἐν τῷ ὄρει τὸν Ἠλίαν καὶ τὸν Μωυσέα, ἀλλὰ τὸ ὃ ἦσαν ἀψευδῶς. ὥςτε, ὡς ἔπος εἰπεῖν, καὶ τὸν δυςμαθέστατον μαθεῖν ἀθάνατον αὐτὸν εἶναι καὶ ἀνώλεθρον διαβεβαιοῦσθαι τὴν ψυχήν.

XXXIV. *Οὐκοῦν σαρκὸς ἡ ἀνάστασις γίνεται καὶ οὐ ψυχῆς, ὅπως ἡ πεπτωκυῖα* Amos. 9, 11.
τοῦ Δαβὶδ εἰς τὴν φθορὰν ἀνασταίη σκηνή, καὶ ἀναστᾶσα καὶ ἀνοικοδομηθεῖσα, κα-
θὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ἀπήμων λοιπὸν καὶ ἀδιάπτωτος διαμένοι, ὅτι μὴ τοῦ
θεοῦ τὴν λιθίνην οἰκίαν δείμασθαι τοῦ Δαβὶδ εἰς τὸ μέλλον, ἵν' ἐν τῇ βασιλείᾳ 560
τῶν οὐρανῶν οἰκίαν σχῇ καλήν, ἀλλὰ τὴν σάρκα τὸ σκῆνος τῆς ψυχῆς, ἣν αὐτὸς ταῖς
ἑαυτοῦ χερσὶν ἐτεκτήνατο. σκοπεῖσθαι δέ σε, ὦ σοφώτατε Ἀγλαοφῶν, οὑτωσὶ χρή.
πάντως δὲ ῥᾷστα μαθήσῃ τοῦτο, ἐὰν ἐπὶ τὴν τοῦ καθεύδειν εἰκόνα πρόσσχῃς καὶ
ἀνίστασθαι. εἰ γὰρ τὸ ὑπνοῦν ἀπὸ τοῦ ἐγρηγορέναι καὶ τὸ ἀνίστασθαι ἀπὸ τοῦ
καθεύδειν γίγνεται, καὶ τοῦτο θανάτου καὶ ἀναστάσεως μελέτη (ὕπνῳ γὰρ καὶ θα- Il. 16, 672.
νάτῳ διδυμάοσιν), ἀνάγκη δὴ καὶ τὸ ἀναβιώσκεσθαι εἶναι ἐκ τοῦ τεθνάναι, εἰς B
τὸ ζῆν τὴν σάρκα, εἴπερ καὶ τὸ ἀνεγείρεσθαι ἐκ τῶν καθευδόντων. ὡς γὰρ ἐκ τοῦ
καθεύδειν τὸ ἐγρηγορέναι γίγνεται, καὶ οὐ πάντως ὁ καθεύδων ἐν τῷ αὐτῷ διαμένει
σχήματι καθεύδων ἀεί, ἀλλ' αὖθις ἀνίσταται, οὕτως καὶ τὸ ζῆν ἐκ τοῦ ἀποθανεῖν
συμβήσεται, καὶ οὐ πάντως ὁ ἀποθανών, ἐπειδὰν ἀποθάνοι, ἐν τῷ αὐτῷ μένει. εἰ
γὰρ ἐκ τοῦ κοιμᾶσθαι τὸ ἐγρηγορέναι καὶ ἐκ τοῦ πεσεῖν τὸ ἀνεγερθῆναι καὶ ἐκ τοῦ
καταβληθῆναι τὸ ἀνοικοδομηθῆναι, τίς μηχανὴ καὶ ἐκ τοῦ κλιθέντος μὴ οὐχὶ προς-
δοκᾶν τὸ ἀναστήσεσθαι καὶ ἐκ τοῦ θανόντος τὸ ἀναβιώσκεσθαι; καὶ γὰρ ἡμεῖς ταῦτα C
οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν, ἐκ τῶν τεθνεώτων σωμάτων τὸ ἀναβιώσκεσθαι συμ-
βαίνειν. καὶ μὴ μόνον τοῦτο, εἰ βούλει, ἀπὸ τοῦ καθεύδειν σκόπει καὶ ἀνίστασθαι,
ἀλλὰ καὶ ἀπὸ τῶν σπερμάτων καὶ φυτῶν, ὡς ἐν πᾶσιν αὐτοῖς ἡ ἀνάστασις καταγγέλ-
λεται. κατάμαθε γὰρ τὰ σπέρματα, πῶς γυμνὰ καὶ ἄσαρκα βάλλεται εἰς τὴν γῆν,
καὶ τελεσφορούμενα πάλιν ἀποδίδοται. ἐπεὶ εἰ θνήσκοι μὲν καὶ σήποιτο τὰ σπέρ-
ματα, ἐκ δὲ τῶν σπερμάτων μηκέτι τὸ ἀναζῆν καὶ φύειν γένοιτο, τίς ἡ ἀποκλήρωσις D
μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς τὸ τεθνάναι;

XXXV. *Ἀλλὰ γὰρ περὶ τούτων πλείω λέγειν τὰ νῦν, ὦ κράτιστε Θεόφιλε, παρή-*
σομεν, καὶ οἱ λοιποὶ κριταὶ τῶν λόγων. λάβωμεν δὲ καὶ τὰ τούτοις ἐφεξῆς ἀκό-
λουθα, ὡς ἀφέστηκε τοῦ δέοντος μακράν. ὁ θεὸς γὰρ αὐτῷ πάλιν τὰς ψυχὰς ἐν τῇ
κατὰ τὸν ἑξηκοστὸν πέμπτον ψαλμὸν προφητείᾳ, βεβιασμένως αὐτὴν καὶ ἀνοικείως
ἐκτιθεμένῳ, ὡς εἰς παγίδα τὴν σάρκα δίκην ὑφεξούσας τῶν ἡμαρτημένων ἐμβιβάζει, 570
ὅπερ ἀτοπίας μᾶλλον ἢ ὀρθοδοξίας ἐστίν. εἰ γὰρ πρὸ τῆς παραβάσεως, καθάπερ D
ἤδη καὶ ἐν τοῖς ἔμπροσθεν ἐξεθέμεθα, σῶμα ἐκέκτηντο αἱ ψυχαί, πῶς ὡς εἰς παγίδα
ὕστερον, μετὰ τὴν παράβασιν, εἰς τὸ σῶμα ἐμβιβάζονται, οὐκ ὄντος χρόνου ἐν ᾧ
πρὶν αὐτὰς τὸ σῶμα λαβεῖν ἐξήμαρτον; οὐ γὰρ ἔμφρονος ὁτὲ μὲν ὡς διὰ τὸ σῶμα
λέγειν τὰς ψυχὰς ἡμαρτηκέναι, ὁτὲ δέ, ἐπειδήπερ ἥμαρτον, διὰ τοῦτο δεσμὸν αὐτὸ 571
καὶ παγίδα πρὸς κατάκρισιν γεγονέναι. εἰ γὰρ διὰ τὸ σῶμα ἥμαρτον, συνῆν ἄρα ἐξ
ἀρχῆς αὐταῖς καὶ πρὸ τῆς ἁμαρτίας τὸ σῶμα. πῶς γὰρ διὰ τοῦτο ἡμάρτανον, ὃ μὴ
ἦν μηδέπω; εἰ δὲ παγὶς πάλιν αὐτῷ τὸ σῶμα καὶ πέδαι νομίζεται καὶ δεσμός, οὐκέτι
τὸ συναμφότερον αἴτιον, ἀλλὰ ψυχὴ μόνη, ἁμαρτῆσαν. τί γὰρ μετὰ τὸ ἁμαρτῆσαι
τῷ ἁμαρτήσαντι; δεσμὰ καὶ παγίδες καὶ πέδαι κατασκευάζονται. ἀλλὰ μὲν δὴ ὡμο-
λογήσαμεν μὴ δύνασθαι δεσμὸν εἶναι τὸ σῶμα τῆς ψυχῆς, ἐπειδὴ τὸ μὲν σῶμα πρὸς B
ἑκάτερα, καὶ πρὸς τὸ δίκαιον καὶ ἄδικον, συνεργεῖ, ὁ δὲ δεσμὸς εἴργει τοῦ ἀδικεῖν,
ὥστε ὅπερ λέγω δυοῖν θάτερον· ἢ γὰρ ἐξ ἀρχῆς ἡμάρτομεν μετὰ σώματος, καὶ οὐ
φαίνεται χρόνος, ἐν ᾧ ἐκτὸς ὑπήρξαμεν σώματος, καὶ συναίτιον τὸ σῶμα καὶ κακῶν
τῇ ψυχῇ καὶ ἀγαθῶν, ἢ χωρὶς σώματος ἡμάρτομεν διαγαγόντες, καὶ ἀναίτιον τὸ
σῶμα κακίας ἐκ παντός. ἀλλὰ χωρὶς σώματος ὑπὸ ἀλόγου ἡδονῆς οὐ κρατεῖται ἡ
ψυχή, ἐκρατήθησαν δὲ οἱ πρωτόπλαστοι ἀλόγῳ δελεασθέντες ἡδονῇ. ἦν ἄρα ἡ ψυχὴ Gen. 3.
μετὰ σώματος καὶ πρὸ τῆς ἁμαρτίας. περὶ γὰρ δὴ τοῦ μὴ ἐγχωρεῖν αὐτὸ νομίζεσθαι C
διὰ τὴν παράβασιν δεσμὸν ἐπὶ τιμωρίᾳ γεγονότα, ἵν' ἄκρατον ἡ ψυχὴ καὶ συνεχῆ κατ'
αὐτοὺς βάσανον ἔχῃ νεκροφοροῦσα, δοκῶ μοι πλήρη ταῦτα ἤδη μετὰ πάσης ἀποδεί-
ξεως δεδηλωκέναι. ὅθεν ἀσύστατον καὶ ἀνένδεκτον τὸ μὲν σῶμα παγίδα τίθεσθαι
καὶ δεσμά, τὸν δὲ θεὸν εἰσάγειν τὰς ψυχὰς εἰς τὴν παγίδα δίκην ὑφεξούσας, ἄνω-
θεν ἐκ τοῦ τρίτου ἐκβάλλοντα οὐρανοῦ ἀνθ' ὧν παρήκουσαν τῆς ἐντολῆς. πρὸς τί
γάρ τις βλέψας πιστεύσειε τοῖς οὕτως ὑπ' αὐτῶν προπετῶς εἰρημένοις; καίπερ οὐκ D
ἔχοντος οὕτως τοῦ ψαλμοῦ, κἂν βεβιασμένως αὐτὸν ἐκτίθωνται. αὐτὰ δὲ προοίσω
τὰ ἐγκείμενα, ἵνα δὴ καὶ τὸ μυθῶδες αὐτῶν τῆς ἐξηγήσεως φανῇ, ὀρθῶς μὴ θελόν-
των νοεῖν τὰς γραφάς. εἰσὶ γὰρ οὕτω πως δήπου τὰ λεχθέντα· „ἐδοκίμασας ἡμᾶς Psal. 65, 10—12.
ὁ θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα,
ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. 572
διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.“ καὶ εὐθέως
ἐπιφέρουσι, Ταῦτα δὲ ὑπὸ τῶν ψυχῶν εἴρηται τῶν εἰς τὴν παγίδα τὸ σῶμα, ὡς εἰς
ἀγώνισμα, κατενεχθεισῶν ἐκ τοῦ τρίτου οὐρανοῦ, ἔνθα ὁ παράδεισος. τὸ γὰρ „διήλ-

θομεν διὰ πυρὸς καὶ ὕδατος“ ἤτοι, φησί, τὴν διὰ μήτρας εἰς τὸν κόσμον τῆς ψυχῆς
πάροδον δηλοῖ, ἐπειδήπερ ἐν φλογὶ τοσαύτῃ καὶ ὑγρασίᾳ καταγίγνεται, ἢ τὴν ἀπὸ
B τῶν οὐρανῶν κατάπτωσιν εἰς τὸν βίον διερχομένης τὰς πηγὰς τοῦ πυρὸς καὶ τὰ ὑπὲρ
τὰ νῶτα τοῦ στερεώματος ὕδατα. πρὸς οὓς ἠξίουν ἐνίστασθαι. φέρε γὰρ ὑπὲρ αὐ-
τῶν, ὦ Ἀγλαοφῶν, αὐτὸς ποίησαι τὴν ἀπόκρισιν, τί λέξουσι.

XXXVI. *Πρῶτον γὰρ ὁ παράδεισος*, ὅθεν καὶ ἐξεβλήθημεν ἐν τῷ πρωτοπλάστῳ,
ἐκ ταύτης ἐστὶ τῆς γῆς προδήλως τόπος ἐξαίρετος, πρὸς ἄλυπον ἀνάπαυσιν καὶ δια-
γωγὴν τοῖς ἁγίοις ἀφωρισμένος δηλονότι, ἀφ' οὗ καὶ τὸν Τίγριν καὶ τον Εὐφράτην καὶ
τοὺς λοιποὺς ποταμοὺς τοὺς ἐκεῖθεν προχεομένους ἐνταῦθα φαίνεσθαι τῶν ῥευμάτων
C τὰς διεκβολὰς εἰς τὴν καθ' ἡμᾶς ἤπειρον ἐπικλύζοντας. οὐ γὰρ ἀπὸ τῶν οὐρανῶν
ἄνωθεν καταράσσονται χεόμενοι· ἐπεὶ οὐδὲ ὑπέστη ἂν ἡ γῆ ὄγκον τοσοῦτον ἀθρόως
ἐξ ὕψους καταφερόμενον ὑποδέξασθαι ὕδατος. [1]ἀλλ' οὐδὲ ὁ ἀπόστολος ὑποτίθεται
τὸν παράδεισον εἶναι ἐν τρίτῳ οὐρανῷ τοῖς λεπτῶν ἀκροᾶσθαι λόγων ἐπισταμένοις.
2 Cor. 12, 2. „οἶδα“ γάρ „ἁρπαγέντα ἕως τρίτου“ λέγων „οὐρανοῦ. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρω-
πον, εἴτε ἐν σώματι εἴτε χωρὶς σώματος, ὁ θεὸς οἶδεν ὅτι ἡρπάγη εἰς τὸν παρά-
D δεισον“ δύο ἀποκαλύψεις ἑωρακέναι μηνύει, δὶς ἀναληφθεὶς ἐναργῶς, ἅπαξ μὲν
ἕως τρίτου οὐρανοῦ, ἅπαξ δὲ εἰς τὸν παράδεισον. τὸ γὰρ „οἶδα ἁρπαγέντα τὸν
τοιοῦτον ἕως τρίτου οὐρανοῦ“ ἰδίως ἀποκάλυψιν αὐτῷ κατὰ τὸν τρίτον ἀναληφθέντι
οὐρανὸν πεφηνέναι συνίστησι· τὸ δὲ „καὶ οἶδα“ πάλιν ἐπιφερόμενον „τὸν τοιοῦτον
ἄνθρωπον, εἴτε ἐν σώματι εἴτε ἐκτὸς τοῦ σώματος, εἰς τὸν παράδεισον“ ἑτέραν αὖ-
θις αὐτῷ πεφανερῶσθαι κατὰ τὸν παράδεισον ἀποκάλυψιν δείκνυσι. τερετισμὸς οὖν
ἐστι καὶ τερατολογία τὸ καταβάλλεσθαι λέγειν τὰς ψυχὰς ἐκ τῶν οὐρανῶν καὶ δια-
573 βαίνειν τοῦ πυρὸς τὰς πηγὰς καὶ τὰ ὕδατα τὰ ὑπὲρ τὰ νῶτα τοῦ στερεώματος, εἰς
Gen. 3. τὸν καθ' ἡμᾶς φερομένας κόσμον. ἐπεὶ μηδὲ ὁ Ἀδὰμ ἐκ τῶν οὐρανῶν ἐξεβλήθη,
ἀλλὰ ἀπὸ τοῦ κατὰ ἀνατολὰς ἐν Ἐδὲμ πεφυτευμένου παραδείσου. οὐ γὰρ πρὸ τῆς
ἐνσωματώσεως τὸ παράπτωμα, καθάπερ ἐδιδάξαμεν ἱκανῶς, οὐδ' αὖ τὸ σῶμα παγὶς
τοῦτο, ἀλλὰ μετὰ τὴν εἰς τὸ σῶμα σύμφυσιν τῆς ψυχῆς γίνεται τὸ παράπτωμα, ὅτι
τὸ συναμφότερον ὁ ἄνθρωπος, καὶ ἡ ἐκ τοῦ παραδείσου κατάπτωσις ἐνθάδε. ὁ δὲ
B ὅλως οὐ προσέσχεν ἐπιμελέστερον, Ἀγλαοφῶν, τῷ λόγῳ, ἀλλὰ διετείνατο περὶ πραγμά-
των διανόησιν οὐκ ἐχόντων ἀκίνδυνον, ἐπιχειρήσας κατὰ τὰς δόξας ἐξηγήσασθαι τῶν
φαύλων τὸν ψαλμόν, περὶ ὧν λέγειν πλείω παρήσομεν.

XXXVII. *Βούλομαι γάρ*, ἐπειδὴ ἅπαξ εἰς τὸ διευθῦναι τὴν μοχθηρίαν αὐτῶν
ἥκομεν, ἀπογυμνῶσαι καὶ ταύτης αὐτοῖς τῆς προφητείας τὴν πρόφασιν. „ἐδοκίμασας
ἡμᾶς ὁ θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.“ δοκιμασθέντες διαρκῶς
C οἱ μάρτυρες ἐν ταῖς κατὰ τοὺς πειρασμοὺς τῶν βασάνων προσβολαῖς (τὰ πολλὰ γάρ
ἐστι καθ' ἡμᾶς ἐν προφητείαις· πίστει γὰρ πληροῦνται) καὶ εὐκλεῶς καὶ ἐῤῥωμενέ-
στατα διαθλήσαντες εὐχαριστοῦσι τό „ἐδοκίμασας ἡμᾶς“ λέγοντες „τῷ θεῷ,“ ὃς ἵνα
τὴν δόξαν παρ' αὐτῷ κτήσωνται μείζονα, διὰ πολλῶν αὐτοὺς ἤλεγξε πόνων, τὸν ἀλη-
θῶς Ὀλυμπιακὸν ἀγῶνα νικῆσαι προθείς. καὶ ἐπισκέψασθε ὡς τούτοις συνῳδὰ σα-
φῶς τοῖς λόγοις περὶ μαρτυριῶν καὶ ὁ Σολομῶν ἀναφθέγγεται (οὐ γὰρ ἀμάρτυρος ὁ
Sap. 3, 5—7. λόγος καὶ ἄλλων γραφῶν) ὅτι „ὁ θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους
D ἑαυτοῦ, ὡς χρυσίον ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα εὐωδίας
Sap. 3, 4. 5. προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν,“ πρόσθεν εἰπών „καὶ γὰρ ἐὰν
ἐν ὄψει ἀνθρώπων κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευ-
Psal. 123, 2. θέντες μεγάλα εὐεργετηθήσονται.“ ἀλλὰ καὶ ἐν τῷ ρκγ' ψαλμῷ τό „εἰ μὴ ὅτι κύριος
ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς·
χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.
εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. ἡ ψυχὴ ἡμῶν ὡς
στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς
574 ἐῤῥύσθημεν“ οἱ μάρτυρές εἰσιν οἱ ψάλλοντες. δύο δὲ τῶν καλλινίκων οἱ χοροὶ
μαρτύρων, εἷς μὲν τῆς διαθήκης τῆς καινῆς, θάτερος δὲ τῆς παλαιᾶς, ἀντίφθογγον
Psal. 65, 10. 11. ὕμνον συμφώνως τῷ ὑπερμάχῳ θεῷ καὶ βασιλεῖ τῶν ὅλων ἀναπέμποντες „ἐδοκίμα-
σας ἡμᾶς ὁ θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον, εἰσήγαγες ἡμᾶς εἰς
τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν,“ τὸ δικαστήριον τῶν ἐθνῶν ἢ
τοὺς πειρασμούς, καθ' οὓς ἐκθλιβέντες καὶ πυρωθέντες ἰσχυρῶς ἐδοκιμάσθησαν.
Psal. 25, 2. „δοκίμασόν με“ φησί „κύριε, καὶ πείρασόν με. πύρωσον τοὺς νεφρούς μου
B καὶ τὴν καρδίαν μου.“ λεγέτω δὴ καὶ ὁ Ἀβραὰμ ἐπὶ τῷ μονογενεῖ πυρωθεὶς
τὰ σπλάγχνα, προτιμήσας τε τὸ τοῦ θεοῦ μᾶλλον πρόσταγμα, μετὰ τὸ ἀκοῦσαι

1) Ἀλλ' οὐδὲ ὁ ἀπόστολος .. (D.) .. ἀποκάλυψιν δείκνυσι. Photius cod. 234. p. 295, *b*. 30. — p. 296, *a*. 3. haec leviter immutata refert.

„Ἀβραάμ, φεῖσαι τοῦ παιδός σου“ ἀποῤῥίψας τὸ ξίφος, „ἐδοκίμασας ἡμᾶς ὁ θεός, Gen. 22, 12.
ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.“ λεγέτω καὶ ὁ Ἰὼβ μετὰ τὸ ἀποῤῥεῦ-
σαι τὴν σαπρίαν καὶ ὀνειδισθῆναί τε ὑπὸ τῶν φίλων καὶ ἀλγῆσαι τὸ σῶμα, διὰ
λαίλαπος ἀκούσας λαλοῦντος αὐτῷ τοῦ θεοῦ „οἴει με ἄλλως σοι κεχρηματικέναι Job. 40, 8.
ἢ ἵνα ἀναφανῇς δίκαιος;“ „ἔθου θλίψεις ἐναντίον ἡμῶν, κύριε, ἵνα ἡμᾶς ὡς χρυ- C
σίον ἐν χωνευτηρίῳ δοκιμάσῃς.“ λεγέτωσαν καὶ οἱ τρεῖς ἐν τῇ καμίνῳ παῖδες Dan. 3.
δροσιζόμενοι, ἵνα μὴ καταφλεχθῶσιν ὑπὸ τοῦ πυρός, „ἐδοκίμασας ἡμᾶς ὁ θεός,
ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ
ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.“ δὸς εἰπεῖν κἀμοὶ τῷ Μεθοδίῳ, ὁ θεὸς ὁ παν-
τοκράτωρ, ὁ μέγας, ὁ αἰώνιος, ὁ πατὴρ τοῦ Χριστοῦ, ἐν τῇ ἡμέρᾳ σου διαβάντι τὸ
πῦρ ἀναλγητί, καὶ τῶν ῥευμάτων εἰς τὴν καυστικὴν μεταβληθέντων φύσιν ὑπεξαλύξαν-
τι τὰς ὁρμάς, „διῆλθον διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγές με εἰς ἀνάψυξιν.“ σὴ D
γὰρ αὕτη τοῖς ἀγαπῶσί σε ἡ ἐπαγγελία „ἐὰν διαβαίνῃς δι᾽ ὕδατος, μετὰ σοῦ εἰμι, Esai. 43, 2.
καὶ ποταμοὶ οὐ συγκλύσουσί σε. κἂν διαβαίνῃς διὰ πυρός, οὐ μὴ κατακαυθῇς·
φλὸξ οὐ κατακαύσει σε.“ ἀλλὰ γὰρ περὶ τῆς κατὰ τὸν ψαλμὸν ἐξηγήσεως ἅλις
ἔχει ταῦτα.

XXXVIII. Ἔτι ἐκεῖνο δὲ διασκεπτέον, ἐν ᾧ πολυμόρφοις ἐμφανταζόμενοι ἀπά-
ταις, καθευδόντων τρόπον, ἀποφαίνονται τὸν ἀπόστολον εἰρηκέναι „ἐγὼ δὲ ἔζων Rom. 7, 9.
χωρὶς νόμου ποτέ.“ καὶ βοῶσι, Τὴν πρὸ τῆς ἐντολῆς ἡμῶν ἐν τῷ πρωτοπλάστῳ
διαγωγὴν πρὸ σώματος ἔφη, ὡς τὰ ἐπιφερόμενα συνίστησιν „ἐγὼ δὲ σάρκινός εἰμι, 575
πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν,“ ὅτι μὴ ἄλλως ὁ ἄνθρωπος ἄρχεσθαι ἠδύνατο καὶ
κυριεύεσθαι ὑπὸ τοῦ κακοῦ, πραθεὶς αὐτῷ διὰ τὴν παράβασιν, εἰ μὴ σάρκινος ἦν
γεγονώς. ἄληπτος γὰρ καθ᾽ ἑαυτὴν ἡ ψυχή, φησί, τῇ ἁμαρτίᾳ. διὸ δριμέως ἐπήγαγεν
„ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν,“ πρόσθεν εἰπὼν τό „ἐγὼ δὲ
ἔζων χωρὶς νόμου ποτέ.“ θαῦμα μὲν οὖν τοῖς πολλοῖς ταῦτα λεγόντων αὐτῶν τότε
ὑπεδύετο καὶ κατάπληξις, νῦν δὲ προκυψάσης εἰς τὸ φανερώτερον ἤδη τῆς ἀληθείας B
οὐ μόνον μακρῷ πλανώμενοι καταφαίνονται, ἀλλὰ καὶ μέχρι τῆς ἄκρας ἀναβαίνοντες
βλασφημίας. δόντες γὰρ ἀσωμάτως τὰς ψυχὰς πρὸ τῆς ἐντολῆς βεβιωκέναι, ἀλήπτους
τε εἶναι καθ᾽ ἑαυτὰς ἐκ παντὸς τῇ ἁμαρτίᾳ διανοηθέντες, πάλιν ἀνέτρεψαν τὸν λό-
γον, ἑαυτοὺς δὲ πολὺ μᾶλλον. τὰ γὰρ δὴ σώματα κατασκευάζουσιν αὐταῖς ὕστερον
ἐπὶ τιμωρίᾳ, διὰ τὸ πρὸ σώματος αὐτὰς ἡμαρτηκέναι. καὶ δὴ καὶ λοιδορήσεις τε
ἐπῆλθον αὐτοῖς, δεσμοῖς ἀπεικάζουσι καὶ πέδαις τὸ σῶμα, ἄλλα τε ἀνόητα εἰπεῖν. C
νῦν δέ, ὅπερ εἴρηται, πᾶν τοὐναντίον ἔχει· χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας τὴν ψυχὴν
ὑπάρχειν μετὰ σώματος. ἐπεὶ εἰ ἄληπτος ἡ ψυχὴ καθ᾽ ἑαυτὴν τῇ ἁμαρτίᾳ, οὐκ ἂν
ἥμαρτεν ὅλως πρὸ τοῦ σώματος· εἰ δὲ ἥμαρτεν, οὐκέτι ἄληπτος καθ᾽ ἑαυτὴν τῇ ἁμαρ-
τίᾳ, ἀλλὰ καὶ εὐάλωτος μᾶλλον καὶ εὔληπτος. διὸ καὶ πάλιν, κἂν μὴ λάβῃ τὸ σῶμα
τοῦτο, ἁμαρτήσεται, ὥςπερ δὴ καὶ πρὸ τοῦ λαβεῖν αὐτὸ ἥμαρτεν. διὰ τί δὲ ὅλως
καὶ σῶμα ἐλάμβανεν ὕστερον μετὰ τὸ ἡμαρτηκέναι; ἢ τίς αὐτῇ χρεία σώματος ἦν; D
εἰ μὲν οὖν ἵνα βασανίζηται καὶ ἀλγῇ, πῶς μᾶλλον ἐντρυφᾷ καὶ ἀκολασταίνει μετὰ
σώματος; πῶς δὲ καὶ τὸ αὐτεξούσιον εἶναι ἐν τούτῳ φαίνεται ἔχειν τῷ κόσμῳ; ἐφ᾽
ἡμῖν γὰρ τὸ πιστεῦσαι κεῖται καὶ τὸ μὴ πιστεῦσαι. ἔνθα δὲ ἐφ᾽ ἡμῖν τὸ πιστεῦσαι
κεῖται καὶ τὸ μὴ πιστεῦσαι, ἐφ᾽ ἡμῖν τὸ κατορθώσασθαι καὶ ἁμαρτήσασθαι, ἐφ᾽
ἡμῖν τὸ ἀγαθοποιῆσαι καὶ κακοποιῆσαι. ἀλλὰ καὶ ἡ κρίσις πῶς δὴ ἐπιφέρεσθαι,
ὡς μέλλουσα, προσδοκᾶσθαι ἔτι δύναται, καθ᾽ ἣν ὁ θεὸς ἑκάστῳ κατὰ τὰ ἔργα καὶ
κατὰ τὰ ἐπιτηδεύματα ἀποδίδωσι, καὶ οὐχ ὡς ἤδη παροῦσα νομισθήσεται, εἴ γε τὸ
γεννηθῆναι μὲν καὶ εἰς σῶμα ἐλθεῖν τὴν ψυχὴν κριθῆναί ἐστιν ἤδη καὶ ἀνταπολα- 576
βεῖν, τὸ δὲ ἀποθανεῖν καὶ χωρισθῆναι τοῦ σώματος ἐλευθερωθῆναί τε καὶ εἰς ἀνά-
ψυξιν ἐλθεῖν, διὰ τὸ πρὸ σώματος αὐτὴν ἁμαρτήσασαν ὡς εἰς κατάκρισιν καὶ κατα-
δίκην εἰς τὸ σῶμα ἐμβιβάζεσθαι καθ᾽ ὑμᾶς; ἀπέδειξε δὲ διαρκῶς ἐκ περιουσίας ὁ
λόγος ἀνένδεκτον εἶναι νομίζεσθαι τὸ σῶμα βασανιστήριον καὶ πέδας τῆς ψυχῆς.

XXXIX. Ἤρκει μὲν οὖν ἀπὸ τῆς γραφῆς αὐτῆς ἀποδείξαντα πρὸ τῆς παραβάσεως
τὸν πρωτόπλαστον ἐκ ψυχῆς καὶ σώματος ὄντα καταπαύειν τὸν περὶ τούτων ἐνταῦθα B
λόγον. κἀγὼ μὲν νῦν ἐπὶ κεφαλαίων αὐτὰ διεξέρχομαι, ὅσον τὰς ἀφορμὰς τῶν ἐπι-
χειρημάτων αὐτῶν εὐθῦναι διαμιλλώμενος, ἵνα μὴ τὴν συμμετρίαν ἐκβαίνω τῶν λόγων.
πάρεστι γὰρ ἤδη σκοπεῖν ὑμᾶς, ὦ δικασταί, ὅτι τό „ἐγὼ δὲ ἔζων χωρὶς νόμου
ποτέ“ λεγόμενον ἐν τῇ πρὸς Ῥωμαίους οὐ δύναται πίπτειν εἰς τὴν πρὸ σώματος κατ᾽
αὐτοὺς διαγωγὴν τῆς ψυχῆς, καθάπερ τὰ ἐπιφερόμενα τούτοις μηνύει, κἂν εἰ ὁ γεν-
ναῖος οὗτος ἰατρὸς τῶν ῥητῶν τὰ ἑξῆς ὑφελόμενος πρὸς τὸ δοκοῦν αὐτῷ τὸν νοῦν
ἐβιάσατο μεταπλάσαι τοῦ ἀποστόλου, ἀνίατρόν τι παθὼν λίαν καὶ παιδικόν. ἀντὶ C
γὰρ τοῦ πρὸς τὰς οἰκείας συμφύσεις καὶ ἁρμογὰς τὰ μέλη τηρεῖν τῶν σωμάτων, ἵνα
τὸ πᾶν ἄρτιον ᾖ κατὰ φύσιν σχῆμα τοῦ σώματος, ἠκρωτηρίασε παρελθὼν τὸν εἱρμὸν

τῆς γραφῆς, καθάπερ Σκύθης ἐχθροῦ τινος ἀφειδῶς πρὸς ἀναίρεσιν κατατέμνων τὰ
μέλη. Εἶεν· πῶς οὖν ὁ ἀπόστολος, λέξουσι, ταῦτα ἀπεφήνατο, εἰ σὺ μὴ οὕτως αὐτὰ ἀπέ-
δειξας ἔχειν; ὅτι Νόμον, εἴποιμ' ἄν, θέμενος εἶναι τὴν ἐντολήν (δεδόσθω γὰρ πρῶτον
D κατὰ τὴν ὑμετέραν ὑπόθεσιν τὴν ἐντολὴν αὐτὸν νόμον εἰρηκέναι), οὐ παρὰ τοῦτο καὶ
ἀσωμάτως πρὸ τῆς ἐντολῆς τὸν πρωτόπλαστον ὑπέθετο βεβιωκέναι, ἀλλὰ χωρὶς ἁμαρ-
τίας. καὶ γὰρ ὀλίγος ὁ ἀπὸ τῆς κτίσεως αὐτῶν ἄχρι τῆς ἐντολῆς χρόνος, ἐν ᾧ διέ-
ζησε χωρὶς ἁμαρτίας, οὐκ ἐκτὸς[1] σώματος, ἀλλὰ μετὰ σώματος. εὐθέως γοῦν μετὰ
τὴν ἐντολὴν ἐξεβλήθησαν βραχύτατον ἐννεάσαντες ἐν τῷ παραδείσῳ χρόνον. ἐὰν δέ τις
Rom. 7,5. λαβόμενος τῆς ῥήσεως τῆς „ὅτε γὰρ ἦμεν ἐν σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ
διὰ τοῦ νόμου“ λεγούσης „ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν“ διαβάλλειν αὐτὸν τὴν
Rom. 8,4—8. σάρκα νομίζῃ καὶ παραιτεῖσθαι, παραφέρῃ τε ὅσα τοιαῦτα ἄλλα εἴρηται (οἷον „ἵνα
τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ
κατὰ πνεῦμα“ ἢ τό „οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν, οἱ δὲ κατὰ
πνεῦμα τὰ τοῦ πνεύματος· τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ
πνεύματος ζωὴ καὶ εἰρήνη, διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν· τῷ γὰρ νό-
μῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλὰ
ἐν πνεύματι“), λεκτέον αὐτῷ, Πότερον οὖν ἤδη ἀναλύσας ὁ ἀπόστολος ἦν ἐκ τοῦ βίου
καὶ οἷς ταῦτα ἐπέστελλεν, εἰ μὴ τὴν κατὰ σάρκα νῦν παρῃτεῖτο πολιτείαν, ἀλλὰ τὴν
σάρκα, ἢ ἔτι ἐν σαρκὶ ἦν; ἀλλὰ ἐν σαρκὶ μὴ ὄντα αὐτὸν ἐπεσταλκέναι ταῦτα, οὐ λεκ-
τέον· φανερὸν γὰρ ὅτι ἦν ἐν σαρκὶ καὶ αὐτὸς καὶ οἷς ταῦτα ἐπέστελλεν. πῶς οὖν
„ὅτε γὰρ ἦμεν ἐν σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς
μέλεσιν ἡμῶν,“ ὡς οὐκ ὢν οὔτε αὐτὸς ἔτι ἐν σαρκὶ οὔτε οἷς ταῦτα ἐπιστέλλει, λέγει;
οὐκοῦν περὶ τῆς κατὰ ἀκρασίαν πολιτείας διαλέγεται καὶ οὐ περὶ τῆς σαρκὸς αὐτῆς.
ἔθος γὰρ αὐτῷ σαρκικὸν τὸν οὕτως ζῶντα ἄνθρωπον λέγειν, καθάπερ καὶ ψυχικὸν
ἄνθρωπον τὸν ἀπηλγηκότα πρὸς τὴν ἀλήθειαν ἀτενίσαι καὶ τὸν φωτισμὸν τοῦ μυστη-
ρίου. ἐπεὶ λεγέτωσαν μηδὲ τὴν ψυχὴν δύνασθαι σώζεσθαι τὸ σύνολον. γέγραπται γὰρ
1 Cor. 2, 15. „ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ
ἐστιν· ὁ δὲ πνευματικὸς πάντα ἀνακρίνει.“ ὥςπερ ἐκεῖ ψυχικὸς εἰςάγεταί τις καὶ
πνευματικὸς ἄνθρωπος, καὶ ὁ μὲν πνευματικὸς τῶν σωζομένων, ὁ δὲ ψυχικὸς τῶν
ἀπολλυμένων, καὶ οὐ παρὰ τοῦτο δὴ ψυχὴ μὲν ἀπόλλυται, ἄλλα δὲ παρὰ τὴν ψυχὴν
σώζεται, οὕτω δὴ καὶ ἐνθάδε σαρκικοὺς καὶ ἐν σαρξὶν ὑπάρχοντας ἀπόλλυσθαι λέγων,
καὶ μὴ δύνασθαι ἀρέσαι θεῷ, οὐ τὴν σάρκα, ἀλλὰ τὴν κατὰ σάρκα πολιτείαν ἀναι-
Rom. 8, 8. ρεῖσθαι ἀγωνίζεται. ὑποβὰς δὲ καὶ εἰπὼν „οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύ-
νανται“ εὐθέως ἐπιφέρει „ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλὰ ἐν πνεύματι, εἴπερ πνεῦμα
Χριστοῦ οἰκεῖ ἐν ὑμῖν.“ καὶ μετ' ὀλίγον „ὅτι δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ
νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα
ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν. ἄρα οὖν, ἀδελφοί, ὀφειλέται
ἐσμὲν οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνή-
σκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε.“ προσεκτέον γὰρ
- 577 ὡς τὴν τοῦ σώματος πρὸς τὰς ἡδονὰς ὁρμὴν καὶ οὐχὶ τὸ σῶμα θανατοῦσθαι διαβε-
βαιώσατο.

Rom. 8,7. XL. Ἐὰν δὲ πάλιν ἀνθυποφέρωσι λέγοντες, Πῶς δὴ οὖν „τὸ φρόνημα τῆς σαρκὸς“
εἶναι εἴρηται „ἔχθρα εἰς θεόν;“ „τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ
δύναται,“ λεκτέον ὡς ἄρα καὶ ἐνθάδε διαπίπτουσιν. οὐ γὰρ τὴν σάρκα αὐτήν, ἀλλὰ
τὸ φρόνημα τῆς σαρκὸς ὑποτάσσεσθαι μὴ δύνασθαι τῷ νόμῳ τοῦ θεοῦ ὑπέθετο, ἕτε-
ρον παρὰ τὴν σάρκα ὑπάρχον. καθάπερ εἰ ἔλεγεν „ὁ ῥύπος τοῦ μὴ καλῶς ἀργύρου
B καθαρισθέντος εἰς τὸ γενέσθαι σκεῦος ἐπιτήδειον οὐχ ὑποτάσσεται τῷ δημιουργῷ·
οὐδὲ γὰρ δύναται (ἐκβληθῆναι γὰρ αὐτὸν πρότερον καὶ ἐκτακῆναι δεῖ),“ καὶ οὐ παρὰ
τοῦτο τὸν ἄργυρον ἀπεφαίνετο μὴ δύνασθαι εἰς σκεῦος πονηθῆναι χρήσιμον, ἀλλὰ τὸ
χαλκῶδες τὸ ἐν τῷ ἀργύρῳ καὶ τὴν ἄλλην σκληρότητα· [2] οὕτω καὶ τὸ φρόνημα τῆς
σαρκὸς εἰπὼν οὐ τὴν σάρκα ἔφη μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ, ἀλλὰ
τὸ φρόνημα τὸ ἐν τῇ σαρκί, οἷον τὸ πρὸς τὰς ἀκρασίας αὐτῆς λέγων ὅρμημα. ὅπερ
C ἀλλαχοῦ ὁτὲ μὲν παλαιὰν ζύμην κακίας καὶ πονηρίας ἐκάλεσεν, ἐπισπέρχων αὐτὸ τελέως
1 Cor. 5,7. ἀφ' ἡμῶν ἀϊστωθῆναι, ὁτὲ δὲ νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοὸς καὶ αἰχμα-
Rom. 7,23. λωτίζοντα. ἐπεί, εἰ αὐτὴν τὴν σάρκα ἔλεγε μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ

1) *Σώματος .. τὴν τοῦ σώματος πρὸς τὰς ἡδονὰς ὁρμήν.* Haec omnia vulgo omitti solebant, lacuna indicata, quam Oehlerus ope codicis Ven. primus explevit.

2) Oecumenius Exposit. in Epist. S. Pauli, ed. Veron. p. 308. ad Rom. 8, 7: *φρόνημα τῆς σαρκὸς οὐχ ἡ σάρξ, ἀλλὰ τὸ πρὸς ἀκρασίαν αὐτῆς ὅρμημα. οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως.* Oecumenium exscripsit Theodulus Coelosyr. Presb. Comment. in Epist. ad Rom. c. 8. Vid. Biblioth. PP. max. T. 27. p. 602, E.

θεοῦ, πρῶτον οὐδὲ μέμψιν ἀσελγαίνοντες ἢ λῃστεύοντες ἢ τὰ ἄλλα ὅσ' ἄττα διὰ σώμα-
τος πράσσοντες ἢ ποιοῦντες ἔχειν ἐδυνάμεθα παρὰ δικαίῳ κριτῇ, ἀδυνάτως ἐχούσης
τῆς σαρκὸς ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ. πῶς γὰρ ἂν μεμπτέον ἐδύνατο τὸ σῶμα
κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν βιοῦν εἶναι; ἀλλὰ οὐδὲ ἄλλως εἰς ἁγνείαν ἢ ἀρετὴν D
ὑπαχθῆναι τὸ σῶμα ἐδύνατο, πεφυκὸς μὴ ὑποτάσσεσθαι τῷ ἀγαθῷ. εἰ γὰρ ἡ φύσις
τοιαύτη τῆς σαρκός, μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ, νόμος δὲ θεοῦ
δικαιοσύνη καὶ σωφροσύνη, ἐχρῆν μήτε παρθενεύειν μήτε ἐγκρατεύεσθαι δύνασθαι τὸ
σύνολον ὅλως ἐκ παντός εἰ δὲ παρθενεύουσι, καὶ ἐγκρατεύονται, ἐγκρατεύονται δὲ ὁπότε
τὸ σῶμα ὑποτάσσουσιν (ἄλλως γὰρ ἐγκρατεύεσθαι ἁμαρτίας ἀδύνατον), οὐκ ἄρα οὐ δύναται
τὸ σῶμα ὑποτάσσεσθαι τῷ τοῦ θεοῦ νόμῳ. ἐπεὶ πῶς ἂν ὁ Ἰωάννης ὑπέταξεν αὐτοῦ τὸ
σῶμα εἰς ἁγνείαν; ἢ πῶς Πέτρος εἰς ὁσιότητα ἢ οἱ καθεξῆς εἰς δικαιοσύνην; πῶς δὲ 578
καὶ Παῦλος „μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν“ λέγει „σώματι εἰς Rom. 6, 12.
τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας
τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ ὡςεὶ ἐκ νεκρῶν ζῶντας καὶ τὰ μέλη
ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ;“ καὶ πάλιν „ὥςπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν Rom. 6, 19.
δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτως νῦν παραστήσατε τὰ μέλη
ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.“

XLI. Οὐκοῦν ἐγίγνωσκεν δύνασθαι διευθύνεσθαι τὸ σκήνωμα τοῦτο καὶ νεύειν πρὸς B
τὸ ἀγαθόν, ἵνα νεκρωθῶσιν ἐν αὐτῷ τὰ ἁμαρτήματα. ἐπεὶ πῶς ἑτέρως δουλωθῆναι
τῇ δικαιοσύνῃ δύναται ἄνθρωπος καὶ ἐφ' ἡμῶν, ἐὰν μὴ πρότερον ὑποτάξας ἑαυτοῦ τὰ
μέλη τῆς σαρκός, εἰς τὸ μὴ ὑπακούειν αὐτὰ τῇ ἁμαρτίᾳ, ἀλλὰ τῇ δικαιοσύνῃ, πολιτεύ-
σηται κατ' ἀξίαν τοῦ Χριστοῦ; ἐπειδὴ τὸ ἁμαρτῆσαι καὶ τὸ μὴ ἁμαρτῆσαι διὰ τοῦ
σώματος γίγνεται, τῆς ψυχῆς ἢ πρὸς ἀρετὴν ἢ πρὸς κακίαν ὀργάνῳ χρωμένης αὐτῷ.
εἰ γὰρ οὔτε πόρνοι οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖ- 1 Cor. 6, 10.
ται οὔτε κλέπται οὔτε πλεονέκται οὔτε μέθυσοι οὔτε λοίδοροι οὔτε ἅρπαγες βασι- C
λείαν θεοῦ κληρονομῆσαι δύνανται, πληροῦνται δὲ ταῦτα καὶ κρατύνονται διὰ τοῦ
σώματος, δικαιοῦται δὲ οὐδείς, ἐὰν μὴ πρῶτον κρατήσῃ τούτων, κρατεῖ δὲ τούτων
ὁ ἐκνεύων πρὸς σωφροσύνην καὶ πίστιν, ὑποτάσσεται ἄρα τὸ σῶμα τῷ νόμῳ τοῦ
θεοῦ· ὁ νόμος γὰρ θεοῦ σωφροσύνη. ὥςτε ὁ ἀπόστολος οὐ τὴν σάρκα μὴ ὑπο-
τάσσεσθαι τῷ ἀγαθῷ ἔφη, ἀλλὰ τὸ φρόνημα τῆς σαρκός, οἷον τὴν ὁρμὴν αὐτῆς τὴν
πρὸς τὰς ἀκρασίας ἀναιρῶν, ὥςπερ δὴ καὶ τῆς ψυχῆς τὴν πρὸς τὸ ἄδικον ἔκκαυσιν.
ἐκκαθαίρεσθαι γοῦν ἄχρι καὶ τὴν γαστριμαργικὴν ἀκρασίαν διαμιλλώμενος, διδάσκων D
τε τὰς τοιαύτας ὀρέξεις καὶ ἡδονὰς ἐξαπόλλυσθαι, καὶ καταισχύνων τοὺς τὸ τρυφᾶν
τοῦτο καὶ πολυτελεύεσθαι ζῆν εἶναι νομίζοντας, οἳ θεὸν ἡγοῦνται τὴν κοιλίαν, „φάγω- Phil. 3, 19.
μεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν,“ καθάπερ ἀδηφάγα θρέμματα κάτω περὶ 1 Cor. 15, 32.
τὴν βορὰν μόνον καὶ τὰς τραπέζας ἀσχολούμενα, εἰπών τε „τὰ βρώματα τῇ κοιλίᾳ 1 Cor. 6, 13.
καὶ ἡ κοιλία τοῖς βρώμασιν. ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει“ ἐπήγαγε
„τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ, καὶ ὁ κύριος τῷ σώματι. ὁ δὲ θεὸς καὶ 579
τὸν κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. ἢ οὐκ οἴδατε ὅτι τὰ
μέλη ἡμῶν μέλη Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη;
μὴ γένοιτο. ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι; ἔσονται γάρ,
φησίν, οἱ δύο εἰς σάρκα μίαν. ὁ δὲ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι. φεύγετε
τὴν πορνείαν. πᾶν ἁμάρτημα, ὃ ἂν ἁμαρτήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν.
ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς B
τοῦ ἐν ἡμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγο-
ράσθητε γὰρ τιμῆς. ἄρα γε δοξάσατε τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν.“

XLII. Πρόςσχες ὅτι ἐπειδὴ τὸ σῶμα τοῦτο δύναται τὸν νόμον τοῦ θεοῦ καὶ τὴν
ἀθανασίαν ὑποδέξασθαι, ἐὰν καθαίροιτο τῆς ἀκρασίας τῶν ὑπεκκαυμάτων, μὴ χραινό-
μενον ἀθέσμοις ὅλως οἴστρων παρατριβαῖς, ὁ ἀπόστολος ταῦτα ἀνεφθέγξατο. ποῖον
γὰρ τὸ κολλώμενον ἕτερον τῇ πόρνῃ καὶ πλησιάζον καὶ σὰρξ μετ' αὐτῆς κατὰ τὴν
σύνερξιν τῶν μελῶν καὶ τὴν κοινωνίαν μία γινόμενον παρὰ τοῦτο τὸ σῶμα τὸ ἔξω, δι' C
οὗ ταῦτα πάντα πληροῦται τὰ πρὸς μῖξιν καὶ ἔκκαυσιν ἁμαρτήματα; ὅθεν καὶ πᾶν
ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ὁ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς
τὸ ἴδιον σῶμα ἁμαρτάνει. τῦφος μὲν γὰρ καὶ ἀπιστία καὶ θυμὸς καὶ ὑπόκρισις ψυχῆς
ἁμαρτήματα, πορνεία δὲ καὶ οἶστρος καὶ τρυφὴ σώματος· μεθ' ὧν οὔτε ψυχὴ πρὸς
ἀλήθειαν ἀναπτήσεται οὔτε σῶμα σωφροσύνης ὑποταχθήσεται δόγμασιν, ἀλλὰ ἄμφω
διολισθήσουσι τῆς βασιλείας τοῦ Χριστοῦ. καὶ τοίνυν εἰ τὰ σώματα ἡμῶν ἐν ἁγιασμῷ
διακρατούμενα ναός ἐστι τοῦ ἐν ἡμῖν οἰκοῦντος πνεύματος, καὶ ὁ κύριος ἐν τῷ σώματι, D
καὶ τὰ μέλη τοῦ σώματος μέλη Χριστοῦ, ὑποτάσσεται ἄρα τὸ σῶμα τῷ νόμῳ τῷ θείῳ
καὶ κληρονομῆσαι δύναται τὴν βασιλείαν τοῦ θεοῦ. „ὁ γὰρ ἐγείρας Χριστὸν ἐκ νε- Rom. 8, 11.
κρῶν ζωοποιήσει“ φησί „καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ

1 Cor. 15, 53. πνεύματος ἐν ὑμῖν, ἵνα τὸ θνητὸν τοῦτο ἐνδύσηται τὴν ἀθανασίαν καὶ τὸ φθαρτὸν
τὴν ἀφθαρσίαν, εἰς νῖκός τε καταποθῇ ὁ θάνατος.“ οὐ γὰρ περὶ ἄλλου διελάμβανεν
καθ' ὑμᾶς ἐνταῦθα σώματος ὁ ἀπόστολος, ἀλλὰ περὶ τούτου τοῦ ἀποθνήσκοντος καὶ
νεκρουμένου, δι' οὗ καὶ πορνεῦσαι καὶ ἀσελγῆσαι δυνατόν.

580 XLIII. Ἐὰν δὲ διαφορὰν εἶναι σώματος πρὸς σάρκα ὑποτοπάζωσιν, ἵνα δὴ καὶ
ταῦτα αὐτοῖς ἐπιτρέψωμεν λογικεύεσθαι, καὶ σῶμα μὲν ἄλλο νομίζοιεν, οἷον αὐτῆς
τῆς ψυχῆς, ὃ μὴ βλέπεται, σάρκα δὲ τοῦτο τὸ ἔξω τὸ βλεπόμενον, λεκτέον ὡς οὐ
μόνον ὁ Παῦλος καὶ οἱ προφῆται σῶμα γιγνώσκουσι τὴν σάρκα ὀνομάζεσθαι ταύτην,
ἀλλὰ καὶ ἄλλοι φιλόσοφοι, παρ' οἷς δὴ μάλιστα καὶ ἡ τῶν ὀνομάτων ἀκρίβεια παρα-
τετήρηται. σὰρξ γὰρ ὅλως, εἰ βούλονται καὶ περὶ τούτων ἐπιστημόνως ἐπισκέψασθαι,
πᾶς ὁ ὄγκος οὗτος τοῦ σκηνώματος ἡμῶν κυρίως οὐ λέγεται, ἀλλά τι μέρος τοῦ ὅλου,
B καθάπερ ἢ ὀστᾶ ἢ νεῦρα ἢ φλέβες, σῶμα δὲ τὸ ὅλον. ὅθεν καὶ ἰατροί, οἳ δὴ καὶ
περὶ φύσεως σωμάτων ἀκριβῶς διειλήφασι, σῶμα γινώσκουσι τοῦτο τὸ βλεπόμενον.
ἀλλὰ καὶ ὁ Πλάτων καὶ αὐτὸ τοῦτο σῶμα καὶ αὐτὸς ἐπίσταται. ἐν γοῦν τῷ Φαίδωνι
ὁ Σωκράτης „ἆρα μὴ ἄλλο τι τὸν θάνατον ἡγούμεθα εἶναι“ ἔφη „ἢ τὴν τῆς ψυχῆς
ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς
ἀπαλλαγὲν αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν ἀπὸ τοῦ σώμα-
τος;“ ὁ γάρ τοι Μωυσῆς ὁ μακάριος (ἥκομεν γὰρ καὶ ἐπὶ τὰς κυριακὰς ἤδη γραφάς)
C οὐ σῶμα τοῦτο ὀνομάζεσθαι ἐπίσταται, ὃ λέγομεν, „καὶ πλυνεῖ τὰ ἱμάτια“ λέγων
Levit. 14, 88. „ἐν τοῖς καθαρισμοῖς ὁ ἐπιψαύσας τοῦ ἀκαθάρτου, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι,
καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας;“ τί δὲ καὶ ὁ Ἰώβ; οὐ σῶμα ἐπίσταται καὶ αὐτὸς
Job. 7, 5. τοῦτο τὸ νεκρούμενον καλεῖν, „φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων“ λέγων;
Sap. 1, 4. ἀλλὰ καὶ ὁ Σολομῶν ὅτι „εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοική-
Dan. 3, 27. σει ἐν σώματι καταχρέῳ ἁμαρτίας.“ καὶ ἐν τῷ Δανιὴλ ἐπὶ τῶν μαρτύρων „οὐκ ἐκυ-
D ρίευσεν αὐτῶν τὸ πῦρ τοῦ σώματος „λέγεται“ καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλο-
Matth. 6, 25. γίσθη.“ καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ „διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τί φά-
γητε ἢ τί ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ πλέον ἐστὶ τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύμα-
Rom. 6, 12. τος;“ καὶ ὁ ἀπόστολος δέ „μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώ-
Rom. 8, 11. ματι“ λέγων σῶμα γινώσκειν τοῦτο ὃ περικείμεθα συνίστησι. καὶ πάλιν „εἰ δὲ τὸ
πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει
1 Cor. 12, 15. καὶ τὰ θνητὰ σώματα ὑμῶν.“ καὶ πάλιν „ἐὰν εἴπῃ ὁ πούς ὅτι οὐκ εἰμὶ χείρ, οὐκ
581 εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος.“ καὶ πάλιν „καὶ μὴ
Rom. 4, 19. ἀσθενήσας Ἀβραὰμ τῇ πίστει οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον.“ καὶ πάλιν
2 Cor. 5, 10. [1] „τοὺς γὰρ ἅπαντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα
2 Cor. 10, 10. κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξε.“ καὶ πάλιν „αἱ μὲν ἐπιστο-
2 Cor. 12, 2. λαὶ βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενής.“ καὶ πάλιν „οἶδα
ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς
B τοῦ σώματος οὐκ οἶδα.“ καὶ πάλιν „οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν
Eph. 5, 28. γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα.“ καὶ πάλιν „αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι
1 Thess. 5, 23. ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν
τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.“ οἱ δὲ ἀσφαλῶς οὐ νοήσαν-
τες τούτων οὐδὲν ἐν σάλῳ καὶ ταραχῇ φέρεσθαι τὸν ἀπόστολον ὑπέλαβον, ὡς στάσιν
αὐτοῦ τὰς διανοήσεις τῶν λόγων καὶ ἕδραν οὐκ ἐχούσας, ἀλλὰ ἀναπολούσας ἄνω
καὶ κάτω καὶ ὁμιλούσας παλίμφημα, ὁτὲ μὲν τὴν σάρκα ἀνίστασθαι, ὁτὲ δὲ οὐκ
ἀνίστασθαι.

C XLIV. Ὅθεν ἵνα μὴ παραλειφθῇ τῶν προταθέντων μηδὲ ἕν, ὅπως τελέως ἐκτέμνω-
μεν Ὕδραν, εἰς τὸ προκείμενον πάλιν ἐπανελεύσομαι. ἐφεξῆς γάρ, καθάπερ ὑπεσχόμην,
καὶ τὰ ἄλλα ἃ προσαποροῦσι κεφάλαια θείς, καὶ ἃ χρὴ πρὸς αὐτὰ λέγεσθαι ἀποδείξας,
ἀκόλουθα παραστήσω αὐτὸν καὶ σύμφωνα εἰς τὴν περὶ τῆς ἀναστάσεως τῆς σαρκὸς
πίστιν καὶ αὐτὰ εἰρηκότα. [2] ἴωμεν δὴ οὖν ἐφ' ἃ τὸ πρῶτον εἰς τὸν ἀπόστολον προ-
Rom. 7, 9. ἤχθημεν εἰπεῖν. τὸ γάρ „ἐγὼ δὲ ἔζων“ λεχθὲν αὐτῷ „χωρὶς νόμου ποτέ“ ἄνω τὴν

1) Methodium in pertexendo opere de hoc loco singillatim disputasse apparet ex Oecumenii ad 2 Cor. 5, 10 verbis hisce p. 526 ed. Veron. *ἐπειδὴ πρός τε τὰ καλὰ καὶ μὴ τοιαῦτα τὸ σῶμα ὑπηρέτησε τῇ ψυχῇ, καὶ τὰς ἀμοιβὰς μετ' αὐτῆς ἀπολαμβάνει. τοῦτο τῶν λεγόντων ἄλλο σῶμα τότε ἐγείρεσθαι ἐμφράττει τὰ στόματα. οὐ γὰρ ἂν ἄλλου σώματος ἁμαρτήσαντος ἄλλο ἐτιμωρεῖτο, οὐδὲ ἄλλου κατορθώσαντος ἄλλο ἐστεφανοῦτο. πρὸς ὃ ἔπραξεν. οὐδὲ γὰρ γυμνὴ ἡ ψυχή, ἀλλὰ διὰ τοῦ σώματος κομίζεται ταῦτα, τουτέστι πρὸς ἃ ἔπραξε συμπάσχουσα καὶ συνδοξαζομένη τῷ συζύγῳ σώματι. οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ.*

2) *Ἴωμεν δὴ οὖν* .. (p. 590, A.) .. *βασιλεύουσαν τῆς σαρκός.* Haec, licet multis omissis, a Photio cod. 234. p. 294, *a*. 24. — p. 295, *a*. 34. referuntur. De singulis vid. Symbol. in Epiph. Panar. p. 58—65. Ceterum Excerptorum ex Methodii opere *περὶ ἀναστάσεως* apud Photium nova hic incipit series, ita inscripta p. 294, *a*. 22. 23.: *ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου ἀποστολικῶν ῥητῶν ἑρμηνεία.*

ἐν τῷ παραδείσῳ, καθάπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, πρὸ τῆς ἐντολῆς, οὐκ ἐκτὸς σώμα- D
τος, ἀλλὰ μετὰ σώματος ἡμῶν ἐν τοῖς πρωτοπλάστοις διαγωγὴν παρεγγυᾷ, ἐπειδὴ πρὸ
τοῦ δοθῆναι τὴν ἐντολὴν χοῦν ὁ θεὸς λαβὼν ἔπλασε τὸν ἄνθρωπον, ἐκτός τε ἐπιθυ-
μίας διήγομεν, οὐ γινώσκοντες ὅλως ἐπιθυμίας ἀλόγου προςβολάς, βιαζομένης ἡμᾶς
ἑλκτικαῖς ἡδονῶν περιαγωγαῖς πρὸς ἀκρασίαν. τὸ γὰρ μὴ ἔχον διορισμόν, καθ᾽ ὃν δεῖ
πολιτεύεσθαι, μηδὲ ἐξουσίαν αὐτοδέσποτον λογισμοῦ ποίῳ χρῆσθαι αἱρεῖται πολιτεύ-
ματι, ἵνα δικαίως ἢ τιμηθῇ ἢ ψεχθῇ, ἀνυπεύθυνον παντὸς λεκτέον ὑπάρχειν τοῦτο
ἐγκλήματος, ὅτι μὴ δύναταί τούτων τις ἐπιθυμῆσαι, ὧν μὴ κεκώλυται· κἂν ἐπιθυμήσῃ 582
δέ, οὐκ αἰτιαθήσεται. τὸ γὰρ ἐπιθυμῆσαι οὐχὶ ἐπὶ τῶν παρόντων καὶ ὑποκειμένων
ἐν ἐξουσίᾳ πίπτει, ἀλλ᾽ ἐπὶ τῶν παρόντων μέν, μὴ ὄντων δὲ ἐν ἐξουσίᾳ. πῶς γὰρ οὗ
μὴ κεκώλυταί τις μηδὲ ἐνδεής ἐστι, τούτου ἐπιθυμεῖ καὶ ἐρᾷ; ὅθεν διὰ τοῦτο „τὴν Rom. 7, 7.
ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις.“ ἀκούσαντες γάρ „ἀπὸ Gen. 2, 17.
δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ· ᾗ δ᾽ ἂν ἡμέρᾳ
φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε,“ τότε τὸ ἐπιθυμῆσαι συνέλαβον καὶ ἐνεκίσ-
σησαν. οὐ γὰρ ὧν ἔχει καὶ ὧν ἐξουσιάζει καὶ κέχρηται αὐτοῖς ὁ ἐπιθυμῶν ἐπιθυμεῖ, B
ἀλλ᾽ ὧν κεκώλυται καὶ ἀφῄρηται καὶ οὐκ ἔχει. διὸ δή „τὴν ἐπιθυμίαν „καλῶς“ οὐκ
ᾔδειν“ ἐλέχθη „εἰ μὴ ὁ νόμος ἔλεγεν, οὐκ ἐπιθυμήσεις“ οὐδὲ ἐσθίειν, εἰ μὴ εἴρητο
„οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ.“ ἐντεῦθεν γὰρ ἐκτήσατο τόπον καὶ ἀφορμὴν εἰςελθεῖν εἰς τὸ
διαπαῖξαί με καὶ παρατρέψασθαι ἡ ἁμαρτία.

XLV. *Δοθείσης* γὰρ τῆς ἐντολῆς ἔσχε λαβὴν διὰ τῆς ἐντολῆς ὁ διάβολος κατεργά-
σασθαι ἐν ἐμοὶ τὴν ἐπιθυμίαν, παρορμήσας με καὶ προςκαλεσάμενος ἐντέχνως εἰς ὄρεξιν
καταπεσεῖν τῶν κεκωλυμένων. „χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρά,“ οἷον, οὐ δοθείσης C
γὰρ οὐδὲ οὔσης οὐδέπω τῆς ἐντολῆς ἄπρακτος ἦν ἡ ἁμαρτία· ἐγὼ δὲ ἔζων ἀμέμπτως Rom. 7, 8.
πρὸ τῆς ἐντολῆς, οὐκ ἔχων διορισμὸν καὶ ἐπιταγήν, καθ᾽ ἣν ἔδει πολιτεύσασθαι, ἧς
καὶ διολισθήσας ἁμαρτήσομαι. „ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ Rom. 7, 9. 10.
ἀπέθανον, καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς θάνατον,“ ὅτι μετὰ τὸ νομο-
θετῆσαι τὸν θεὸν καὶ διαστείλασθαί μοι ἃ ποιητέον καὶ μὴ ποιητέον, κατειργάσατο
ἐν ἐμοὶ τὴν ἐπιθυμίαν ὁ διάβολος. ἡ γὰρ παραίνεσις τοῦ θεοῦ καὶ παραγγελία ἡ D
δοθεῖσά μοι αὕτη εἰς ζωὴν καὶ ἀφθαρσίαν, ἵνα πειθόμενος αὐτῇ καὶ κατ᾽ αὐτὴν βιοὺς
ἀπήμονα καὶ μακαριστότατον δι᾽ αἰῶνος καὶ ἀεὶ θάλλοντα πρὸς ἀθανασίαν βίον ἔχω
καὶ χαράν, ἀθετήσαντι αὐτὴν εἰς θάνατον ἀπέβη καὶ καταδίκην, ἐπειδὴ ὁ διάβολος,
ὃν ἁμαρτίαν νῦν οὗτος ἐκάλεσε διὰ τὸ δημιουργὸν αὐτὸν ἁμαρτίας ὑπάρχειν καὶ εὑρε-
τήν, διὰ τῆς ἐντολῆς ἀφορμὴν λαβὼν πρὸς παρακοὴν ἐξηπάτησέ με καὶ ἀπατήσας ἀπέ- 583
κτεινεν, ὑπεύθυνον τῷ „ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε“ κατα- Gen. 2, 17.
κρίματι γενέσθαι κατεργασάμενος. „ὥςτε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ τοῦ θεοῦ Rom. 7, 12.
ἁγία καὶ δικαία καὶ ἀγαθή,“ ὅτι μὴ ἐπὶ τῷ βλάψαι, ἀλλ᾽ ἐπὶ τῷ σῶσαι ἐδόθη. μὴ
γὰρ οἰώμεθα ὅλως ἀνωφελές τι ποιεῖν ἢ βλαβερὸν τὸν θεόν. τί οὖν; „τὸ ἀγαθὸν ibid. 13.
ἐμοὶ ἐγένετο θάνατος,“ ὃ τοῦ μεγίστου μοι ὡς αἴτιον ἐσόμενον ἀγαθοῦ νομοθέτημα
ἐδόθη; „μὴ γένοιτο,“ ὅτι μὴ ἡ ἐντολὴ τοῦ θεοῦ εἰς τὸ καταδουλωθῆναί με ἐγένετο B
τῇ φθορᾷ καὶ ἐναπομάξασθαι κῆρας ὀλέθρου αἰτίας, ἀλλ᾽ ὁ διάβολος, ἵνα φανερωθῇ
διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν ἐμοὶ κατασκευάσας, ἵνα γένηται καὶ ἐλεγχθῇ καθ᾽ ὑπερβο-
λὴν ὁ εὑρετὴς καὶ τέκτων τῆς ἁμαρτίας ἁμαρτωλός, καὶ διορισθῇ ἀπὸ τοῦ καλοῦ τἀ-
ναντία τῆς ἐντολῆς τοῦ θεοῦ ἐπιτροπεύσας. „οἴδαμεν γὰρ ὅτι ὁ νόμος ἐστὶ πνευματι- ibid. 14.
κός,“ διὸ καὶ οὐδὲν αἴτιος βλάβης οὐδενί· πόῤῥω γὰρ ἐπιθυμίας ἀλόγου καὶ ἁμαρ-
τίας ἐσκήνωται τὰ πνευματικά. „ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρ- C
τίαν,“ οἷον, ἐγὼ δὲ σάρκινος ὢν καὶ ἐν μέσῳ τοῦ πονηροῦ καὶ ἀγαθοῦ κατασταθεὶς
ὡς αὐτεξούσιος, ἵν᾽ ἐπ᾽ ἐμοὶ ἑλέσθαι ὃ βούλομαι ᾖ („τέθεικα“ γάρ φησι „πρὸ προς- Deut. 30, 15.
ώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον“), νεύσας πρὸς τὸ παρακοῦσαι μὲν τοῦ πνευ-
ματικοῦ νόμου, οἷον τῆς ἐντολῆς, ὑπακοῦσαι δὲ τοῦ ὑλικοῦ, οἷον τοῦ ὄφεως τῆς συμ-
βουλίας, πέπραμαι διὰ τὴν τοιαύτην αἵρεσιν, πεσὼν ὑπὸ τὴν ἁμαρτίαν, τῷ διαβόλῳ.
ὅθεν ἐντεῦθεν πολιορκῆσάν με τὸ κακὸν καὶ ἐνιζάνει καὶ ἐμπολιτεύεται εἰςοικισθὲν ἐν
τῇ σαρκί μου, καθάπερ κηφὴν ἐν κηρίῳ μελίσσης περιποτώμενος πολλάκις περὶ αὐτὸ D
καὶ βομβῶν, δίκης ἐπιτεθείσης μοι τὴν ἐντολὴν ἀθετήσαντι πραθῆναι τῷ κακῷ. διὸ
καὶ οὐ γινώσκω ὃ κατεργάζομαι, λογιζόμενος ὃ μὴ θέλω. τὸ γάρ „ὃ κατεργάζομαι Rom. 7, 15.
οὐ γινώσκω“ καὶ „ποιῶ ὃ μισῶ“ λεγόμενον οὐκ ἐπὶ τοῦ τελεσιουργῆσαι τὸ φαῦλον
καὶ δρᾶσαι παραληπτέον, ἀλλ᾽ ἐπὶ τοῦ μόνον ἐνθυμηθῆναι, λογισμῶν ἀνοικείων ἡμῖν
προςιπταμένων πλεονάκις καὶ ἐμφανταζόντων ἡμᾶς πρὸς ἃ μὴ θέλομεν, τῆς ψυχῆς τοῖς
λογισμοῖς περὶ πολλὰ περιαγομένης.

XLVI. *Οὐ* γὰρ ἐφ᾽ ἡμῖν ὅλως τὸ ἐνθυμεῖσθαι ἢ μὴ ἐνθυμεῖσθαι κεῖται τὰ ἄτοπα, 584
ἀλλὰ τὸ χρῆσθαι ἢ μὴ χρῆσθαι τοῖς ἐνθυμήμασι. κωλῦσαι μὲν γὰρ μὴ ἐμπίπτειν εἰς
ἡμᾶς τοὺς λογισμοὺς οὐ δυνάμεθα, πρὸς δοκιμὴν ἡμῶν ἔξωθεν εἰςπνεομένους, μὴ πει-

σθῆναι μέντοι ἢ μὴ χρῆσθαι αὐτοῖς δυνάμεθα. ἐπεὶ πῶς ὁ ἀπόστολος τὸ μὲν κακὸν
οὐχ ἥκιστα, ᾧ ἀπηρέσκετο, ἐποίει, τὸ δὲ καλόν, ᾧ ἠρέσκετο, ἥκιστα, εἰ μὴ περὶ τῶν
ὀθνείων ἐνθυμημάτων ἔλεγεν, ἃ ἐνθυμούμεθα ἔσθ' ὅτε καὶ μὴ βουλόμενοι, ἐξ οἵας οὐ
B γινώσκοντες αἰτίας; ἃ ἀνατρέπεσθαι χρὴ καὶ ἐπιστομίζεσθαι, ἵνα μὴ εὐρυνόμενα τῶν
περάτων κρατήσωσι τῆς ψυχῆς. ἀμήχανον γὰρ τούτων ἐνευκαιρούντων ἐν ἡμῖν ἐπανα-
τεῖλαι τὸ ἀγαθόν. ὀρθῶς ἄρα „ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω“ ἔλεγεν· „οὐ γὰρ
ὃ θέλω πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ.“ θέλομεν γὰρ τὰ μὴ προςήκοντα καὶ
ἃ μὴ θέμις μηδ' ἐνθυμεῖσθαι, ἐπειδὴ τοῦτο ἀγαθὸν τέλειον, μὴ μόνον τοῦ ποιῆσαι
αὐτὰ ἐγκρατεύεσθαι, ἀλλὰ καὶ τοῦ ἐνθυμηθῆναι, καὶ ὃ θέλομεν, τοῦτο ἀγαθὸν οὐ
γίνεται, ἀλλ' ὃ οὐ θέλομεν, πονηρόν. ἐπιφοιτῶσι γὰρ ἐπὶ τὴν καρδίαν ἡμῶν καὶ ἐπι-
C βαίνουσιν, καὶ μὴ βουλομένων ἡμῶν, πολλάκις μυρία τε περὶ μυρίων, περιεργίας ἡμᾶς
καὶ φιλοπραγμοσύνης ἀλόγου ἐμπιπλάντα. διὸ τὸ μὲν θέλειν αὐτὰ μηδ' ἐνθυμεῖσθαι
παράκειται, τὸ δὲ κατεργάζεσθαι εἰς τὸ ἀφανίσαι, ἵνα μὴ καὶ αὖθις περὶ τὸν λογι-
σμὸν ἀνέλθωσιν, οὔ, ὅτι μὴ κεῖται τοῦτο ἐφ' ἡμῖν, ὡς ἔφην, ἀλλὰ τὸ χρήσασθαι μό-
νον αὐτοῖς πως, ἢ μὴ χρήσασθαι. ὡς εἶναι τὸν νοῦν τοιοῦτον τοῦ ῥητοῦ „οὐ γὰρ ὃ
θέλω ποιῶ ἀγαθόν·“ θέλω γὰρ μὴ ἐνθυμεῖσθαι ἃ βλάπτει με, ἐπειδὴ τοῦτο τὸ ἀγα-
θὸν πανάμωμον, κατὰ τὸ λεγόμενον „ἄνευ ψόγου τετυγμένον χερσί τε καὶ νόῳ τετρά-
γωνον,“ καὶ τοῦτο μὲν ὃ θέλω ἀγαθὸν οὐ ποιῶ, ὃ δὲ μὴ θέλω κακὸν πράσσω· οὐ
D θέλω ἐννοεῖσθαι, καὶ ἐννοοῦμαι ὅσα μὴ θέλω. καὶ ἐπισκέψασθε εἰ μὴ διὰ ταῦτα
αὐτὰ καὶ ὁ Δαβὶδ ἐνετύγχανε τῷ θεῷ, δυςχεραίνων ἐπὶ τῷ λογίζεσθαι καὶ αὐτὸν ἃ
Psal. 18, 13. 14. μὴ ἤθελεν, „ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ
δούλου σου. ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι καὶ καθαρισθήσομαι
2 Cor. 10, 4. 5. ἀπὸ ἁμαρτίας μεγάλης.“ καὶ αὐτὸς δὲ ὁ ἀπόστολος ἐν ἑτέρῳ „λογισμοὺς καθαιροῦν-
585 τες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν
νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.“

XLVII. Εἰ δέ τις ὁμόσε τῷ λόγῳ ἰέναι τολμῶν ἀποκρίνοιτο ὡς ἄρα διδάσκει ὁ
ἀπόστολος ὡς οὐ μόνον ἐν τῷ λογίζεσθαι τὸ κακὸν ὃ μισοῦμεν καὶ ὃ οὐ θέλομεν
πράσσομεν, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν αὐτὸ καὶ κατεργάζεσθαι, διὰ τό „οὐ γὰρ ὃ θέλω
Rom. 7, 19. ποιῶ“ λελέχθαι „ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω,“ ἀξιώσομέν που,
εἰ ἀληθῆ λέγει ὁ ταῦτα λέγων, διασαφῆσαι τί ἦν τὸ κακὸν ὃ ἐμίσει ὁ ἀπόστολος καὶ
B ὃ οὐκ ἐβούλετο μὲν ποιεῖν, ἐποίει δέ, καὶ τὸ ἀγαθὸν ὃ ἐβούλετο μὲν ποιεῖν, οὐκ
ἐποίει δέ, ἀλλ' ἀντιστρόφως, ὁσάκις μὲν ἤθελε ποιῆσαι τὸ ἀγαθόν, τοσαυτάκις οὐ τὸ
ἀγαθὸν ὃ ἤθελεν, ἀλλὰ τὸ πονηρὸν ὃ μὴ ἤθελεν ἐποίει. ἆρά γε οὐ θέλων εἰδωλο-
λατρεῖν, ἀλλὰ θεολατρεῖν, ὃ μὲν ἤθελε θεολατρεῖν οὐκ ἠδύνατο, ὃ δὲ μὴ ἤθελεν εἰ-
δωλολατρεῖν ἠδύνατο, ἢ σωφρονεῖν μὲν ὃ ἤθελεν οὐκ ἐποίει, ἀκολασταίνειν δὲ ὃ ἤχθετο
ἐποίει; καὶ συλλήβδην κραιπαλᾶν, ἀσωτεύεσθαι καὶ θυμοῦσθαι, ἀδικεῖν καὶ τὰ ἄλλα
C ὅσα πονηρίας ἔργα, ἃ μὴ ἤθελε μὲν ἐποίει, ἃ δὲ ἤθελε, δικαιοσύνην καὶ ὁσιότητα,
Rom. 1, 32. οὐκ ἐποίει; καὶ μὴν αὐτὸς ἐν ταῖς ἐκκλησίαις προτροπάδην ἐξεγείρων πάντας εἰς τὸ
μὴ ἀνομεῖν οὐ μόνον τοὺς ποιοῦντας καὶ ἐπιτηδεύοντας τὰ ἄτοπα ὀλέθρῳ τηρεῖσθαι
καὶ ὀργῇ παρεγγυᾷ, ἀλλὰ καὶ τοὺς συνευδοκοῦντας αὐτοῖς εἰς ταῦτα, ἀμιγὲς ἁμαρτίας
ἐν ἡμῖν τὸ δίκαιον ἀσκεῖσθαι διαμιλλώμενος. πᾶν γὰρ ἁμάρτημα καὶ ἐπιτήδευμα τὸ
συμπέρασμα κτᾶται διὰ τῆς σαρκός. πολλάκις γοῦν ἐν ταῖς ἐπιστολαῖς ἀναφανδὸν αὐτὰ
D δὴ ταῦτα διδάσκων ἡμᾶς ὑπεκτρέπεσθαι καὶ μισεῖν „μὴ πλανᾶσθε· οὔτε πόρνοι“ βοᾷ
2 Cor. 6, 7. „οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται οὔτε κλέπται οὔτε πλεο-
νέκται οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν θεοῦ κληρονομήσουσι.“ καὶ
τὸ κορυφαιότατον, εἰς τὸ παντάπασιν ἡμᾶς ἐκ παντὸς ἀποδρᾶναι καὶ ἀποτινάξασθαι τὸ
ἁμαρτάνειν προτρέπων „μιμηταί μου“ ἀποφαίνεται „γίνεσθε καθάπερ κἀγὼ Χριστοῦ.“
1 Cor. 11, 1. οὕτως οὐ τὸ ποιεῖν ἃ μὴ ἤθελε καὶ πράττειν ὑπέθετο τὰ προειρημένα, ἀλλὰ τὸ μόνον
λογίζεσθαι· ἐπεὶ πῶς ἂν ἦν μιμητὴς ἀκριβὴς τοῦ Χριστοῦ; νυνὶ δὲ ἐπειδήπερ ἐπιπί-
586 πτουσι θηριώδεις πολλάκις λογισμοί, ἐπιθυμίας ἡμᾶς ἄλλοτε ἄλλως ἐμπιπλάντες καὶ
περιεργίας ἀλόγου,

Il. 2, 469. ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλά,

ἔφη „τὸ γὰρ ὃ οὐ θέλω, τοῦτο ποιῶ.“ ἃ χρὴ τῆς ψυχῆς εὐθαρσῶς ἀποσοβεῖν, μηδὲν
ὅλως εἰς τὸ ποιῆσαι τὰ ὑπ' αὐτῶν ὑπηχούμενα νεύοντας. ἵνα γὰρ ἐγκριθῶμεν εἰς τὴν
βασιλείαν τῶν οὐρανῶν, ἐν πάσαις ἡδοναῖς καὶ λύπαις δοκιμασθέντες εἰ μὴ μεταβαλ-
λοίμεθα, ἀλλὰ πανταχοῦ καθάπερ ἀκήρατος χρυσὸς διὰ πυρὸς βασανιζόμενοι οὐκ ἐξι-
B στάμεθα τῆς οἰκείας ἀρετῆς, συμβαίνει τοῦτο, διοχλεῖσθαι τὸν νοῦν ὑπὸ πολλῶν.
ὅθεν δὴ [1] γενναίως ὥςπερ στρατιώτας ἀρίστους ἀντιπαρατάττεσθαι δεῖ, οἳ ἐπειδὰν ὑπὸ

1) *Γενναίως .. (587, A.) .. κατὰ τῆς γνώσεως τοῦ θεοῦ.* Locum exscripserunt Leontius et Joann. Rer. sacr. Lib. II. Tit. *περὶ τοῦ νήφειν.* Falsum tamen lemma: *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ αὐτεξουσίου.* Vid. Mai. Script. vet. nov. collect. T. VII, p. 104, col. 1 et 2.

*τῶν ἐχθρῶν αἴσθωνται πολιορκούμενοι, τοξείας οὐδὲν φροντίσαντες καὶ τῶν ἄλλων
αὐτῶν ἀκοντισμάτων, ὑπὲρ τοῦ σῶσαι τὴν πόλιν προθύμως ἐπ' αὐτοὺς ἵενται, μηδὲν
ἐλλείποντες σπουδῆς, ἔστ' ἂν τὸ στῖφος αὐτῶν εἰς φυγὴν ἀνατρέψαντες ἀπώσωνται τῶν
ὅρων ἔξω. ὁρᾷς γὰρ ὡς οἱ λογισμοὶ διὰ τὴν ἐνοικοῦσαν ἁμαρτίαν ἐν ἡμῖν ἔξωθεν
ἐπισυνίστανται, καθαπερεὶ κύνες λυσσῶντες ἢ ἄγριοι καὶ θρασεῖς λησταὶ καθ' ἡμῶν ἀεὶ* C
*παρορμώμενοι ὑπὸ τοῦ τυράννου καὶ ἄρχοντος τῆς ἀδικίας, δοκιμάζοντος ἡμᾶς εἰ ἀν-
θίστασθαι αὐτοῖς ἀρκοῦμεν καὶ ἀντιπαρατάσσεσθαι.*

XLVIII. *Ἄγε οὖν, μή ποτε ὑπενδοῦσα ἁρπασθῇς, ὦ ψυχή, πρὸς αὐτόν, καὶ οὐχ
ἕξομεν ὑπὲρ σοῦ δοῦναι λύτρα. „τί γὰρ ἀντικατάλλαγμα δώσει ἄνθρωπος“ φησί „τῆς* Matth. 16, 26.
*ψυχῆς αὐτοῦ;“ καλὸν μὲν οὖν, εἰ μὴ εἴχομεν, ἦν ἄρα καὶ χαρτότατον, τοὺς ἀντι-
πράσσοντας ἡμῖν καὶ μαχομένους· ἐπεὶ δὲ τοῦτο ἀδύνατον, καὶ ὃ θέλομεν οὐ δυνά-* D
*μεθα (θέλομεν γὰρ μὴ ἔχειν τοὺς ἐξέλκοντας εἰς πάθη — ἦν γὰρ ἀνιδιτὶ σωθῆναι —
καὶ ὃ θέλομεν τοῦτο οὐ γίγνεται, ἀλλ' ὃ οὐ θέλομεν· δεῖ γὰρ ἡμᾶς δοκιμάζεσθαι,
ὡς ἔφην), μὴ ἐνδιδῶμεν, ὦ ψυχή, μὴ ἐνδιδῶμεν τῷ πονηρῷ, ἀλλ' ἀναλαβόντες τὴν πα-* Ephes. 6, 11. 13—17.
*νοπλίαν τοῦ θεοῦ ὑπερασπίζουσαν καὶ προαγωνιζομένην ἡμῶν ἐνδυσώμεθα τὸν θώρακα τῆς
δικαιοσύνης, καὶ ὑποδησώμεθα τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου, ἐπὶ πᾶσί τε
ἀναλάβωμεν τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνησόμεθα πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ* 587
*πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ τὴν μάχαιραν τοῦ πνεύ-
ματος, ὅ ἐστι ῥῆμα θεοῦ, πρὸς τὸ δύνασθαι στῆναι πρὸς τὴν μεθοδείαν τοῦ διαβόλου,
λογισμούς τε καθαιρεῖν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, ὅτι μὴ* 2 Cor. 10, 5.
ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. τούτου δὲ ἕνεκα ταῦτα λέγω, ὅτι οὗτος ὁ Ephes. 6, 12.
*τρόπος τοῦ ἀποστόλου τῶν συνταγμάτων. πολλὰ μὲν γὰρ ἔστι καὶ περὶ ἑκάστου τῶν
ἐν τῇ ἐπιστολῇ ταύτῃ εἰρημένων ἀποδεῖξαι, ὡς ὀρθοδόξως καὶ μεμελημένως ἔχει· ἀλλὰ
μακρὸν ἂν εἴη ἕκαστον αὐτῶν οὕτως διελθεῖν. τὸν γὰρ τύπον αὐτοῦ δεῖξαι μόνον καὶ* B
τὴν βούλησιν προήρημαι νῦν. „οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο Rom. 7, 15.
*ποιῶ. εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός· νυνὶ δὲ οὐκέτι
ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν
ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν“ ὀρθῶς λέγων. μέμνησθε γὰρ ἐν τοῖς
ἔμπροσθεν ὡς διωριζόμεθα, εἰ καὶ σπεύδων ἐγὼ ταχὺ πάντα διεξελθεῖν μᾶλλον βρα-
δύνω, μακροτέρας μου τῶν λόγων τῆς περιόδου ἢ προσεδόκησα γεγενημένης, ἣν προ-* C
θυμητέον δὴ διανύσαι. ἄλλως γὰρ τοῦ προκειμένου οὔποτε ἥξομεν ἐπὶ τέλος.

XLIX. *Οὐκοῦν ἐλέγομεν ἀφ' οὗ τὸν ἄνθρωπον, εἰ μνημονεύετε, πλανηθέντα τὴν
ἐντολὴν ἀθετῆσαι συνέβη, ἐντεῦθεν ἐκ τῆς παρακοῆς τὴν ἁμαρτίαν λαβοῦσαν γένεσιν εἰς
αὐτὸν εἰςῳκηκέναι. οὕτως γὰρ πρῶτον στάσις ἐνέπεσε, σφαδασμῶν τε καὶ λογισμῶν
ἀνοικείων ἐπληρώθημεν, κενωθέντες μὲν τοῦ ἐμφυσήματος τοῦ θεοῦ, πληρωθέντες δὲ
ἐπιθυμίας ὑλικῆς, ἣν ὁ πολύπλοκος ἐνέπνευσεν εἰς ἡμᾶς ὄφις, βραχυπορησάντων ἡμῶν
τῆς παραγγελίας τοῦ θεοῦ τὸν κύκλον. διὸ καὶ τὸν θάνατον ὁ θεὸς πρὸς ἀναίρεσιν* D
*τῆς ἁμαρτίας ὑπὲρ ἡμῶν ἀνεύρατο, ἵνα μὴ ἐν ἀθανάτοις ἡμῖν ἀνατείλασα, ὡς ἔφην,
ἀθάνατος ᾖ. ὅθεν ὁ ἀπόστολος „οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ* Rom. 7, 18.
σαρκί μου, τὸ ἀγαθόν“ λέγων [1] *τὴν ἀπὸ τῆς παραβάσεως διὰ τῆς ἐπιθυμίας εἰσοι-
κισθεῖσαν εἰς ἡμᾶς ἁμαρτίαν βούλεται μηνύειν, ἧς δὴ καθάπερ βλαστήματα καὶ κλῶνες νέα
οἱ φιλήδονοι περὶ ἡμᾶς ἀεὶ λογισμοὶ συνίστανται. δισσὰ γὰρ ἐν ἡμῖν λογισμῶν γένη, τὸ* 588
*μὲν ἀπὸ τῆς ἐπιθυμίας τῆς ἐμφωλευούσης ἐν τῷ σώματι συνιστάμενον, ἥτις ἐξ ἐπιπνοίας,
ὡς ἔφην, ἐγενήθη τοῦ ὑλικοῦ πνεύματος, τὸ δὲ ἀπὸ τοῦ νόμου τοῦ κατὰ τὴν ἐντολήν,
ὃν ἔμφυτον ἐλάβομεν ἔχειν καὶ φυσικὸν νόμον, πρὸς τὸ καλὸν ἡμῶν ἐξεγείροντα καὶ
ἐπανορθούμενον τὸν λογισμόν. ὅθεν τῇ μὲν νομοθεσίᾳ τοῦ θεοῦ κατὰ τὸν νοῦν συνη-
δόμεθα (τοῦτο γὰρ ὁ ἔσω ἄνθρωπος), τῇ δὲ νομοθεσίᾳ τοῦ διαβόλου κατὰ τὴν ἐνοι-
κοῦσαν ἐπιθυμίαν ἐν τῇ σαρκί. ὁ γὰρ νόμος ἀντιστρατευόμενος καὶ ἀντιπράσσων τῷ
νόμῳ τοῦ θεοῦ, οἷον τῇ πρὸς τὸ ἀγαθὸν ὁρμῇ τοῦ νοός, οὗτός ἐστιν ὁ τοὺς ἐμπαθεῖς* B
*ἀναφύων ἀεὶ καὶ ὑλικοὺς πρὸς ἀνομίαν περισπασμούς, παντάπασι πρὸς ἡδονὰς ὢν
ἑλκτικός.*

L. [2] *Τρεῖς γὰρ νόμους ὑποτιθέμενος ἀναφανδὸν ὁ Παῦλος ἐνταῦθά μοι καταφαίνε-
ται, ἕνα μὲν τὸν κατὰ τὸ ἔμφυτον ἐν ἡμῖν ἀγαθόν, ὃν καὶ νόμον σαφῶς νοὸς ἐκά-
λεσεν, ἕνα δὲ τὸν ἐκ προσβολῆς ἐνιστάμενον τοῦ πονηροῦ καὶ εἰς τὰς ἐμπαθεῖς ἐξέλ-
κοντα πολλάκις φαντασίας τὴν ψυχήν, ὃν ἐπιστρατεύεσθαι τῷ νόμῳ τοῦ νοὸς ἔφη, καὶ*

1) Conf. Oecumen. Exposit. in Epistolas S. Pauli, ed. Veron. p. 303. (ad Rom. 7, 18) *τὴν ἀπὸ τῆς παραβάσεως εἰςοικισθεῖσαν* [add. *ἁμαρτίαν*] *λέγει. οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ.* Oecumenium exscripsit Theodulus Coelosyr. Presb. Comm. in Epist. ad Roman. cap. 7. Biblioth. Patr. max. T. 27. p. 601, A.

2) Oecumenius l. c. ad Rom. 7, 22. 23. p. 305 sq. haec summatim, nec satis accurate refert. Quem suo more exscribens Theodulus Coelosyr. Presb. l. c. p. 601, E. Methodio temere adscribit, quae apud Oecumenium sequuntur.

C ἕτερον τὸν κατὰ τὴν ἁμαρτίαν ἐκ τῆς ἐπιθυμίας ἐνσκιῤῥώσαντα ἐν τῇ σαρκί, ὃν
ἁμαρτίας νόμον οἰκοῦντα ἐν τοῖς μέλεσιν ἐκάλεσεν· ᾧ ἐπιβαίνων ὁ πονηρὸς καὶ ἐπο-
χούμενος πολλάκις καθ' ἡμῶν ἐγκελεύεται, πρὸς ἀδικίαν καὶ πράξεις συνελαύνων κα-
κάς. ὁ γὰρ ἔξωθεν εἰςπνεόμενος ἀπὸ τοῦ πονηροῦ νόμος, καὶ διὰ τῶν αἰσθήσεων
καθάπερ ἀσφαλτῶδες ῥεῦμα ἔνδον εἰς αὐτὴν ἐκχεόμενος τὴν ψυχήν, ὑπὸ τοῦ ἐν τῇ
σαρκὶ κατὰ τὴν ἐπιθυμίαν ὑπάρχοντος κραταιοῦται νόμου. φαίνεται γὰρ ὡς ἐν αὐτοῖς
D ἡμῖν τὸ μὲν βέλτιον, τὸ δὲ χεῖρον ὄν. καὶ ὅταν μὲν τὸ βέλτιον φύσει τοῦ χείρονος
ἐγκρατέστερον γενηθῇ, φέρεται ὅλος πρὸς τὸ ἀγαθὸν ὁ νοῦς· ὅταν δὲ τὸ χεῖρον ἐπι-
βρίσῃ πλεονάσαν, ὃ ἀντιστρατεύεσθαι τῷ ἐν ἡμῖν λέγεται ἀγαθῷ, ἄγεται πάλιν ἀντι-
στρόφως πρὸς φαντασίας παντοδαπὰς ὁ ἄνθρωπος καὶ λογισμοὺς χείρους.

LI. Οὗ δὴ καὶ χάριν ὁ ἀπόστολος εὔχεται ῥυσθῆναι, θάνατον αὐτὸ καὶ ὄλεθρον
589 εἶναι ἡγούμενος, ὥςπερ δὴ καὶ ὁ προφήτης „ἀπὸ τῶν κρυφίων μου“ λέγων „καθάρι-
Psal. 18, 13. σόν με.“ αὐτὰ γοῦν τὰ ῥήματα τοῦτο παρίστησιν „συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ
Rom. 7, 22—24. κατὰ τὸν ἔσω“ λέγοντος „ἄνθρωπον· βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀν-
τιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρ-
τίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ταλαίπωρος ἐγὼ ἄνθρωπος. τίς με ῥύσεται ἐκ τοῦ
σώματος τοῦ θανάτου τούτου;“ οὐ τὸ σῶμα θάνατον ἀποφαινόμενος, ἀλλὰ τὸν νόμον
τῆς ἁμαρτίας τὸν ἐν τοῖς μέλεσι διὰ τῆς παραβάσεως ἐν ἡμῖν ἐμφωλεύοντα καὶ πρὸς
B θάνατον ἀεὶ τὸν τῆς ἀδικίας τὴν ψυχὴν ἐμφαντάζοντα. ἐπιφέρει γοῦν εὐθέως ἀμέλει,
διαλεγόμενος ἀπὸ ποίου θανάτου ἐγλίχετο ῥυσθῆναι καὶ τίς αὐτὸν ὁ ῥυόμενος ἦν, „εὐ-
Ibid. 25. χαριστῶ θεῷ διὰ Ἰησοῦ Χριστοῦ.“ προςεκτέον γὰρ ὅτι, εἰ τὸ σῶμα θάνατον τοῦτο,
ὦ Ἀγλαοφῶν, ὡς ὑπειλήφατε, ἔλεγεν, οὐκ ἂν τὸν Χριστὸν ὡς ῥυόμενον αὐτὸν ὕστερον
ἐκ τοῦ τοιούτου κακοῦ παρελάμβανεν. ἐπεὶ τί παραδοξότερον ἢ πλέον ἀπὸ τοῦ Χρι-
στοῦ τῆς παρουσίας ἐσχήκαμεν; τί δὲ καὶ ὁ ἀπόστολος ὅλως, ὡς διὰ τῆς παρουσίας
C τοῦ Χριστοῦ δυνάμενος ἐκ τοῦ θανάτου ὑπὸ τοῦ θεοῦ ἐλευθερωθῆναι, τοῦτο ὑπεφθέγ-
γετο, ὁπότε πᾶσι καὶ πρὸ τοῦ τὸν Χριστὸν ἐλθεῖν εἰς τὸν κόσμον συνέβαινε θνή-
σκειν; ἐῤῥύοντο γὰρ χωριζόμενοι πάντες τῶν σωμάτων κατὰ τὴν ἀπὸ τοῦ βίου ταύτην
ἔξοδον. ἀλλὰ καὶ ὡςαύτως δὲ πᾶσαι αἱ ψυχαί, καὶ αἱ τῶν ἀπίστων καὶ πιστῶν καὶ
τῶν ἀδίκων καὶ δικαίων, ἐχωρίζοντο τῶν σωμάτων κατὰ τὴν ἡμέραν τῆς τελευτῆς. τί
οὖν ὁ ἀπόστολος πλέον παρὰ τοὺς ἄλλους λαβεῖν τοὺς ἐν ἀπιστίᾳ διατρίψαντας ἐσπού-
D δαζεν; ἢ διὰ τί ῥυσθῆναι ἀπὸ τοῦ σώματος ηὔχετο, ὃ καὶ εἰ μὴ ἤθελε, πάντως ἂν
συνέβαινεν αὐτῷ, καθάπερ δὴ καὶ πᾶσι κεῖται τὸ τελευτῆσαι καὶ χωρισθῆναι τὰς ψυχὰς
αὐτῶν ἀπὸ τῶν σωμάτων, εἴ γε θάνατον τὸ σῶμα τῆς ψυχῆς ὑπετίθετο; ὥςτε οὐ τὸ
σῶμα τοῦτο, ὦ Ἀγλαοφῶν, θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν τὴν κατοικήσασαν διὰ τῆς
ἐπιθυμίας ἐν τῷ σώματι λέγει, ἧς ὁ θεὸς αὐτὸν διὰ τῆς παρουσίας τοῦ Χριστοῦ ἐῤῥύ-
Rom. 8, 2. 11. σατο. ὁ γὰρ νόμος τῆς ζωῆς τοῦ πνεύματος ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσεν ἡμᾶς ἀπὸ
τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, ὅπως ὁ ἐγείρας Ἰησοῦν ἐκ νεκρῶν διὰ τὸ
590 ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ἡμῖν ζωοποιήσῃ καὶ τὰ θνητὰ σώματα ἡμῶν, τῆς ἁμαρτίας
Rom. 8, 4. τῆς ἐν τῷ σώματι κατακριθείσης πρὸς ἀναίρεσιν, ἵνα τὸ δικαίωμα τοῦ κατὰ τὴν ἐντο-
λὴν πρὸς τὸ ἀγαθὸν ἡμᾶς ἐφελκομένου φυσικοῦ νόμου φανερωθῇ ἐξαφθέν, τὸ ἀσθε-
νῆσαν τῆς σαρκὸς κεκρατημένης τῇ ἁμαρτίᾳ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ, ταῖς ὑλι-
Rom. 8, 3. καῖς φροντίσιν ἐπιχωννύμενον. τὸ γὰρ ἀδύνατον τοῦ ἐν ἡμῖν φυσικοῦ ἀγαθοῦ, ἐν ᾧ
ἠσθένει ὑπὸ τῆς ἐπιθυμίας ἡττώμενον τῆς ἐγκειμένης ἐν τῷ σώματι, ὁ θεὸς ἀνεῤῥώ-
σατο, πέμψας τὸν υἱὸν ἑαυτοῦ, τὴν ὁμοίαν τῇ σαρκὶ τῆς ἁμαρτίας σάρκα ἀνειληφότα
B (ἀληθείᾳ γὰρ καὶ οὐ δοκήσει ἦν ὃ ἐφάνη), ἵνα τῆς ἁμαρτίας κατακεκριμένης πρὸς ἀναίρεσιν,
εἰς τὸ μηκέτι καρποφορῆσαι ἐν τῇ σαρκί, τὸ δικαίωμα τοῦ φυσικοῦ νόμου πληρωθῇ, πλεο-
νάσαν τῇ ὑπακοῇ τοῖς μὴ κατὰ τὴν ἐπιθυμίαν τῆς σαρκὸς περιπατοῦσιν, ἀλλὰ κατὰ τὴν
ἐπιθυμίαν τοῦ πνεύματος καὶ τὴν ὑφήγησιν. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς, ὃ δή
ἐστι τὸ εὐαγγέλιον, ἕτερος ὢν τῶν προειρημένων νόμων, διὰ τοῦ κηρύγματος πρὸς
ὑπακοὴν τεθεὶς καὶ ἄφεσιν ἁμαρτημάτων, ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρ-
C τίας καὶ τοῦ θανάτου, νικήσας ἐκ παντὸς τὴν ἁμαρτίαν βασιλεύουσαν τῆς σαρκός.

Ἃ μὲν οὖν δὴ προβάλλονται καὶ ἐκ τῶν τοῦ ἀποστόλου ῥητῶν, οὐκ ὀρθῶς αὐτὰ
ἐξηγούμενοι, σαφηνίσας ἔφην, ὦ Θεόφιλε· τρέψομαι δὲ καὶ πρὸς τὰ ἕτερα, ἐάνπερ
τὸν βοηθήσοντα ἡμῖν πρὸς τὴν διέξοδον εὕρωμεν τοῦ λόγου. ἄπορα γὰρ καὶ οὐ πάνυ
ῥᾴδια πρὸς καθαίρεσιν τὰ ἑξῆς. διὸ καὶ ὀκνηρότερον αὐτῶν ἅπτομαι, μακρὰν καὶ
χαλεπὴν αὐτῶν ὁρῶν τὴν ἀπόδειξιν ἐσομένην, ἐὰν μή τις ἡμᾶς αὔρα συνέσεως ἄφνω ἐξ
D οὐρανοῦ καταπνεύσασα, καθάπερ ἐν μέσῳ νηχομένους πελάγει, εἰς ὅρμον τινὰ ἀκύμονα
καὶ ἀπόδειξιν ἀποκαταστήσῃ ἀσφαλεστέραν[1].

---

1) Hactenus fragmenta apud Epiphanium (vid. annot. ad p. 534, D.). Verba clausulae vulgo adiecta: *ἕως ὧδε τὸ μέρος τῶν Μεθοδίου*, Dindorfius uncinis circumscripsit. Methodii fragmentis

I. Ὅτι φησὶ μὴ τρέφεσθαι ἢ αὔξάνειν ἀπὸ τῆς γῆς τὰ φυτά. λέγει γάρ, Διαπο- Phot. cod. 234. p. 297. a. Bekk.
ρήσαι δ' ἄν τις πῶς εἰς τὸν ὄγκον ἀναλαμβάνεσθαι δύναται τῶν δένδρων ἡ γῆ μεταλλοιουμένη· ἐχρῆν γάρ, ἅτε τῆς ὑποκειμένης γῆς ἀναρπαζομένης ἀεὶ διὰ τῶν ῥιζῶν εἰς ὅλην τὴν ἕξιν τοῦ ξύλου, τὸν τόπον, καθ' ὃν τὸ δένδρον βεβλάστηκε, κοιλαίνεσθαι· ὥςτε μάταιος αὐτῶν ὁ τοιοῦτος τῆς περὶ τὰ σώματα ῥύσεως ἀναλογισμός. πῶς γὰρ ὅλως ἡ γῆ διὰ τῶν ῥιζῶν εἰς τοὺς κορμοὺς τῶν φυτῶν εἰςδυομένη, καὶ διὰ τῶν πόρων εἰς πάντας αὐτῶν κατακερματιζομένη τοὺς κλάδους, εἰς φύλλα καὶ καρπὸν μεταβάλλεται; εὐμήκη μὲν οὖν δένδρα, κέδροι ἢ πίτυες ἢ ἐλάται, καὶ πολλὴν φέροντα κατ' ἔτος κόμην καὶ καρπόν, ἰδεῖν ἔστιν ὡς οὐδὲν τῆς ὑποκειμένης γῆς εἰς τὸν αὐτῆς ὄγκον τῆς δρυάδος καταναλίσκουσιν. ἐχρῆν γάρ, εἰ ἀληθὲς ἦν διὰ τῶν ῥιζῶν ἀνερχομένην ἀποξυλοῦσθαι τὴν γῆν, ἅπαντα τὸν περὶ αὐτὰ τόπον τῆς γῆς κοιλαίνεσθαι, ὅτι μὴ ἐπιῤῥέειν πέφυκε τὸ ξηρόν, καθάπερ καὶ τὸ ὑγρόν, ἀεὶ πρὸς τὸ κινούμενον. ἤδη δὲ καὶ συκαῖ καὶ ἄλλα τοιαῦτα φυτὰ μνημείων ἐν οἰκοδομήμασι πολλάκις βλαστήσαντα οὐδὲν εἰς ἑαυτὰ τῆς οἰκοδομῆς ὅλως ἱστοροῦνται καταναλωκέναι. εἰ γοῦν ἐτῶν πολλῶν συλλογίσασθαί τις τὸν καρπὸν αὐτῶν καὶ τὰ φύλλα βουληθείη, κατίδοι ἂν πολλαπλασίονα τῆς ἐπὶ τῶν μνημείων γῆς τὸν ὄγκον αὐτῶν γεγενημένον. ὅθεν ἀτοπώτατον ἡγεῖσθαι τὴν γῆν εἰς καρπῶν φορὰν μεταβαλλομένην καὶ φύλλα καταναλίσκεσθαι, κἂν δι' αὐτῆς ἅπαντα γίνωνται, ἕδρᾳ αὐτῇ χρώμενα καὶ τόπῳ. οὐδὲ γὰρ ἄρτος δίχα μύλου καὶ τόπου καὶ χρόνου καὶ πυρὸς γίνεται, καὶ οὐδέν ἐστιν ἢ γίνεται τούτων ὁ ἄρτος. καὶ ἐπὶ ἄλλων μυρίων ὡσαύτως.

II. Ὅτι τό „οἴδαμεν γὰρ ὡς ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ“ 2 Cor. 5, 1.
καὶ ἑξῆς οἱ Ὠριγενισταὶ εἰς ἀναίρεσιν τῆς τῶν σωμάτων ἀναστάσεως προβάλλονται, σκῆνος τὸ σῶμα καὶ ἀχειροποίητον ἐν οὐρανοῖς οἰκίαν τὰ παρ' αὐτῶν πνευματικὰ ἐνδύματα λέγοντες. διό φησιν ὁ ἅγιος Μεθόδιος, [1] Ἐπίγειον οἰκίαν τὴν ἐνταῦθα βραχύ- 297. b.
βιον ζωὴν καταχρηστικῶς ληπτέον, καὶ οὐ τὸ σκῆνος τοῦτο. εἰ γὰρ ἐπίγειον οἰκίαν καταλυομένην τὸ σῶμα τίθεσθαι αὐτὸν νομίζετε, φράσατε τὸ σκῆνος τί ἐστιν, οὗ ἡ οἰκία καταλύεται; ἕτερον γὰρ τὸ σκῆνος, καὶ ἄλλο τοῦ σκήνους ἡ οἰκία, καὶ ἕτερον ἡμεῖς, ὧν ἐστ τὸ σκῆνος. „ἐὰν γὰρ ἡ ἐπίγειος ἡμῶν οἰκία“ φησί „τοῦ σκήνους καταλυθῇ,“ οἷον ἡμᾶς μὲν τὰς ψυχὰς εἶναι δηλώσας, σκῆνος δὲ τὸ σῶμα, οἰκίαν δὲ τοῦ σκήνους τὴν κατὰ τὴν παροῦσαν ζωὴν ἀπόλαυσιν τῆς σαρκὸς τροπικῶς. ἐὰν οὖν ἡ νῦν δὴ αὕτη ἡ τοῦ σώματος ζωὴ δίκην οἰκίας καταλυθῇ, ἕξομεν τὴν ἐν τοῖς οὐρανοῖς ἀχειροποίητον. ἀχειροποίητόν φησι διὰ τὸ χειροποίητον ταύτην λέγεσθαι τὴν ζωὴν κατὰ ἀντιδιαστολήν, παρὰ τὸ πάντα ἡμῶν τὰ κοσμήματα καὶ σπουδάσματα τοῦ βίου χερσὶ παλαμᾶσθαι ἀνθρώπων. τὸ γὰρ σῶμα δημιούργημα ὑπάρχον θεοῦ χειροποίητον οὐ λέγεται, ὅτι μὴ ἐπαλαμήθη τέχναις ἀνθρώπων. εἰ δὲ διότι ὑπὸ θεοῦ ἐδημιουργήθη, χειροποίητον αὐτὸ λέξουσι, χειροποίητοι ἄρα καὶ αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι καὶ τὰ ἐνδύματα αὐτὰ τὰ ἐν τοῖς οὐρανοῖς· θεοῦ γὰρ αὐτουργήματα καὶ ταῦτα. τίς οὖν ἐστιν

haec subiicit Epiphanius p. 590, D. *Ταῦτα μέν ἐστιν, ἃ ἀπὸ μέρους καθ' εἱρμὸν τῶν ὑπὸ τοῦ μακαρίτου Μεθοδίου, τοῦ καὶ Εὐβουλίου, περὶ τοῦ προειρημένου Ὠριγένους καὶ τῆς αὐτοῦ διὰ σοφιστικῆς πλάνης κακοπιστίας ἐν τῷ αὐτῷ περὶ ἀναστάσεως λόγῳ ά* [*εἰρημένων* adde] *ἐνταῦθα παραθέμενοι ἱκανῶς ἔχειν ἐνομίσαμεν πρὸς τὰς ἐκείνου φλυαρίας καὶ τὴν αὐτοῦ ἀνατροπὴν τῆς τῶν ἀνθρώπων ζωῆς δι' ἐπιπλάστου ἐξ Ἑλληνικῆς δεισιδαιμονίας κακοηθείας. πολλὰ γὰρ καὶ ἕτερα ἐν τῇ περὶ τῆς ὑποθέσεως ἀκολουθίᾳ τῷ προειρημένῳ Μεθοδίῳ, ἀνδρὶ λογίῳ ὄντι καὶ σφόδρα περὶ τῆς ἀληθείας ἀγωνισαμένῳ, εἴρηται, πάντως που καὶ ἔπη τοσαῦτα ἕτερα. ἀλλ' ἐπειδὴ ἐπηγγειλάμεθα καθ' ἑκάστην αἵρεσιν ὀλίγα πρὸς τὴν αὐτῆς ἀνατροπὴν λέγειν ..., ἕως ὧδε ἐκ τῆς αὐτοῦ πραγματείας παραθέμενοι ἠρκέσθημεν.* Ex quibus primum apparet, fragmenta ab Epiphanio allata ad primum Methodii librum *περὶ ἀναστάσεως* pertinere. Vid. Oehler. Addend. et Corrigend. p. 668 et Dindorf. Annot. p. 797, quorum tamen prior quo iure Eustratium Presbyter. CPol., infra laudandum, testem bipartiti operis Methodiani evocarit, nescire me fateor. Deinde illud ex Epiphanii verbis elucet, reliqua operis Methodiani partem libri primi ab Epiphanio exscriptam amplitudine fere adaequasse. Iam quum Methodius in clausula fragmenti ab Epiphanio allati novam disputationem ordiatur, quumque minime verisimile sit, eum reliqua operis in plures libros, primo longe breviores, divisisse, sequitur, ut quae Photius in reliquis Excerptis et praeter illum alii apud Epiphanium non obvia, sed Photianis cognata, ex Methodii *περὶ ἀναστάσεως* opere retulerunt, ea omnia ad eius librum secundum, a Io. Damasceno, ut postea videbimus, commemoratum, pertinere censenda sint. Quare in numerandis fragmentis reliquis novum numerorum ordinem instituimus. Ceterum Methodium libro II. argumenta Origenis physiologica potissimum evertere studuisse ex fragmentis intelligitur. Conf. Epiphan. Panar. LXIV, 67. p. 677, 20—28. ed. Dindorf.

1) Oecumenius ad 2 Cor. 5, 1. p. 524 ed. Veron. *ἐπίγειος μὲν οἰκία ἡ ἐνταῦθα βραχύβιος ζωή, σκῆνος δὲ τὸ σῶμα ἡμῶν τῶν ψυχῶν. ἄλλο γὰρ οἰκία, καὶ ἄλλο τὸ σκῆνος, οὗ ἐστιν ἡ οἰκία, καὶ ἄλλο ἡμεῖς, ὧν ἐστι τὸ σκῆνος ἴδιον. ἐὰν οὖν, φησίν, ἡ οἰκία τοῦ σκήνους ἡμῶν καταλυθῇ, τουτέστιν ἡ ἐνταῦθα βραχύβιος ζωή, ἕξομεν οἰκίαν ἀχειροποίητον, τουτέστι ζωὴν αἰώνιον, οὐ προςδεομένην τῆς ἡμετέρας ἐργασίας καὶ τῶν ἡμετέρων χειρῶν πρὸς σύστασιν. καλῶς δὲ ὡς πρὸς ἀντιδιαστολὴν τῆς παρούσης ζωῆς τὴν μέλλουσαν ἀχειροποίητον εἶπεν. ἡ γὰρ παροῦσα ἀπὸ τῶν χειρῶν ἔχει τὴν σύστασιν, ἄρτου, ποτοῦ καὶ ἐνδύματος. οὕτως ὁ ἅγιος Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ.*

ἡ χειροποίητος οἰκία; ἡ βραχύβιος, ὡς ἔφην, αὕτη ζωή, ἡ ἀπ' ἀνθρωπίνων χειρῶν δρα-
Gen. 3, 19. ματουργουμένη („φαγῇ“ γάρ φησιν „ἐν ἱδρῶτι τοῦ προσώπου σου τὸν ἄρτον σου“),
ἧς καταλυθείσης ἐκείνην τὴν ἀχειροποίητον ζωὴν ἔχομεν. καθάπερ καὶ ὁ κύριος εἰπὼν
Luc. 16, 9. ἐδήλωσε „ποιήσατε φίλους ἐκ τῆς ἀδικίας τοῦ μαμωνᾶ, ἵνα ὅταν ἐκλίπωσι, δέξωνται
ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.“ ὃ γὰρ ἐκεῖ σκηνὰς ὁ κύριος ἐκάλεσε, τοῦτο ἐνταῦθα ὁ
ἀπόστολος ἐνδύματα· ὃ δὲ ἐκεῖ φίλους ἐκ τῆς ἀδικίας, ἐνταῦθα καταλυομένας ὁ ἀπό-
στολος οἰκίας. καθάπερ γοῦν, ἐὰν ἐκλείψωσιν αἱ τῆς παρούσης ζωῆς ἡμῶν ἡμέραι, τὰ
πρὸς εὐποιίαν τὰς ψυχὰς ἡμῶν ὑποδέξονται ἀγαθοεργήματα, ἃ ἀπὸ τῆς ἐν τῇ ἀδικίᾳ
1 Ioan. 5, 19. ζωῆς ἐκτησάμεθα, τῷ τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι, οὕτω τῆς ζωῆς καταλυθείσης
τῆς ὠκυμόρου τὴν πρὸ τῆς ἀναστάσεως ἕξομεν οἴκησιν αἱ ψυχαὶ παρὰ τῷ θεῷ, ἔστ' ἂν
ἀνακαινοποιηθεῖσαν ἡμῖν ἄπτωτον ἀναλάβωμεν οἰκίαν. ὅθεν καὶ στενάζομεν, μὴ θέ-
λοντες τὸ σῶμα ἀπεκδύσασθαι, ἀλλ' ἐπ' αὐτῷ τὴν λοιπὴν ἐπενδύσασθαι ζωήν. τὸ γὰρ
2 Cor. 5, 2. 3. οἰκητήριον τὸ ἐξ οὐρανοῦ, ὃ ἐπιθυμοῦμεν ἐπενδύσασθαι, ἡ ἀθανασία ἐστίν· ἣν ἐὰν
Phot. ἐπενδυσώμεθα, καταποθήσεται πᾶν τὸ ἐν αὐτῇ ὁλοσχερῶς ἀσθενὲς ὑπὸ τῆς ἀχρόνου
298. a. ζωῆς καταναλωθὲν καὶ θνητόν.

Ibid. 7. III. „Διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους,“ τουτέστι διὰ πίστεως γὰρ
ἐπιβαίνομεν ἔτι ἀτρανοτάτῳ λογισμῷ τὰ ἐκεῖ πράγματα κατοπτεύοντες, καὶ οὐ σαφῶς,
ὥστε καὶ ὁρᾶν καὶ ἀπολαύειν καὶ ἐν αὐτοῖς εἶναι.

1 Cor. 15, 50. IV. „Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα κληρονομῆσαι βασιλείαν θεοῦ
οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.“ Σάρκα, φησίν, οὐ τὴν σάρκα
αὐτὴν ἐδήλωσεν, ἀλλὰ τὴν ἄλογον πρὸς τὰς μαχλώσας τῆς ψυχῆς ὁρμὴν ἡδονάς. εἰπὼν
οὖν ὅτι „σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται“ ἐπαπεφήνατο „οὐ-
δὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.“ φθορὰ δὲ οὐκ αὐτό ἐστι τὸ φθειρόμενον,
ἀλλὰ τὸ φθεῖρον. ἐπικρατήσαντος μὲν γὰρ τοῦ θανάτου κλίνεται τὸ σῶμα εἰς φθοράν·
Galland. ἐπιμενούσης δὲ ἔμπαλιν τῆς ζωῆς ἐν αὐτῷ ἕστηκε μὴ καθαιρούμενον. διὸ [1] ἐπειδὴ με-
779, B θόριον τῆς ἀφθαρσίας ἐγενήθη καὶ τῆς φθορᾶς ἡ σάρξ, οὐκ οὖσα οὐδὲ φθορὰ οὐδὲ
ἀφθαρσία, ἐκρατήθη δὲ διὰ τὴν ἡδονὴν ὑπὸ τῆς φθορᾶς, ποίημα τῆς ἀφθαρσίας καὶ
κτῆμα ὑπάρχουσα, διὰ τοῦτο γεγένηται εἰς φθορὰν καὶ εἰς γῆν ἐκλίθη χώματος. καὶ
ἐπεὶ συνεκρατήθη ὑπὸ τῆς φθορᾶς καὶ θανάτῳ διὰ παιδείαν παρεδόθη, εἰς νῖκος αὐ-
τὴν ὁ θεὸς τῇ φθορᾷ καθάπερ κληρονομίαν οὐ κατέλιπεν, ἀλλὰ πάλιν διὰ τῆς ἀνα-
στάσεως νικήσας τὸν θάνατον ἀπέδωκε τῇ ἀφθαρσίᾳ, ἵνα μὴ κληρονομήσῃ ἡ φθορὰ
τὴν ἀφθαρσίαν, ἀλλ' ἡ ἀφθαρσία τὸ φθαρτόν. ἐπαποκρίνεται γοῦν ὁ ἀπόστολος „δεῖ
1 Cor. 15, 53. γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθα-
C νασίαν.“ φθαρτὸν δὲ καὶ θνητὸν ἐνδυόμενον ἀθανασίαν καὶ ἀφθαρσίαν τί ἂν ἕτερον
ibid. 42. εἴη παρὰ τὸ σπειρόμενον ἐν φθορᾷ καὶ ἀνιστάμενον ἐν ἀφθαρσίᾳ (ὅτι μὴ φθαρτή
ibid. 49. ἐστιν ἢ θνητὴ ἡ ψυχή, ἀλλὰ τὸ θνητὸν τοῦτο καὶ φθειρόμενον σαρκίον), ἵνα καθὼς
ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου; [2] ἡ γὰρ
Gen. 3, 19. εἰκὼν τοῦ χοϊκοῦ, ἣν ἐφορέσαμεν, τὸ „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ“ ἐστίν, ἡ δὲ εἰκὼν
Rom. 6, 4. τοῦ ἐπουρανίου ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἀφθαρσία, [3] ἵνα ὥσπερ ἠγέρθη ὁ Χρι-
στὸς διὰ τῆς δόξης τοῦ πατρός, οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.
εἰ δέ τις εἰκόνα μὲν χοϊκὴν τὴν σάρκα αὐτὴν οἴοιτο λέγεσθαι, εἰκόνα δὲ ἐπουράνιον
ἄλλο παρὰ τὴν σάρκα σῶμα πνευματικόν, ἐνθυμηθήτω δὴ οὗτος πρότερον ὅτι Χριστός,
D ὁ οὐράνιος ἄνθρωπος, τὸ αὐτὸ σχῆμα τῶν μελῶν καὶ εἰκόνα καὶ σάρκα τὴν αὐτὴν τῇ
ἡμετέρᾳ φορέσας ἐφάνη, δι' ἣν καί, ἄνθρωπος οὐκ ὤν, ἄνθρωπος ἐγένετο, ἵνα καθά-
1 Cor. 15, 22. περ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθή-
σωνται. εἰ γὰρ διὰ τὸ μὴ ἐλευθερῶσαι τὴν σάρκα καὶ ἀναστῆσαι σάρκα ἐφόρεσεν, τί
καὶ περισσῶς σάρκα ἐφόρει, ἣν οὔτε σῶσαι οὔτε ἀναστῆσαι προῄρητο; ἀλλ' οὐδὲν πε-
ρισσῶς ποιεῖ ὁ υἱὸς τοῦ θεοῦ. οὐκ ἄρα ἀνωφελῶς τὴν μορφὴν τοῦ δούλου ἀνέλαβεν,
ἀλλὰ πρὸς τὸ ἀναστῆσαι καὶ σῶσαι. ἀληθῶς γὰρ ἄνθρωπος ἐγένετο καὶ ἀπέθανε,
καὶ οὐ τῷ δοκεῖν, ἀλλ' ἵνα ἀληθῶς πρωτότοκος ἀναφανῇ τῶν νεκρῶν, τὸν χοϊκὸν με-
ταβαλὼν εἰς οὐράνιον καὶ τὸν θνητὸν εἰς ἀθάνατον. Ἰουστῖνος δὲ ὁ Νεαπολίτης, ἀνὴρ
οὔτε τῷ χρόνῳ πόῤῥω ὢν τῶν ἀποστόλων οὔτε τῇ ἀρετῇ, κληρονομεῖσθαι μὲν τὸ ἀπο-
θνῆσκον, κληρονομεῖν δὲ τὸ ζῶν λέγει, καὶ ἀποθνήσκειν μὲν σάρκα, ζῆν δὲ τὴν βασι-

1) Ab his verbis (ap. Phot. cod. 234, p. 298, *a*. 18) incipit fragmentum, a Combefisio (ap. Galland. p. 779, B. — p. 780, A.) ex cod. Rupifucaldino Parallelorum SS. Io. Damasceni editum. Cf. Io. Damasc. Opp. ed. Lequien. T. II. p. 763, A. ubi verbis: *τοῦ αὐτοῦ*, praecedens lemma: *τοῦτο τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου Πατάρων ἐστίν*, repetitur.

2) Oecumenius ad 1 Cor. 15, 49. p. 488. ed. Veron. *ἡ εἰκὼν τοῦ χοϊκοῦ Ἀδὰμ τὸ γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. ἡ εἰκὼν τοῦ ἐπουρανίου Χριστοῦ ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἀφθαρσία. οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ.*

3) Excerptis Photianis hoc loco deficientibus (p. 298, *a*. 37), pergit fragmentum ex cod. Rupifucald. apud Galland. p. 779, C. usque ad illa: *Ἰουστῖνος δὲ* cet., quae habet Phot. cod. 234, p. 298, *a*. 37.

λείαν τῶν οὐρανῶν. [1] ὁπόταν δὲ σάρκα ὁ Παῦλος καὶ αἷμα μὴ δύνασθαι τὴν βασι- 1 Cor. 15, 50.
λείαν τοῦ θεοῦ κληρονομῆσαι λέγῃ, οὐχ ὡς ἐκφαυλίζων, [2] φησί, τῆς σαρκὸς τὴν παλιγ- Phot.
γενεσίαν ἀποφαίνεται, ἀλλὰ διδάσκων οὐ κληρονομεῖσθαι βασιλείαν θεοῦ, αἰώνιον 298. b.
ὑπάρχουσαν ζωήν, ὑπὸ τοῦ σώματος, ἀλλὰ τὸ σῶμα ὑπὸ τῆς ζωῆς. εἰ γὰρ ἐκληρονο- Galland.
μεῖτο ἡ βασιλεία τοῦ θεοῦ ὑπὸ τοῦ σώματος, ζωὴ ὑπάρχουσα, συνέβαινεν ἂν τὴν ζωὴν 779. E.
ὑπὸ τῆς φθορᾶς καταπίνεσθαι. νῦν δὲ τὸ τεθνηκὸς ἡ ζωὴ κληρονομεῖ, ἵνα εἰς νῖκος
καταποθῇ ὁ θάνατος ὑπὸ τῆς ζωῆς καὶ τὸ φθαρτὸν τῆς ἀφθαρσίας κτῆμα καὶ τῆς ἀθα- 780
νασίας ἀναφανῇ, ἄφετον μὲν καὶ ἐλεύθερον θανάτου γενόμενον καὶ ἁμαρτίας, δοῦλον
δὲ καὶ ὑπήκοον ἀθανασίας, ὅπως τῆς ἀφθαρσίας εἴη τὸ σῶμα κτῆμα, καὶ μὴ τοῦ σώ-
ματος ἡ ἀφθαρσία [3].

V. Ὅτι „καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες,“ 1 Thess. 4, 16.
ὁ ἅγιος Μεθόδιος οὕτω φησί· Τουτέστιν αὐτὰ ἡμῶν ταῦτα τὰ σώματα· ἡμεῖς γὰρ οἱ
ζῶντες αἱ ψυχαί ἐσμεν, οἱ ἀπολαμβάνοντες ἐγερθέντες ἐκ τῆς γῆς τοὺς νεκρούς, ἵνα
εἰς ἀπάντησιν ἅμα αὐτοῖς ἁρπασθέντες τοῦ κυρίου ἐνδόξως ἑορτάσωμεν αὐτῷ τὴν φαι-
δρὰν τῆς ἀναστάσεως ἑορτὴν, ἀνθ᾽ ὧν αἰωνίους ἡμῶν τὰς σκηνάς, οὐκέτι τεθνηξομένας
ἢ λυθησομένας, ἀπειλήφαμεν.

VI. [4] Εἰ ἐκ τοιαύτης σταγόνος βραχείας καὶ μηδέπω οὔσης τὸ σύνολον μηδέν, ἐν
ὑγρασίᾳ τοιαύτῃ καὶ συνοχῇ καὶ πνιγμῷ, ἐκ τοῦ μηδενὸς ἄνθρωπος γίνεται, πῶς οὐχὶ
μᾶλλον ἐκ τοῦ ἤδη ὑπάρξαντος ἀνθρώπου ἄνθρωπος ἔσται αὖθις ὁ ἄνθρωπος; οὐ γὰρ
οὕτω μέγα τὸ ἤδη γεγενημένον καὶ διαλυθὲν ποιῆσαι πάλιν, ὡς μηδέπω γεγενημένον
ἐκ τοῦ μὴ ὄντος κατασκευάσαι. ἐὰν οὖν ἐθελήσωμεν δεῖξαι τὴν γονὴν τὴν ἀπὸ τοῦ B
ἄῤῥενος ἀπεκκρινομένην, παραγάγωμεν δὲ αὐτὸ καθ᾽ ἑαυτὸ καὶ τεθνηκότος σῶμα,
ποῖον πιστεύσουσιν ἡμῖν οἱ θεωροὶ εἰς τὸ φανερὸν ἑκατέρων κειμένων ἔσεσθαι ἄνθρω-
πον; ἆρα τὴν σταγόνα ἐκείνην τὴν ὅλως οὐδὲν ὑπάρχουσαν ἢ τὸν ἤδη σχῆμα καὶ μέγε-
θος καὶ ὑπόστασιν ἔχοντα; εἰ γὰρ ἐκεῖνο τὸ ὅλως οὐδὲν μόνον ἐθελήσαντος θεοῦ πά-
λιν τὸ αὐτὸ ἄνθρωπος γίνεται, πολλῷ μᾶλλον τὸ ἤδη ὑπάρχον καὶ τετελειωμένον
ἐθελήσαντος τοῦ θεοῦ τὸ αὐτὸ πάλιν ἄνθρωπος γενήσεται. ἐπεὶ τί βουλόμενος ὁ
θεολόγος Μωυσῆς τὴν κατὰ τὴν σκηνοπηγίαν ἑορτὴν ἐν τῷ Λευϊτικῷ μυστικῶς εἰση- Levit. 23, 39 sq.
γήσατο; ἆρά γε ἵνα οὕτως ἑορτάσωμεν τῷ θεῷ, καθάπερ ἐξηγοῦνται χυδαιότερον οἱ
Ἰουδαῖοι νοοῦντες τὰς γραφάς, ὡς τοῦ θεοῦ σκηναῖς τοιαύταις ἐκ καρπῶν καὶ κλάδων C
καὶ φύλλων κατεσκευασμέναις ἀρεσκομένου, ἃ εὐθέως μαραίνονται τὴν χλόην ἀποσυλώ-
μενα; οὐκ ἔστιν εἰπεῖν. τίνος μὴν ἡ σκηνοπηγία, φράσατε. εἰσήχθη μήνυμα τῆς ἀλη-
θινῆς ἡμῶν ταύτης σκηνῆς, ἣν καταπεσοῦσαν εἰς φθορὰν διὰ τὴν παράβασιν καὶ λελυ-
μένην τῇ ἁμαρτίᾳ αὖθις συμπήξας ἀνώλεθρον ἀναστήσειν ὁ θεὸς ἐπηγγείλατο, [5] ὅπως
ἑορτάσωμεν αὐτῷ ἀληθῶς τὴν μεγάλην ἑορτὴν καὶ πολυθρύλλητον τῆς σκηνοπηγίας ἐν
τῇ ἀναστάσει, ὁπότε συμπηγνύμενα ἡμῶν εἰς κατακόσμησιν τῆς ἀθανασίας καὶ συμφω-
νίαν τὰ σκηνώματα ἐκ τοῦ χοὸς ἄφθαρτα ἀνίστανται, ὁπότε ἀκούσουσι τὰ ὀστᾶ τὰ Ezech. 37, 4.
ξηρά, κατὰ τὴν ἀψευδεστάτην προφητείαν, προσαγόμενα πρὸς τὰς ἁρμογὰς αὐτῶν ὑπὸ D
τοῦ ζωοπλάστου θεοῦ καὶ ἀριστοτέχνου ἀνακαινοποιοῦντος αὖθις τὴν σάρκα καὶ συμ-
μιγνύντος, οὐ τοιούτοις ἔτι δεσμοῖς οἷς καὶ πρῶτον συνείχετο, ἀλλ᾽ ἀκηράτοις πάμπαν
λοιπὸν καὶ ἀλύτοις. [6] ἐθεασάμην γὰρ ἐν Ὀλύμπῳ ἐγώ (ὄρος δέ ἐστιν ὁ Ὄλυμπος τῆς
Λυκίας) πῦρ αὐτομάτως κατὰ τὴν ἀκρώρειαν τοῦ ὄρους κάτωθεν ἐκ τῆς γῆς ἀναδιδό-
μενον, περὶ ὃ πῦρ ἄγνος φυτὸν ἑστός, οὕτω μὲν εὐθαλὲς καὶ χλοερόν, οὕτω δὲ σύ-
σκιον, ὡς ὑποτοπάσαι ὕδωρ μᾶλλον ἀέναον αὐτὸ βεβλαστηκέναι. δι᾽ ἣν αἰτίαν οὖν,
εἰ φύσεις εἰσὶ φθαρτῶν καὶ ὑπὸ πυρὸς καταναλισκομένων σωμάτων καὶ ἀδύνατον ἄκαυ-
στα διαμεῖναι τὰ ἅπαξ φύσεως ὑπάρχοντα τῆς καυστῆς, οὐ μόνον οὐ καταφλέγεται 781

1) Inde ab hoc loco Photiana Excerpta (cod. 234. p. 298, *a*. 37) fragmento Rupifucaldino apud Combefisium (Galland. p. 779, D. — p. 780, A.) rursus comitantur.

2) Nimirum Iustinus Mart., cuius haec verba, a Methodio laudata, Grabius Spicileg. PP. T. II. p. 193, contentus praegressis, neglexit.

3) Hactenus fragmentum Rupifucaldinum ap. Combefisium (Galland. p. 780, A.). Pergit Photius p. 298, *b*. 14—22. Quamquam, si quaeris, verba ab eo allata, exceptis istis p. 298, *b*. 14. *καὶ οἱ νεκροὶ* .. (18) .. *τοὺς νεκρούς*, proximo fragmento Rupifucaldino longe pleniora insunt, ut statim videbis. Ceterum de loco 1 Thess. 4, 16 conf. quae Epiphanius Panar. p. 601, A. B., commemorato Methodio, disputat.

4) Lacunam, apud Photium p. 298, *b*. 18. post verba: *οἱ ἀπολαμβάνοντες ἐγερθέντες ἐκ τῆς γῆς τοὺς νεκρούς*, latentem, sarcit fragmentum, editum a Combefisio (apud Galland. p. 780, A. — p. 781, C.) ex cod. Rupifucald. Parallelorum SS. Io. Damasceni, cuius conf. Opp. ed. Lequien. T. II. p. 763, A. ubi lemma: *τοῦ αὐτοῦ*, refertur ad praegressum: *τοῦτο τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου Πατάρων ἐστίν*.

5) *Ὅπως ἑορτάσωμεν* .. (D.) .. *καὶ ἀλύτοις*. Horum summa inest Excerptis ap. Phot. cod. 234. p. 298, *b*. 18—22. *ἵνα* .. *ἑορτάσωμεν αὐτῷ* — — *ἀπειλήφαμεν*.

6) Excerpta apud Photium p. 298, *b*. 23. sqq. fragmento Rupifucaldino hinc partim comitantur.

τὸ φυτὸν τοῦτο, ἀλλ' ἀκμαιότερον μᾶλλον ὑπάρχει καὶ χλοηρότερον, ὃ τῇ φύσει ἐστὶ
εὔκαυστον, καὶ ταῦτα περὶ αὐτὰς αὐτοῦ τὰς ῥίζας τοῦ πυρὸς ἐντυφομένου; κλάδους γοῦν
ἐγὼ δένδρων ἐκ τῆς παρακειμένης ὕλης ἔῤῥιψα καθ' ὃν ἀνερεύγεται τὸ πῦρ τόπον, καὶ
εὐθέως εἰς φλόγα ἀρθέντες ἐτεφρώθησαν. φράσατε οὖν δὴ δι' ἣν αἰτίαν τὸ μὴ ὑπο-
φέρον μηδὲ τὴν ἐξ ἡλίου δέξασθαι ἔκκαυσιν, ἀλλὰ ξηραινόμενον ἐὰν μὴ ἀρδευθῇ βρα-
χέν, τοσούτῳ πυρὸς φλογμῷ συνεχόμενον οὐ καταναλίσκεται, ἀλλὰ ζῇ τε καὶ θάλλει;
τί οὖν βούλεται τὸ παράδοξον; δεῖγμα τοῦτο τῆς μελλούσης ὁ θεὸς ἡμέρας καὶ προοί-
B μιον ἔθετο, ἵνα γινώσκωμεν εὐδηλότερον ὅτι πάντων πυρὶ καταβασίῳ κατομβρουμένων
τὰ ἐν ἁγνείᾳ σώματα καὶ δικαιοσύνῃ διαπρέψαντα καθάπερ ψυχρῷ ὕδατι τῷ πυρί,
οὐδὲν ἀλγυνόμενα πρὸς αὐτοῦ, ἐπιβήσονται. [1]ἀληθῶς γάρ, ὦ μεγαλωφελὲς καὶ μεγα-
Sap. 16, 24. λόδωρε δέσποτα, „ἡ κτίσις σοι τῷ ποιήσαντι ὑπηρετοῦσα ἐπιτείνεται εἰς κόλασιν κατὰ
τῶν ἀδίκων καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν ἐπὶ σοὶ πεποιθότων," καὶ θέλοντός
σου πῦρ μὲν καταψύχει, λυμαινόμενον οὐδὲν ὧν αὐτὸς κρίνεις διασώζεσθαι, ὕδωρ καὶ
ἔμπαλιν δριμυτέραις καταφλέγει πυρὸς προσβολαῖς, καὶ οὐδὲν ἀντιτάσσεταί σου τῷ
ἀνικήτῳ κράτει καὶ τῇ σῇ ἰσχύϊ. πάντα γὰρ ἔκτισας ἐξ οὐκ ὄντων· διὸ καὶ πάντα
C μεταλλεύεις, σὰ ὑπάρχοντα, καὶ μετασκευάζεις, μόνος ὑπάρχων θεός, ὡς θέλεις.

VII. [2]Ὁ γοῦν ἀπόστολος τὸ φυτεύεσθαι καὶ ποτίζεσθαι τέχνῃ καὶ γῇ καὶ ὕδατι
1 Cor. 3, 7. δοὺς τῷ θεῷ τὸ αὐξάνειν συνεχώρησε μόνῳ, ἔνθα „οὔτε ὁ φυτεύων οὔτε ὁ ποτίζων ἐστί
τι, ἀλλ' ὁ αὐξάνων θεός" ἔφη. ἠπίστατο γὰρ πάντα γεννῶσαν τὴν πρωτόγονον σοφίαν
τοῦ θεοῦ καὶ πάντων τεχνῖτιδα πάντα εἰς τὸν κόσμον προφέρειν. ἣν καὶ παλαιοὶ ἄνδρες
φύσιν ἐκάλεσαν καὶ πρόνοιαν, παρὰ τὸ φύειν αὐτὴν ἅπαντα καὶ αὔξειν προνοουμένην
Ioan. 5, 17. ἀεὶ καὶ φροντίζουσαν. „ὁ γὰρ πατήρ μου ἕως ἄρτι ἐργάζεται" φησί „κἀγὼ ἐργάζο-
Sap. 7, 21. μαι." ὅθεν διὰ ταῦτα δὴ καὶ ὁ Σολομῶν ἁπάντων αὐτὴν τεχνῖτιδα ἐκάλεσεν, εἰς οὐ-
D δὲν πτωχεύοντος τοῦ θεοῦ, ἀλλὰ πλουσίως πάντα καὶ κτίζειν καὶ ποιεῖν καὶ ποικίλ-
λειν καὶ αὔξειν δυναμένου.

VIII. [3]Τὰ πάντα δημιουργῶν ὁ θεὸς καὶ πάντων φροντίζων καὶ προνοούμενος,
Phot. λαβὼν χοῦν ἀπὸ τῆς γῆς, τὸν ἔξωθεν ἡμῶν ἔπλασεν ἄνθρωπον.

299. a. IX. [4]Ὅτι φησίν, Ἐπίστησον δὲ μήποτε καὶ ὁ μακάριος Ἰωάννης „ἔδωκεν ἡ θά-
Apoc. 20, 3. λασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ" λέγων „καὶ ὁ θάνατος καὶ ὁ Ἅιδης ἔδωκαν τοὺς
νεκροὺς τοὺς ἐν αὐτοῖς" τὰ ἀπὸ τῶν στοιχείων ἀναδιδόμενα πρὸς ἀποκατάστασιν ἑκά-
στου μόρια ἐδήλωσε. τὴν μὲν γὰρ θάλασσαν εἶναι τὴν ὑγρὰν οὐσίαν, Ἅιδην δὲ τὸν
ἀέρα παρὰ τὸ ἀειδές, διὰ τὸ μὴ ὁρᾶσθαι, καθάπερ ἐλέχθη καὶ Ὠριγένει, καὶ θάνα-
τον τὴν γῆν παρὰ τὸ ἐν αὐτῇ κλίνεσθαι τὰ θνήσκοντα, ὅθεν καὶ χοῦς ἐκλήθη θανά-
Psal. 21, 16. του ἐν ψαλμοῖς, εἰς χοῦν θανάτου κατῆχθαι εἰρηκότος Χριστοῦ.

X. Ὅτι φησί, Πᾶν γὰρ τὸ ἐκ καθαροῦ ἀέρος καὶ καθαροῦ πυρὸς συνιστάμενον σύγκριμα, καὶ τοῖς ἀγγελικοῖς ὁμοούσιον ὑπάρχον, οὐ δύναται γῆς ἔχειν ποιότητα καὶ ὕδατος, ἐπεὶ συμβήσεται ἔσεσθαι αὐτὸ γεῶδες. τοιοῦτον καὶ ἐκ τούτων τὸ ἀναστῆναι μέλλον σῶμα ἀνθρώπου Ὠριγένης ἐφαντάζετο, [5]ὃ καὶ πνευματικὸν ἔφησεν.

XI. Ὅτι φησί, Ποδαπὸν ἄρα ἐστὶ καὶ σχῆμα τὸ ἀνιστάμενον, εἰ ὅλως τὸ ἀνθρω-
ποειδὲς τοῦτο, ὡς ἄχρηστον ὂν κατ' αὐτόν, ἐξαφανίζεται, ὃ πάντων ἐστὶ τῶν εἰς ζῷα
συγκεκριμένων σχημάτων ἐρασμιώτατον, ᾧ καὶ τὸ θεῖον χρῆται εἰκόνι, καθάπερ καὶ
1 Cor. 11, 7. ὁ σοφώτατος Παῦλος δηλοῖ „ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν,
εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων," εἰς ὃ καὶ τὰ νοερὰ τῶν ἀγγέλων σώματα διεκοσμή-
θησαν; ἆρα κυκλοτερὲς ἢ πολυγώνιον ἢ κυβικὸν ἢ πυραμοειδές; πλεῖσται γὰρ τῶν σχημάτων αἱ παραλλαγαί. ἀλλὰ τοῦτο ἀμήχανον. οὐκοῦν τίς ἡ ἀποκλήρωσις τὸ μὲν θεοείκελον σχῆμα (ὁμολογεῖ γὰρ καὶ αὐτὸς ὁμοειδῆ εἶναι τὴν ψυχὴν τῷ σώματι) ἀπαγορεύεσθαι ὡς ἀκλεέστερον, ἄπουν δὲ καὶ ἄχειρον ἀνίστασθαι;

1) Hoc loco rursus deficiunt Excerpta apud Photium (p. 298, *b*. 40); pergit fragmentum Rupifucaldinum apud Combefisium (Galland. p. 781, B.).

2) Hoc fragmentum Combefisius (apud Galland. p. 781, C. D.) ex codice Rupifucaldino supra dicto edidit.

3) Hoc quoque fragmentum Combefisius (ap. Galland. p. 781, D.) ex eodem cod. Rupifucald. edidit.

4) Hic denuo incipiunt Excerpta ap. Phot. cod. 234. p. 298, *b*. 41 sqq. Parum autem abfuit, quin ante fragmentum IX. illud, quo de Iona agitur (num. XIX.), interponerem. Certe illius fragmenti haec sedes esse videtur.

5) Contra Origenem ita interpretantem 1 Cor. 15, 44 Methodius hisce disputavit, quae Oecumenius p. 487 ed. Veron. ad eum locum summatim refert: *Μεθοδ. σῶμα λέγεται πνευματικόν, οὐ τὸ λεπτομερὲς καὶ ἀερῶδες, καθὼς λέγουσί τινες ὅτι τοιοῦτον αἱ ψυχαὶ ἐν τῇ ἀναστάσει λήψονται σῶμα, ὧν ἐστιν εἷς καὶ Ὠριγένης, ἀλλὰ πνευματικὸν λέγεται τὸ χωροῦν πᾶσαν τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν καὶ κοινωνίαν, ὥσπερ οἰνηρὸν καὶ ἐλαιηρὸν σκεῦος καλεῖται τὸ τούτων χωρητικόν. ἀναλόγως οὖν καὶ ψυχικὸν ἐκάλεσε τὸ τῇ ψυχῇ καὶ οὐ πνεύματι ἁγίῳ διοικούμενον.*

XII. Ὅτι φησίν, Ὁ μετασχηματισμὸς ἡ εἰς τὸ ἀπαθὲς καὶ ἔνδοξόν ἐστιν ἀποκα-
τάστασις· [1] νῦν μὲν γὰρ σῶμα ἐπιθυμίας ἐστὶ καὶ ταπεινώσεως (διὸ καὶ Δανιὴλ Dan. 9, 23.
ἀνὴρ ἐπιθυμιῶν ἤκουε), τότε δὲ μετασχηματισθήσεται εἰς σῶμα ἀπαθές, οὐ τῇ ἐξαλ-
λαγῇ τῆς διακοσμήσεως τῶν μελῶν, ἀλλὰ τῷ μὴ ἐπιθυμεῖν τῶν ὑλικῶν ἡδονῶν.

XIII. Ὅτι φησὶν ἐξελέγχων τὸν Ὠριγένην, [2] Βούλεται τοίνυν ὁ Ὠριγένης τὴν μὲν
αὐτὴν σάρκα μὴ ἀποκαθίστασθαι τῇ ψυχῇ, τὴν δὲ ποιὰν ἑκάστου μορφήν, κατὰ τὸ
εἶδος τὸ τὴν σάρκα καὶ νῦν χαρακτηρίζον, ἐν ἑτέρῳ πνευματικῷ ἐντετυπωμένην ἀναστή-
σεσθαι σώματι, ἵνα ἕκαστος πάλιν ὁ αὐτὸς φανῇ κατὰ τὴν μορφήν, καὶ τοῦτο εἶναι τὴν 299. b.
ἐπαγγελλομένην ἀνάστασιν. „ῥευστοῦ γάρ“ φησίν „ὑπάρχοντος τοῦ ὑλικοῦ σώματος
καὶ μηδέποτε μένοντος ἐφ᾽ ἑαυτῷ, ἀλλὰ ἀπογινομένου καὶ ἐπιγινομένου περὶ τὸ εἶδος
τὸ χαρακτηρίζον τὴν μορφήν, ὑφ᾽ οὗ καὶ συγκρατεῖται τὸ σχῆμα, ἀνάγκη δὴ τὴν
ἀνάστασιν ἐπὶ μόνου εἴδους ἔσεσθαι.“ εἶτα μετ᾽ ὀλίγον φησίν, Οὐκοῦν, ὦ Ὠρίγε-
νες, εἰ ἐπὶ τοῦ εἴδους μόνον προσδοκᾶσθαι διισχυρίζῃ τὴν ἀνάστασιν ἐν πνευματικῷ
μεταθησομένου σώματι, ἀπόδειξίν τε δοκιμωτάτην τὴν κατὰ τὸν Ἠλίαν ἡμῖν ὀπτα-
σίαν καὶ Μωυσέα παρέχεις, „ὥςπερ ἐκεῖνοι“ φάμενος „μετὰ τὴν ἀπὸ τοῦ βίου ἔξο-
δον ὤφθησαν οὐχ ἕτερον παρ᾽ ὃ εἶχον εἶδος ἐξ ἀρχῆς διασώζοντες, κατὰ τὰ αὐτὰ
καὶ ἡ πάντων ἔσται ἀνάστασις,“ ὁ Μωυσῆς δὲ καὶ ὁ Ἠλίας πρὸ τοῦ τὸν Χριστὸν
παθεῖν καὶ ἀναστῆναι ἤδη τὸ εἶδος τοῦτο ὃ φὴς ἔχοντες ἀνέστησαν καὶ ὤφθησαν,
πῶς δὴ ἔτι ὁ Χριστὸς πρωτότοκος εἶναι τῶν νεκρῶν ὑπὸ τῶν προφητῶν καὶ τῶν Apoc. 1, 5.
ἀποστόλων ᾄδεται; εἰ γὰρ πρωτότοκος τῶν νεκρῶν Χριστὸς εἶναι πεπίστευται, πρω- Col. 1, 18.
τότοκος δέ ἐστι τῶν νεκρῶν ὁ πρὸ πάντων ἀναστάς, ὁ δὲ Μωυσῆς ἤδη καὶ πρὸ τοῦ
τὸν Χριστὸν παθεῖν ἔχων τὸ εἶδος τοῦτο ἐφάνη τοῖς ἀποστόλοις, περὶ ὃ πληροῦσθαι
φὴς αὐτὸς τὴν ἀνάστασιν, οὐκ ἄρα τοῦ εἴδους χωρὶς τῆς σαρκός ἐστιν ἡ ἀνάστασις.
ἤτοι γὰρ τοῦ εἴδους ἐστίν, ὡς παρεγγυᾷ, μόνου ἡ ἀνάστασις, καὶ οὐ δύναται ἔτι πρω-
τότοκος εἶναι ὁ Χριστὸς τῶν νεκρῶν, τῷ πρὸ αὐτοῦ ἐχούσας τοῦτο μετὰ τὴν τελευτὴν
τὸ εἶδος πεφηνέναι ψυχάς· ἢ πρωτότοκος ἀληθῶς, ὥςπερ ἔστι, καὶ ἀδύνατον ὅλως
ἠξιῶσθαι πρὸ αὐτοῦ τινας τῆς εἰς τὸ μὴ αὖθις ἀποθανεῖν ἀναστάσεως. εἰ δὲ ἀνέστη
οὐδεὶς πρὸ αὐτοῦ, οἱ δὲ ἀμφὶ τὸν Μωυσέα καὶ τὸν Ἠλίαν σάρκας μὲν ἔχοντες τοῖς
ἀποστόλοις οὐκ ὤφθησαν, μόνον δὲ τὸ εἶδος, ἡ ἄρα ἀνάστασις ἐπὶ τῆς σαρκὸς προ-
φανῶς δηλοῦται. καὶ γὰρ ἀτοπώτατον ἐπὶ μόνου τοῦ εἴδους τὴν ἀνάστασιν διορί-
ζεσθαι, ὁπότε αἱ ψυχαὶ καὶ μετὰ τὴν τῆς σαρκὸς ἔξοδον οὐδέποτε φαίνονται τὸ
εἶδος, ὅ φησιν ἀνίστασθαι, ἀποτιθέμεναι. εἰ δὲ συμπαρέσται αὐταῖς τοῦτο ἀναφαί-
ρετον, καθάπερ καὶ ἐπὶ τῆς Μωυσέως καὶ Ἠλίου ψυχῆς, καὶ οὔτε φθείρεται κατὰ
σὲ οὔτε ἀπόλλυται, σὺν αὐταῖς πανταχοῦ συμπαρόν, οὐκ ἄρα τὸ εἶδος ἀνίσταται, ὃ
μηδέποτε πέπτωκεν. ἐὰν δέ τις δυςχεράνας „καὶ πῶς δή“ ἀποκριθῇ, „εἰ μηδεὶς
ἀνέστη πρὸ τοῦ κατελθεῖν εἰς τὸν Ἅιδην τὸν Χριστόν, ἀναστάντες ἤδη τινὲς ἱστο- 300. a.
ρήθησαν πρὸ αὐτοῦ, ἐν οἷς τῆς Σαραφθίνης χήρας ὁ υἱὸς καὶ τῆς Σωμανίτιδος καὶ 3 Reg. 17, 22
ὁ Λάζαρος;“ λεκτέον „ἀλλ᾽ οὗτοι εἰς τὸ καὶ αὖθις ἀποθανεῖν ἀνέστησαν, ἡμεῖς δὲ 4 Reg. 4, 35. Ioan. 11, 44.
περὶ τῶν μηκέτι μετὰ τὴν ἔγερσιν διοριζόμεθα τεθνηξομένων.“ ἐὰν δὲ καὶ περὶ τῆς
ψυχῆς διαπορήσας φράσῃ τοῦ Ἠλίου, ὡς τῶν μὲν γραφῶν ἀνειλῆφθαι αὐτὸν λεγου-
σῶν ἐν σαρκί, ἡμῶν δὲ ἀσύμπλοκον σαρκὸς τοῖς ἀποστόλοις ὦφθαι φασκόντων,
λεκτέον ὅτι „καὶ μὴν μᾶλλον τὸ λέγειν αὐτὸν ὦφθαι τοῖς ἀποστόλοις ἐν σαρκὶ πρὸς
ἡμῶν ἐστι. δείκνυται γὰρ καὶ διὰ τούτου ἀφθαρσίας ἡμῶν ὑπάρχον τὸ σῶμα δεκτι-
κόν, καθάπερ ἐδείχθη καὶ ἐπὶ τοῦ Ἐνὼχ μετατιθεμένου. εἰ μὴ γὰρ ἀφθαρσίαν Gen. 5, 24.
ἠδύνατο δέξασθαι, οὐκ ἂν οὐδὲ διέμεινεν ἐν ἀπαθείᾳ τοσούτῳ χρόνῳ. εἰ τοίνυν
ὤφθη μετὰ τοῦ σώματος, καὶ ἦν τελευτήσας μέν, ἀναστὰς δὲ ἤδη ἐκ νεκρῶν οὐδέπω.“
καὶ ταῦτα, ἵνα δὴ συγχωρήσωμεν τῷ Ὠριγένει, καθ᾽ ἑαυτὸ τὸ εἶδος λέγοντι μετὰ τὴν
τελευτὴν ἀποζευγνύμενον ἀπὸ τοῦ σώματος τῇ ψυχῇ δίδοσθαι· ὅπερ ἐστὶν ἁπάντων
ἀδυνατώτατον, τῷ προαπόλλυσθαι τὸ εἶδος τῶν σαρκῶν ἐν ταῖς ἀλλοιώσεσι, καθά-
περ καὶ τὸ σχῆμα τοῦ συγχωνευομένου ἀνδριάντος πρὸ τῆς διαλύσεως τοῦ ὅλου, ὅτι

1) Quid sibi velit τὸ σῶμα τῆς ταπεινώσεως Philipp. 3, 21, Methodius hisce disputavit, quae Oecumenius ad eum locum p. 678 ed. Veron. affert: ἀλλ᾽ ὅρα τί φησι Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ. καὶ τοῦτό ποτε ἡμῶν τὸ σῶμα σῶμα δόξης ἦν πρὸ τῆς παραβάσεως, καὶ οὕτως ἔνδοξον ἦν, ὅτι νῦν μετὰ τὴν παράβασιν σῶμα ταπεινώσεως λέγεται. οὐ γὰρ ἂν εἰ μὴ ἔνδοξον ἦν, ταπεινώσεως νῦν ἐκλήθη. ταπεινοῦται γὰρ ἀπὸ σφάλματος τὸ ἔνδοξον. τὸ γὰρ ἀεὶ ταπεινὸν οὐκ ἄν τις εἴποι ὅτι διὰ τὴν παράβασιν ἐταπεινώθη. καὶ γὰρ καὶ περὶ τοῦ ἱσταμένου, εἰ πέσοι, λέγομεν ὅτι ἔπεσε, περὶ δὲ τοῦ ἀεὶ κειμένου οὐκ ἄν τις εἴποι ὅτι ἁμαρτήσας (l. ἁμαρτῆσαν) ἔπεσεν. ὥςτε τοῦτο τὸ σῶμα ἄφθαρτον καὶ ἔνδοξον γινόμενον ἀνίσταται καὶ οὐχ ἕτερον.

2) Conf. Eustath. Antioch. Contra Origen. de Engastrimytho p. 394 ed. Allat. ὅσα δὲ τῆς ἀναστάσεως ἕνεκα κακοδόξως εἰςηγεῖται, δηλῶσαι μὲν ἐπὶ τοῦ παρόντος οὐχ οἷόν τε· Μεθόδιος γὰρ ὁ τῆς ἁγίας ἄξιος μνήμης ἔγραψεν ἀποχρώντως εἰς τόδε τὸ θεώρημα καὶ διέδειξεν ἀναφανδὸν ὅτι τοῖς αἱρεσιώταις ἔδωκε πάροδον ἀβούλως, ἐπὶ εἴδους, ἀλλ᾽ οὐκ ἐπὶ σώματος αὐτοῦ τὴν ἀνάστασιν ὁρισάμενος.

μὴ δύναται χωρίζεσθαι καθ᾽ ὑπόστασιν ἀπὸ τῆς ὕλης ἡ ποιότης. χωρίζεται μὲν γὰρ ἀπὸ τοῦ ἀνδριάντος χωνευθέντος ἡ περὶ τῷ χαλκῷ μορφὴ ἀφανιζομένη, οὐ μὴν ὑφεστῶσα ἔτι κατ᾽ οὐσίαν. ἐπεὶ δὲ λέγεται ἐν τῷ θανάτῳ τὸ εἶδος χωρίζεσθαι ἀπὸ τῆς σαρκός, φέρε τὸ χωριζόμενον ποσαχῶς λέγεται χωρίζεσθαι ἐπισκεψώμεθα. λέγεται τοίνυν χωρίζεσθαί τι ἀπό τινος ἢ ἐνεργείᾳ καὶ ὑποστάσει, ἢ ἐπινοίᾳ, ἢ ἐνεργείᾳ μέν, οὐ μὴν καὶ ὑποστάσει. ὡς εἰ πυροὺς τις καὶ κριθὰς μεμιγμένα χωρίσειεν ἀπ᾽ ἀλλήλων· ἡ μὲν γὰρ κατὰ κίνησιν χωρίζεται, ἐνεργείᾳ λέγεται, ἡ δὲ χωρισθέντα ὑφέστηκεν, ὑποστάσει λέγεται κεχωρίσθαι. ἐπινοίᾳ δέ, ὅταν τὴν ὕλην ἀπὸ τῶν ποιοτήτων χωρίζωμεν καὶ τὰς ποιότητας ἀπὸ τῆς ὕλης. ἐνεργείᾳ δέ, οὐ μὴν καὶ ὑποστάσει, ὅταν χωρισθέν τι ἀπό τινος μηκέτι ὑπάρχοι, ὑπόστασιν οὐσίας οὐκ ἔχον. γνοίη δ᾽ ἄν τις καὶ ἐν τοῖς χειροτεχνήμασιν ὡς ἔχει, ἀνδριάντα ἰδὼν ἢ ἵππον χαλκοῦν. ταῦτα γὰρ λογιζόμενος ὄψεται τὴν ἔμφυτον μορφὴν διαλλάττοντα, εἰς δὲ ἑτέραν ὄψιν μεθιστάμενα, ὑφ᾽ ἧς τὸ ξυγγενόμενον εἶδος ἀφανίζεται. εἰ γάρ τις τὰ
300. b. *ἔργα τὰ σχηματιζόμενα εἰς εἶδος ἀνθρώπου ἢ ἵππου συντήκοι, εὑρήσει τὸ μὲν τοῦ σχήματος εἶδος ἀφανιζόμενον, αὐτὴν δὲ τὴν ὕλην μένουσαν. ὥστε ἀσύστατον τὸ λέγειν τὸ μὲν εἶδος ἀνίστασθαι ἠμαυρωμένον μηδέν, τὸ δὲ σῶμα, ἐν ᾧ ἦν τὸ εἶδος ἐντετυπωμένον, διαφθείρεσθαι. ἀλλά „ναί“ φησιν· „ἐν πνευματικῷ γὰρ μετατεθήσεται σώματι.“ οὐκοῦν ἀνάγκη τὸ μὲν εἶδος ἰδίως ὁμολογεῖν αὐτὸ τὸ πρῶτον μὴ ἀνίστασθαι, τῷ συνηλλοιῶσθαι αὐτὸ συμφθῖνον τῇ σαρκί. κἂν γὰρ ἐν πνευματικῷ μεταπλασθῇ σώματι, αὐτὸ μὲν ἰδίως τὸ πρῶτον ὑποκείμενον ἐκεῖνο οὐκ ἔσται, ὁμοιότης δέ τις ἐκείνου ἐν λεπτομερεῖ μεταπεπλασμένη σώματι. εἰ δὲ μήτε τὸ εἶδος τὸ αὐτὸ μήτε τὸ σῶμα ἀνίσταται, ἀλλ᾽ ἕτερον ἀντὶ τοῦ προτέρου (τὸ γὰρ ὅμοιον ἕτερον τοῦ ἑαυτοῦ ὁμοίου ὄν), αὐτὸ ἐκεῖνο τὸ πρῶτον, πρὸς ὃ ἐγένετο, εἶναι οὐ δύναται.*

XIV. *Ὅτι εἶδός φησιν εἶναι τὸ τὴν ταυτότητα τῶν μελῶν ἐν τῷ χαρακτῆρι τῆς μορφῆς ἑκάστου ἐμφαῖνον.*

XV. *Ὅτι τὸ παρὰ τοῦ προφήτου Ἰεζεκιὴλ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν ῥητὸν εἰρημένον τοῦ Ὠριγένους ἀλληγοροῦντος, καὶ εἰς τὴν τῶν εἰς Βαβυλῶνα αἰχμαλωτισθέντων Ἰσραηλιτῶν ἐπάνοδον ἐκβιαζομένου εἰρῆσθαι, ἐξελέγχων μετὰ πολλὰ ὁ ἅγιος καὶ τοῦτό φησιν· Οὐδὲ γὰρ οὐδὲ αὐτοὶ πρὸς ἐλευθερίαν ἀνέσφηλαν καθαράν, οὐδὲ τῶν ἐχθρῶν κατακρατήσαντες ἐξουσιαστικώτερον κατῴκησαν τὴν Ἱερουσαλήμ. εἴργοντο γοῦν ὑπὸ τῶν ἀλλοεθνῶν πολλάκις οἰκοδομῆσαι θελήσαντες τὸν ναόν· ὅθεν καὶ ἐν μ´ αὐτὸν καὶ ς´ ἔτεσι μόλις ἠδυνήθησαν δείμασθαι, τοῦ Σολομῶντος ἐν ἑπταετεῖ χρόνῳ ἐκ θεμελίων αὐτὸν συμπληρώσαντος. καὶ τί χρὴ λέγειν; ἀπὸ γὰρ δὴ Ναβουχοδονόσορ καὶ τῶν μετ᾽ αὐτὸν Βαβυλῶνος βασιλευσάντων ἄχρι τῆς Περσῶν ἐπὶ τοὺς Ἀσσυρίους καθόδου, τῆς τε Ἀλεξάνδρου ἡγεμονίας, καὶ τοῦ Ῥωμαίων τοῦ πρὸς τοὺς Ἰουδαίους συῤῥαγέντος πολέμου, ἑξάκις κατεστράφησαν ὑπὸ τῶν πολεμίων τὰ Ἱεροσόλυμα. καὶ τοῦτο Ἰώσηππος ἱστορεῖ λέγων „ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις, τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεύς, καὶ μετ᾽ αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήϊος, καὶ ἐπὶ τούτοις σὺν Ἡρώδῃ Σόσσιος ἑλόντες ἐνέπρησαν τὴν πόλιν· πρὸ δὲ τούτων ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτήν.“*

301. a. XVI. *Ὅτι Ὠριγένης τάδε φησί· Περὶ δὲ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου ἀπορεῖσθαι δύναται, τῶν μὲν ἁπλουστέρων οἰομένων ταῦτα λελέχθαι, ὡς ἀμφοτέρων μετὰ τῶν σωμάτων λαμβανόντων τὰ ἄξια τῶν τῷ βίῳ πεπραγμένων, τῶν δὲ ἀκριβεστέρων, ἐπεὶ μετὰ τὴν ἀνάστασιν οὐδεὶς ἐν βίῳ καταλείπεται, οὐκ ἐν τῇ ἀναστάσει οἰομένων*
Luc. 16,28. *ταῦτα γεγονέναι (λέγει γὰρ ὁ πλούσιος ὅτι „πέντε ἀδελφοὺς ἔχω, καὶ ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου, πέμψον Λάζαρον ἀπαγγέλλοντα αὐτοῖς τὰ ἐνταῦθα“), καὶ διὰ τοῦτο ζητούντων τὴν γλῶσσαν καὶ τὸν δάκτυλον καὶ τοὺς κόλπους Ἀβραὰμ καὶ τὴν ἀνάκλισιν. καὶ τάχα τὸ τῆς ψυχῆς ἅμα τῇ ἀπαλλαγῇ σχῆμα, ὁμοιοειδὲς ὂν τῷ παχεῖ καὶ γηΐνῳ σώματι, δύναται οὕτως λαμβάνεσθαι. εἴ ποτε γοῦν ἱστορεῖταί τις τῶν κεκοιμημένων φαινόμενος, ὅμοιος ἑώραται τῷ ὅτε τὴν σάρκα*
1 Reg. 28,12. *εἶχε σχήματι. εἶτα, Ἀλλὰ καὶ ὁ Σαμουὴλ φαινόμενος, ὡς δῆλόν ἐστιν, ὁρατὸς ὢν παρίστησιν ὅτι σῶμα περιέκειτο, μάλιστα ἐὰν ἀναγκασθῶμεν ὑπὸ τῶν ἀποδείξεων τὴν οὐσίαν τῆς ψυχῆς ἀσώματον εἶναι καθ᾽ ἑαυτὴν ἀποφήνασθαι. ἀλλὰ καὶ ὁ κολαζόμενος πλούσιος καὶ ὁ ἐν κόλποις Ἀβραὰμ πένης ἀναπαυόμενος, πρὸ τῆς παρουσίας τοῦ σωτῆρος καὶ πρὸ τῆς συντελείας τοῦ αἰῶνος καὶ διὰ τοῦτο πρὸ τῆς ἀναστάσεως λεγόμενοι ὁ μὲν ἐν Ἅιδου κολάζεσθαι, ὁ δὲ ἐν κόλποις Ἀβραὰμ ἀναπαύεσθαι, διδάσκουσιν ὅτι καὶ ἐν τῇ ἀπαλλαγῇ σώματι χρῆται ἡ ψυχή. πρὸς ταῦτα ὁ ἅγιος τάδε φησί·* [1] *Σχῆμα ἄλλο ὁμοιοειδὲς τῷ αἰσθητῷ τούτῳ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν*

1) Conf. Huet. Origenianor. lib. II. p. 100 sq.

ἔχειν ἐκτιθέμενος τὴν ψυχήν, ἀσώματον ὑπό τι Πλατωνικῶς ἀποφαίνεται αὐτήν. τῷ
γὰρ καὶ μετὰ τὴν ἀπὸ τοῦ κόσμου ἀποφοίτησιν ὀχήματος αὐτὴν δεῖσθαι καὶ περι-
βολῆς λέγειν, ὡς οὐ δυναμένην κατασχεθῆναι γυμνήν, πῶς οὐκ ἂν καθ' ἑαυτὴν ἀσώ-
ματος εἴη; ἀσώματος δὲ οὖσα πῶς οὐκ ἔσται καὶ ἀνεπίδεκτος παθῶν; ἀκολουθεῖ
γὰρ τῷ ἀσώματον αὐτὴν ὑπάρχειν καὶ τὸ ἀπαθῆ εἶναι καὶ ἀπερίσπαστον. εἰ μὲν
οὖν ὑπὸ ἀλόγου οὐ περιείλκετο ὅλως ἐπιθυμίας, οὐδὲ συμμετεβάλλετο ἀλγοῦντι καὶ
πάσχοντι τῷ σώματι (ἀσώματον γὰρ σώματι ἢ σῶμα ἀσωμάτῳ οὐκ ἄν ποτε συμπά-
θοι), ἦν ἂν ἀσώματον δόξαι αὐτὴν ἀκολούθως τοῖς εἰρημένοις. εἰ δὲ συμπάσχοι τῷ
σώματι, καθάπερ καὶ διὰ τῆς ἐπιμαρτυρήσεως τῶν φαινομένων ἀποδείκνυται, ἀσώ- 301.b.
ματος εἶναι οὐ δύναται. ἡ γοῦν ἀγέννητος καὶ ἀνενδεὴς καὶ ἀκάματος φύσις ὁ θεὸς
μόνος ᾄδεται, ἀσώματος ὤν. διὸ καὶ ἀόρατος· θεὸν γὰρ οὐδεὶς ἑώρακεν. αἱ δὲ
ψυχαὶ ὑπὸ τοῦ δημιουργοῦ καὶ πατρὸς τῶν ὅλων, σώματα νοερὰ ὑπάρχουσαι, εἰς
λόγῳ θεωρητὰ μέλη διακεκόσμηνται, ταύτην λαβοῦσαι τὴν διατύπωσιν τῆς μορφῆς. ὅθεν
καὶ ἐν τῷ Ἅιδῃ, καθάπερ καὶ ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, καὶ γλῶσσαν καὶ
δάκτυλον καὶ τὰ ἄλλα μέλη ἱστοροῦνται ἔχειν, οὐχ ὡς σώματος ἑτέρου συνυπάρχον-
τος αὐταῖς ἀειδοῦς, ἀλλ' ὅτι αὐταὶ φύσει αἱ ψυχαί, παντὸς ἀπογυμνωθεῖσαι περι-
βλήματος, τοιαῦται κατὰ τὴν οὐσίαν ὑπάρχουσιν. [1] ἀλλὰ γὰρ προδήλου ὑπάρχοντος
μὴ εἶναι ἀπαθεῖς τὰς ψυχάς, μηδὲ αὖ μετὰ τὴν τοῦ βίου ἔξοδον ἕτερα σώματα ἔχειν,
ἐν οἷς ἐπιφαίνονται πρὸ τῆς ἀναστάσεως, ἀκόλουθον ἂν εἴη διαφωνοῦντα αὐτὸν καὶ
ὧδε καὶ ἐναντιούμενον ἑαυτῷ δηλῶσαι.

XVIII. [2] Ὁμολογεῖ γοῦν αὐτός „εἴ ποτε δή“ λέγων „ἱστορεῖταί τις τῶν κεκοιμημένων φαινόμενος, ὅμοιος ἑώραται τῷ ὅτε τὴν σάρκα εἶχε σχήματι.“ πῶς οὖν μὴ φῶμέν σε ταῦτα, ὦ Ὠρίγενες, δηλούμενον λέγειν; εἰ γὰρ αὐτὴ ἡ ψυχὴ καὶ μετὰ τὴν ἀπὸ τοῦ κόσμου ἔξοδον ὁμοειδής ἐστι τῇ σαρκί, εἰς τὰ αὐτὰ μέλη διατετυπωμένη, ὥστε καὶ γλῶσσαν καὶ δάκτυλον καὶ τὰ λοιπὰ ἔχειν, κατὰ τί δὴ τοῦ μὲν κυριωτάτου καὶ πρώτου τῆς ψυχῆς εἰς τοῦτο διακεκοσμημένης τὸ σχῆμα οὐχὶ καὶ τὸ δι' αὐτὴν ἐσόμενον σῶμα εἰς τὸ αὐτὸ εἶδος καὶ αὐτῇ διατυπωθήσεται;

XIX. [3] Ὅτι φησὶν ὁ ἅγιος ἐν τέλει· Ὥςτε τό „διὰ τοῦτο **Χριστὸς** ἀπέθανε“ λεγόμενον „ἵνα ζώντων καὶ νεκρῶν κυριεύσῃ“ ἐπὶ τῶν ψυχῶν καὶ ἐπὶ τῶν σωμάτων παραληπτέον, ζώντων μὲν τῶν ψυχῶν, καθὸ ἀθάνατοι, νεκρῶν δὲ τῶν σωμάτων.

XX. Ὅτι εἰ τιμιώτερον σῶμα ἀνθρώπου τῶν ἄλλων ζώων, ὅτι χερσί τε θεοῦ λέγεται πεπλάσθαι καὶ ὅτι τιμιωτέρου τῆς ψυχῆς τετύχηκεν ὀχήματος, πῶς τοῦτο μὲν ὀλιγοχρόνιον, ἀλόγων δέ τινων πολλῷ πολυχρονιώτερα; ἢ δῆλον ὡς ἡ τούτου πολυχρόνιος ὕπαρξις μετὰ τὴν ἀνάστασιν ἔσται;

XXI. [4] **Περιέχει δὲ καὶ μέγα μυστήριον ἡ κατὰ τὸν Ἰωνᾶν ἱστορία. ἔοικε γὰρ τὸ μὲν κῆτος νοεῖσθαι ὁ χρόνος, ἅτε μηδέποτε ἑστώς, ἀλλὰ πορευόμενος ἀεὶ καὶ κατα-**

1) Hactenus Photius cod. 234. p. 301, *b*. 12. Pergit Eustratius, Presb. CPol., in libro, qui inscribitur: ***Εὐστρατίου**, πρεσβυτέρου τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας **Κωνσταντινουπόλεως**, λόγος ἀνατρεπτικὸς πρὸς τοὺς λέγοντας μὴ ἐνεργεῖν τὰς τῶν ἀνθρώπων ψυχὰς μετὰ τὴν διάζευξιν τῶν ἑαυτῶν σωμάτων, καὶ ὅτι οὐδὲν ὠφελοῦνται διὰ τῶν προσαγομένων ὑπὲρ αὐτῶν εὐχῶν τε καὶ προσφορῶν τῷ θεῷ.* Eum edidit Leo Allatius in opere De utriusque ecclesiae, occidentalis atque orientalis, perpetua in dogmate de purgatorio consensione (Romae, 1655). Eustratius igitur apud Allatium p. 494 haec dicit: *καὶ **Μεθόδιος** δὲ ὁ ἅγιος μάρτυς καὶ ἐπίσκοπος ἐν τῷ λόγῳ τῷ πρὸς Ἀγλαοφῶντα τοιαῦτά φησιν, ὡς ἀπὸ τοῦ Ὠριγένους παρατιθέμενος „αἱ δὲ ψυχαὶ* cet., quae ap. Phot. cod. 234. p. 301, *b*. 4—12. exstant, et a Methodio sua ex sententia, non ex sententia Origenis, uti Eustratius vult, pronuntiantur. Deinde sequuntur, quae Photianis in contextu annexi. Eustratiana V. Cl. Migneus, Abbas, rogatus a Darembergio, V. Cl. mihique amisissimo, meum in usum describi officiosissime curavit.

2) Pergit Eustratius l. c. post interiecta haec verba: *καὶ μετ' ὀλίγα.* Postremo haec de suo addit Eustratius: *μεμφόμενος ἐλέγχει τὸν Ὠριγένην ὁ ἅγιος μάρτυς **Μεθόδιος**, οὐχ ὅτι εἶπεν ἐπιφαίνεσθαι τὰς ψυχὰς τῶν ἐκδημούντων ἐκ τοῦδε τοῦ κόσμου, ἀλλ' ὅτι σωματοειδῶς τὰς ἀσωμάτους διαπλάττει, γλῶσσαν καὶ δάκτυλον καὶ τὰ λοιπὰ μέλη ὡς κατὰ φύσιν αὐτὸς τοιαύτας εἶναι λέγων. περιπίπτει οὖν ἑαυτῷ Ὠριγένης, ὅτι τὴν μὲν ἀσώματον ψυχὴν σωματοποιεῖ, περιτιθεὶς αὐτῇ τοιόνδε σχῆμα, τὸ δὲ ἀσώματον τὴν κατὰ φύσιν τοῦ σχήματος αὐτοὺς ἤγουν ἰδέαν μὴ ἔχειν ἀποφαίνεται. τὴν μὲν οὖν μίαν δόξαν ὅτι αἱ ψυχαὶ σώματά εἰσιν ἀνατρέπει διὰ τὸ εἰρηκέναι ἐναντίον ἑαυτῷ αὐτὸν ἀποδειχθέντα, τὴν δὲ ὅτι ἐπιφαίνονται τῷδε τῷ βίῳ αἱ ψυχαὶ διὰ τὸ μηδὲν καταιτιάσασθαι τὸν Ὠριγένην δῆλός ἐστιν ὁ μάρτυς ὅτι ἀπεδέξατο αὐτὸν τοῦτο εἰρηκότα, ἐπειδὴ τοῦτο ἔδοξεν ἀληθῶς λέγειν, ὑπ' αὐτοῦ καὶ τῆς ἀληθείας ἐναγόμενος.* Leg. lin. 3: *αὐτὰς τοιαῦτα ἔχειν*, et l. 5. *αὐτὰς οἷον ἰδέαν.*

3) Sequuntur Excerpta ap. Phot. cod. 234. p. 301, *b*. 13—23, ubi in verbis: *ἢ δῆλον ὡς ἡ τούτου πολυχρόνιος ὕπαρξις μετὰ τὴν ἀνάστασιν ἔσται;* cod. 234 desinit. Ceterum cum proximis (num. XIX.) conf. Oecumen. in Rom. 14, 9. p. 361 ed. Veron. *ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ: τουτέστι ψυχῶν καὶ σωμάτων. αἱ μὲν γάρ εἰσιν ἀθάνατοι, τὰ δὲ θνητά. οὕτως καὶ ὁ ἅγιος **Μεθόδιος** ἐν τῷ περὶ ἀναστάσεως λόγῳ.* Oecumenium rursus exscripsit Theodulus Coelosyr. Presb. Comm. in Epist. ad Rom. cap. 14, Biblioth. PP. max. T. 27. p. 614, B.

4) Fragmentum istud Latine profert Combefisius in ***Bibliotheca concionatoria***, T. II, p. 263

δαπανῶν τὰ γεννώμενα μακροῖς τε καὶ βραχυτέροις διαστήμασιν, ὁ δὲ φεύγων Ἰωνᾶς ἀπὸ προςώπου τοῦ θεοῦ αὐτὸς ἐκεῖνος ὁ πρῶτος ἄνθρωπος, ὃς ἀθετήσας τὴν ἐντολὴν ἔφυγεν ἀφθαρσίας ὀφθῆναι γυμνός, τὴν πρὸς τὸ θεῖον ὑπὸ τῆς ἁμαρτίας παῤῥησίαν ἀφῃρημένος. τὸ δὲ πλοῖον, εἰς ὃ ἐπιβὰς ἐχειμάζετο, ἡ κατὰ τὸν παρόντα καιρὸν βραχύβιός ἐστιν αὕτη καὶ δυςάρεστος ζωή, οἷον τραπέντων ἡμῶν καὶ μεταναστευσάντων ἀπὸ τῆς μακαριωτάτης ἐκείνης καὶ ἀκινδύνου ζωῆς εἰς τὸν πολυχειμαστότατον τοῦτον βίον καὶ ἀκατάστατον, καθάπερ ἀπὸ γῆς εἰς πλοῖον. ὃ γὰρ πλοῖον πρὸς γῆν, τοῦτο ὁ παρὼν βίος πρὸς τὸν ἀθάνατον. ὁ δὲ χειμὼν καὶ αἱ ἐπισυνιστάμεναι καθ᾽ ἡμῶν λαίλαπές εἰσιν οἱ ἐνταῦθα πειρασμοί, ὥςπερ ἐν κλύδωνι τῷ κόσμῳ ἀλύπως εὐθυδρομῆσαι τὸν βίον ἡμᾶς ἐν γαλήνῃ καὶ νηνεμίᾳ κακῶν μὴ ἐπιτρέποντες. ἡ δὲ ἀπὸ τοῦ πλοίου εἰς τὴν θάλασσαν ἔκριψις τοῦ Ἰωνᾶ γεγενημένη τὴν ἀπὸ τοῦ ζῆν εἰς τὸ τελευτῆσαι τοῦ πρωτοπλάστου δηλοῖ μετάπτωσιν, ἀποφάσεως τυχόντος, ἀνθ᾽ ὧν ἁμαρτήσας ἀπέδρα τῆς δικαιοσύνης, τοῦ „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ.“ τὸ δὲ καταποθῆναι αὐτὸν ὑπὸ τοῦ κήτους τὴν ὑπὸ τοῦ χρόνου γεγενημένην ἀπαραίτητον ἡμῶν δηλοῖ ἀναίρεσιν. ἡ γὰρ κοιλία, ὑφ᾽ ἧς ἐκαλύφθη καταποθεὶς ὁ Ἰωνᾶς, ἡ παντοδόχος ἐστὶ γῆ, τὰ ὑπὸ τοῦ χρόνου δαπανώμενα δεχομένη.

Καθάπερ οὖν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας ἐνδιατρίψας καὶ νύκτας τοσαύτας αὖθις ὑγιὴς ἀπεδόθη, οὕτω δὴ καὶ πάντες τὰς τρεῖς τοῦ παρόντος αἰῶνος διαστάσεις ποιήσαντες ἐν τῇ γῇ, ἀρχὴν λέγω καὶ μεσότητα καὶ τέλος, ἐξ ὧν σύγκειται πᾶς οὗτος ὁ παρὼν χρόνος, ἀναστησόμεθα. τρία γὰρ καθολικὰ χρόνου διαστήματα, παρῳχηκὼς καὶ μέλλων καὶ παρών. καὶ διὰ τοῦτο καὶ ὁ κύριος τοσαύτας ἡμέρας συμβολικῶς ποιήσας ἐν τῇ γῇ ἐδίδαξε σαφῶς ὅτι πληρωθέντων τῶν προειρημένων τοῦ χρόνου διαστημάτων ἔσται ἡμῶν ἡ ἀνάστασις, τοῦ μέλλοντος μὲν ἀρχὴ αἰῶνος ὑπάρχουσα, τούτου δὲ τέλος. ἐν αἰῶνι γὰρ οὔτε παρῴχηκέ τι οὔτε μέλλει, ἀλλὰ μόνον ὑφέστηκεν. ἔτι ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ποιήσας οὐ κατεφθάρη συντηκομένων αὐτῷ τῶν σαρκῶν κατὰ τὴν ἐν τῇ κοιλίᾳ γινομένην φυσικὴν σῆψιν τῶν εἰςφερομένων βρωμάτων διὰ τὴν πλείονα ἐν τοῖς ἐνύδροις θερμότητα, ἵνα δειχθῇ ὅτι δύναται εἶναι ἡμῶν τὰ σώματα ταῦτα ἀνώλεθρα. νόει γάρ μοι τὸν θεὸν τὰς μὲν ὡς ἀπὸ χρυσοῦ κατεσκευασμένας ἔχειν εἰκόνας ἑαυτοῦ ἀπὸ τῆς πνευματικῆς καθαρωτέρας οὐσίας, οἷον τοὺς ἀγγέλους, τὰς δὲ ὥςπερ ἀπὸ γύψου ἢ χαλκοῦ, οἷον ἡμᾶς· τῷ γηΐνῳ γὰρ τὴν ψυχὴν ἥνωσε τὴν κατ᾽ εἰκόνα θεοῦ γεγενημένην. [1] ὡς οὖν πάσας ἐνταῦθα τοῦ βασιλέως τὰς εἰκόνας τιμᾶσθαι χρὴ διὰ τὴν ἐν αὐταῖς μορφήν, οὕτω δὴ καὶ ἡμᾶς ἀνένδεκτόν ἐστι θεοῦ εἰκόνας ὑπάρχοντας πρὸς ἀπώλειαν ὡς ἠτιμωμένους χωρῆσαι παντελῆ. ὅθεν καὶ κατῆλθεν εἰς τὴν καθ᾽ ἡμᾶς οἰκουμένην ὁ λόγος καὶ ἐσαρκώθη ἐκ τοῦ σώματος ἡμῶν, ὅπως εἰς τὸ θεοπρεπέστερον τὴν εἰκόνα ἐπισκευάσας, καθάπερ ὑπὸ χρόνου διαλελυμένην, ἀναστήσῃ ἀνώλεθρον. καὶ γοῦν τὴν ἐπὶ τοῦ προφήτου μυστηριωδῶς πεπραγματευμένην οἰκονομίαν δηλοῦντες, ἅπαντα εἰς τοῦτο ἀναφανδὸν συντείνοντα εὕρομεν τὸν λόγον.

XXII. [2] *Αὐτίκα γοῦν τῶν τῇδε βασιλέων αἱ εἰκόνες, κἂν μὴ ἀπὸ τῆς πολὺ τιμιωτέρας ὕλης χρυσοῦ τε καὶ ἀργύρου ὦσι κατεσκευασμέναι, τιμὴν ἔχουσι πρὸς ἁπάντων· οὐ γὰρ τὰς μὲν ἀπὸ τῆς πολὺ τιμιωτέρας ὕλης θεραπεύοντες οἱ ἄνθρωποι ἐξολιγωροῦσι τῶν ἐξ ἀτιμιωτέρας, ἀλλὰ πᾶσαν ἐπὶ γῆς τιμῶσιν, εἰ καὶ ἀπὸ γύψου ἢ χαλκοῦ ὑπάρχουσι, καὶ ὁ δυςφημήσας εἰς ὁποτέραν οὔτε ὡς εἰς πηλὸν ἀφίεται, οὔτε ὡς χρυσὸν ἐξευτελίσας κρίνεται, ἀλλ᾽ ὡς εἰς αὐτὸν ἀσεβήσας τὸν βασιλέα καὶ κύριον.* [3] *τὰς μὲν*

seq. et ex eo Galland. p. 831, A. — p. 832, A. Graeca ex cod. Vatic. 1611 exhibet Simon de Magistris in libro cui titulus: ***Acta martyrum ad Ostia Tiberina sub Claudio Gothico***. Romae 1792, in fol., Append. p. 462. Migneus. Exstat hoc fragmentum etiam in Nicolai Diaconi CPol. Catena in Lucam, a Maio in Scriptor. vet. nov. collect. T. IX. edita, p. 680 sq., ubi, ut apud Simonem de Magistris, inscriptio haec est: ***Μεθοδίου Πατάρων***. Codex ms., ex quo Maius eam Catenam edidit, olim Palatinus 20. fuit. Vid. Monumenta viror. illustr. P. I. p. 9. Ceterum hoc fragmentum ad libri II. *περὶ ἀναστάσεως* eam disputationem pertinere, ex qua sumtum est Excerptum ap. Phot. cod. 234. p. 298, *b*. 41. — p. 299, *a*. 9, dixi p. 94 annot. 4, ubi pone num. XXI pro num. XIX.

1) Gallandius recte fecit, quod haec conferri iussit cum fragmento apud Io. Damascenum (vid. num. XXII). Quid? quod illa Methodii apud Damascenum verba: *αὐτίκα γοῦν ... ὡς εἰς αὐτὸν ἀσεβήσας τὸν βασιλέα καὶ κύριον*, si post ista: *ὡς οὖν πάσας .. διὰ τὴν ἐν αὐτοῖς μορφήν*, per parenthesin illata accipiantur, suam in sedem restitui videntur.

2) Ex Io. Damasceni Orat. III. De imaginibus, Opp. ed. Lequien. T. I. p. 389, E. 390, A. B. Fragmenti inscriptio haec est: ***τοῦ ἁγίου Μεθοδίου, ἐπισκόπου Πατάρων, περὶ ἀναστάσεως λόγῳ β.***

3) Haec novissima ab aliena manu adscripta videntur. Sive enim *τῶν αὐτοῦ ἀγγέλων τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας* cum Lequieno scribitur, sive, quod praestat, *τῶν αὐτοῦ ἀγγέλων, τῶν τε ἀρχῶν καὶ τῶν ἐξουσιῶν* cum Combefisio corrigitur, verborum sententia putida est et aliena a prae-

ἀπὸ χρυσοῦ κατεσκευασμένας εἰκόνας τῶν αὐτοῦ ἀγγέλων, τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, εἰς τιμὴν καὶ δόξαν αὐτοῦ ποιοῦμεν.

XXIII. [1] *Τῷ ἑκάστῳ προσώπῳ τὰ ἀκόλουθα περὶ τοῦ παντὸς τηρεῖν ἀναγκαῖον.*

Fragmentis libri II. *περὶ ἀναστάσεως* accedant, quae personatus Origenes, ille de fabula graculus, Dial. c. Marcionit. V. p. 131—135 inde ita exscripsisse censendus est, ut, mutatis personis, Methodii et Auxentii partes Adamantio suo et Eutropio, Aglaophontis vero sive Procli Marino tribueret, ceterum elegantiam Methodii parum curaret. Adamantius igitur et Eutropius adversus Marini argumenta, a fluxa corporis natura petita (conf. Origen. ap. Epiph. p. 535, A. B. C. 536, B. C. et Procl. ibid. p. 540, A. 560, D. 561, A. B. C. D.) hisce disputant, a me emendatis, p. 131: ***ΑΔΑΜ.*** *Εἰ καὶ τὰ μάλιστα ἀπὸ γραφῶν ἐπαγγειλάμενος πείθειν τοὺς ἀκροατάς, ἰατρικῇ ἐπιστήμῃ προσπελάσας ἐπελήσθης τοῦ ὅρου, οὐκ ὀκνήσω καὶ αὐτός, εἰ καὶ μὴ ἤσκημαι ἰατρικήν, ἀποκροῦσαί σου τὰ ἄδικα τῆς ἐννοίας φρονήματα. εἰ γὰρ ῥευστῆς οὐσίας ἦν τὸ σῶμα,* (p. 132) *ἕτερον ἀνθ' ἑτέρου γινόμενον, ἐχρῆν τὰ ἀποκοπτόμενα μέλη, τουτέστιν ὠτίον ἢ δάκτυλον ἢ ῥῖνα, αὖθις ἐκ τῆς τροφῆς ἀναπληροῦσθαι. ἔδει δὲ καὶ τὰς οὐλὰς τῶν τραυμάτων, μὴ παραμένειν, μέχρι γήρως ὑπεκρεόντων κατὰ σὲ τῶν σωμάτων. ἀλλ' οὐδὲ τὰ ἐν ταῖς νόσοις ὑπεκρεῖ σώματα, αὖθις ἕτερα γενόμενα. ἀλλ' ὅταν ἡ ψυχὴ μὴ δέξηται τὰ αὐτῇ ὀρεκτά, μύσει τὸ σῶμα, καθάπερ ὅταν ψυχραινόμενον πιλῆται· ὅταν δὲ δέξηται τὰ αὐτῇ ὀρεκτά, αὖθις πιαινόμενον ὀγκοῦται. οὐ γὰρ οὕτω ῥᾷστα ἀνασφήλαντος ἐκ νόσου τοῦ σώματος ἐν βραχεῖ χρόνῳ ἀποκαθίσταται τὰ διὰ τοσούτου χρόνου αὐξάνοντα.* ***ΕΥΤΡ.*** *Εἰ ῥευστὸν ἦν τὸ σῶμα, ἕτερον ἀνθ' ἑτέρου γιγνόμενον, ἀδύνατον ὃ ἦν εὑρεῖν, καὶ τὸ σῶμα ἀνυπόστατον.* ***ΜΑΡ.*** *Πῶς;* ***ΕΥΤΡ.*** *Ἐπὶ ἀνθρώπου τὸ παράδειγμα λάβε· ὃν τρόπον εἴ τις βούλοιτο ἀπὸ κηροῦ ἀνδροείκελον κατασκευάσαι, καὶ πρότερον μὲν βραχείᾳ ὑποστάσει ἀποτυπωσάμενος, αὖθις ἕτερον κηρὸν ἐπιχέων εἰς ὕψος καὶ μέγεθος βούλοιτο τοῦτον πλάττειν, ἀδυνάτως ἔχει. οὔτε γὰρ τὸ γιγνόμενον τέλους τυχεῖν δυνήσεται, τῆς πρώτης ὑποστάσεως τοῦ κηροῦ ὑπεκρεούσης καὶ ἑτέρας γιγνομένης, οὔτε ὁ ἀνδροεικελοποιὸς τελέσει τὸ ἔργον. ὁ δὲ ἄνθρωπος τὴν ἐκ παίδων τοῦ σώματος ὑπόστασιν ἔχων* (p. 133) *προςλαμβάνει τὴν αὔξησιν, μενούσης τῆς παιδικῆς ὑποστάσεως. ὅθεν καὶ τῶν τραυμάτων αἱ οὐλαὶ μέχρι γήρως παραμένουσι καὶ αἱ τῶν μελῶν ἀποκοπαί, καὶ περισσὸν τὸ λέγειν ῥευστὸν τὸ σῶμα.* ***ΜΑΡ.*** *Εἰ τὸ ἐκ παίδων μέχρι γήρως σῶμα ἀνίσταται, ἀποκρινάσθω ὁποῖον αἷμα συνανίσταται τῷ ἀνθρώπῳ· τὸ ἐν ταῖς φλεβοτομίαις; ἀλλὰ τὸ ἐν ταῖς αἱμοῤῥαγίαις; ἔνιοι δὲ τῶν ἀνθρώπων καθ' ἕκαστον ἐνιαυτὸν φλεβοτομούμενοι ἐκκρίνουσι. λεγέτω οὖν μοι ποῖον αἷμα συνανίσταται τῷ ἀνθρώπῳ.* (Conf. Origen. ap. Epiphan. p. 535, A. *εἰ συναναστήσεται τὰ ἀποῤῥεύσαντα ἐν φλεβοτομίαις αἵματα.*) ***ΑΔΑΜ.*** *Οὐ τὸ γονιμώτατον καὶ κύριον αἷμα ἐκκρίνουσιν οἱ φλεβοτομούμενοι, ἀλλὰ τὸ νόθον καὶ ἐπείςακτον ἐκ τῶν χυμῶν ἐπιγιγνόμενον. ὅθεν καὶ ἐν ταῖς αἱμοῤῥαγίαις προπηδᾷ, οὐκ ὂν γονιμώτατον οὐδὲ κύριον. διὰ τοῦτο καὶ οἱ τῆς ἰατρικῆς ἐπιστήμης μέτοχοι, εἰδότες τὸ ἐκ τῶν χυμῶν ἐπείςακτον ἐρυθαινόμενον καὶ ὁμόχροον γιγνόμενον τῷ αἵματι, οὐ μὴν γονιμώτατον ὄν, ἐπιχειροῦσι ταῖς φλεβοτομίαις, ἔστ' ἂν ἐκκρίνηται πᾶν τὸ νόθον, τὸ λεγόμενον μέλαν· τοῦ δὲ ξανθοῦ καὶ γονιμωτάτου προκύψαντος εὐθὺς στάλσεις ποιοῦνται, μή πως ἐκρεῦσαν τὸ γόνιμον διαλύσῃ τὸ ζῶον.* ***ΕΥΤΡ.*** *Ἀνεπιστήμων πρότασις τὰ νόθα καὶ τὰ ἐκ τῆς τροφῆς ἐπείςακτα, ταῦτα κύρια καὶ γονιμώτατα ὑπολαμβάνειν. εἰςπεμπομένη γὰρ ἡ τροφὴ εἰς τὸ ἔνδον καὶ χυλουμένη* (p. 134) *πῇ μὲν εἰς αἷμα, πῇ δὲ εἰς φλέγμα, πῇ δὲ εἰς σίελον ἐκκρίνεται. ἐάσαντες οὖν τὰ ἄκυρα ἐπὶ τὰ κυριώτερα ἔλθετε.* ***ΜΑΡ.*** *Ὁ ἄνθρωπος ἐκ γῆς καὶ ὕδατος καὶ πυρὸς καὶ ἀέρος συνέστηκεν. ἐπὰν οὖν ἀποθάνῃ καὶ διαλυθῇ, ἑκάστη οὐσία τὸ ἴδιον ἀπολαμβάνει συγκιρναμένη, οἷον τὸ τοῦ πυρὸς μέρος τὸ πῦρ, τὸ τοῦ ὕδατος τὸ ὕδωρ, τὸ τοῦ ἀέρος ὁ ἀήρ, τὸ τῆς γῆς ἡ γῆ. πῶς οὖν ἐν τῇ ἀναστάσει δυνατὸν αὐτὸν τὸν ἄνθρωπον ἀναστῆναι, οὗ τὰ μέρη συνεκράθη; ὥςπερ γε εἴ τις οἷον ἐν πελάγει θαλάττης ἐκχέας ὕδωρ τὸ αὐτὸ αὖθις ἀνακομίσασθαι διαβεβαιοῖτο, τοῦ πράγματος ἀδυνατοῦντος. ἀνάγκη γοῦν ἄλλον ἀντ' ἄλλου ἄνθρωπον ἀνίστασθαι.* ***ΑΔΑΜ.*** *Σφόδρα κατὰ σὲ δυνατώτεροι οἱ ἄνθρωποι τοῦ θεοῦ δείκνυνται, καὶ περισσὸν τὸ λέγειν τὸν σωτῆρα „τὰ παρὰ ἀνθρώποις ἀδύνατα παρὰ τῷ θεῷ δυνατά."* (Luc. 18, 27) ***ΜΑΡ.*** *Πῶς εἰσιν οἱ ἄνθρωποι τοῦ θεοῦ δυνατώτεροι;* ***ΑΔΑΜ.*** *Οἱ ἄνθρωποι μὲν γὰρ οἶνον ὕδατι συγκραθέντα χωρίζουσι, τέχνῃ καὶ ἐπιστήμῃ χρώμενοι, καὶ ἀργύριον ἀπὸ χαλκοῦ, καὶ πλείστων ὅσων τὰς διακρίσεις ἴσασι ποιεῖσθαι. ὁ δὲ θεός, ὁ ἀνυπέρβλητος δυνάμει τεχνίτης τε καὶ δημιουργὸς πάντων, ᾧ ὑποτέτακται ἀήρ, ὕδωρ, γῆ, φόβῳ δουλεύοντα καὶ ἕκαστον τηροῦντα τὸ ἴδιον μέρος, πῶς οὐκ ἂν ἑκάστῳ ἐν τῇ ἀνα-* (p. 135) *στάσει ἀποδοίη τὸ ἴδιον σῶμα; τὸ μὲν γὰρ πῦρ ὑποτεταγμένον τῷ θεῷ καὶ νεύματι πειθόμενον τοὺς τρεῖς ἀδελφοὺς τοὺς βληθέντας εἰς κάμινον πυρὸς οὐκ ἠδίκησεν, ἀλλὰ σώους τῷ δεσπότῃ παρέδωκεν, τὸ δὲ ὕδωρ τὸν Ἰωνᾶν δεξάμενον ἐν τῷ βυθῷ ἐν τρισὶ νυχθημέροις ὁλόκληρον ἀποκατέστησεν, ὁ δὲ ἀὴρ τὸν Ἠλίαν εἰς οὐρανὸν ἀνεκόμισεν, ἡ δὲ γῆ Λάζαρον τεταρταῖον ἀπέδωκεν. ἀλλὰ μὴν καὶ τὰ γλυκέα ὕδατα ἐπιῤῥέοντα τῇ θαλάσσῃ, συγκιρνώμενα καὶ συγκυλινδούμενα πάλιν ὕδατα γλυκέα διὰ τῶν νεφελῶν χεῖται, διαχωριζόμενα ἀπὸ τῶν ἁλμυρῶν. καθὼς καὶ ὁ προφήτης φησίν „ὁ προςκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόςωπον τῆς γῆς."* (Amos 5, 8) ***ΕΥΤΡ.*** *Ἀπὸ γραφῶν ἐπαγγειλάμενος δεῖξαι, εἰς φυσιολογικὰς καὶ ἰατρικὰς ζητήσεις ἐκτραπεὶς τοὺς ἀνθρώπους δυνατωτέρους τοῦ θεοῦ ἀπέδειξε* (scil. Marinus). Ex hisce quae p. 131—134 (supr.) exstant, in lacunam, quae libri II. fragmentum I. praecedit, incidere videntur, reliqua in eam, quae inter fragm. VIII. et IX. hiat. Omnia sumta puto ex disputatione Methodii, quam tangit Epiphan. Panar. LXIV, 67. p. 677, 26—28. ed. Dindorf. Conf. annot. extr. ad p. 90.

gressis, quae quo pertineant supra diximus. Adde quod sacrarum imaginum cultus post Methodii tempora invaluit. Vid. Casauboniana p. 106. 137.

1) Ex Leontii et Ioannis Rerum sacr. libro II. Tit. *περὶ ἰσότητος*, ubi lemma: *τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως.* Vid. Mai. Script. vet. nov. collect. T. VII. p. 102, col. 2.

Phot. cod. 235. p. 301. b.

ΜΕΘΟΔΙΟΥ

ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΓΕΝΗΤΩΝ.

Matth. 7, 6. I. [1]Ὅτι τό „μὴ βάλητε τὸ ἅγιον τοῖς κυσί, μηδὲ τοὺς μαργαρίτας ὑμῶν ἔμπρο-
σθεν τῶν χοίρων“ μαργαρίτας μὲν τοῦ Ξένωνος τὰ μυστικώτερα τῆς θεοςδότου θρη-
σκείας ἐκλαμβάνοντος μαθήματα, χοίρους δὲ τοὺς ἔτι ἀσεβείᾳ καὶ ἡδοναῖς παντοίαις
δίκην χοίρων ἐν βορβόρῳ καλινδουμένους (τούτοις γὰρ εἰρῆσθαι παρὰ Χριστοῦ ἔλεγε
μὴ παραβαλεῖν τὰ θεῖα μαθήματα, διὰ τὸ μὴ δύνασθαι αὐτὰ φέρειν, ἅτε τῇ ἀσεβείᾳ
καὶ ταῖς ἀγρίαις ἡδοναῖς προκατισχημένους) ὁ μέγας Μεθόδιός φησιν, Εἰ μαργαρίτας
τὰ σεμνοπρεπῆ καὶ θεῖα μαθήματα δεῖ ἐξακούειν, χοίρους δὲ τοὺς ἀσεβείᾳ καὶ ἡδο-
ναῖς συζῶντας, οἷς καὶ ἀπαράβλητα καὶ ἀπόκρυφα τὰ πρὸς εὐσέβειαν καὶ τὴν εἰς
302. a. Χριστὸν πίστιν ἀποστολικὰ διεγείροντα κηρύγματα δεῖ εἶναι, ὅρα ὡς οὐδένα λέγεις
τῶν Χριστιανῶν τοῖς τῶν ἀποστόλων κηρύγμασιν ἐξ ἀσεβείας αὐτῶν τῆς προτέρας
ἐπιστρέψαι· οὐδὲ γὰρ ἂν πάντως παρέβαλον τὰ κατὰ Χριστὸν μυστήρια τοῖς δι᾽
ἀπιστίαν χοίροις ἐοικόσιν. ἢ οὖν πᾶσι τοῖς Ἕλλησι καὶ τοῖς ἄλλοις ἀπίστοις ταῦτα
παρεβλήθη παρὰ τῶν τοῦ Χριστοῦ μαθητων καὶ ἐκηρύχθη, καὶ ἀπὸ τῆς ἀσεβείας
μετέβαλεν αὐτοὺς εἰς τὴν εἰς Χριστὸν πίστιν, ὥςπερ οὖν καὶ πιστεύοντες ὁμολογοῦ-
μεν, καὶ οὐκέτι δύναται νοεῖσθαι τό „μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν
τῶν χοίρων,“ ὡς ἐῤῥήθη· ἢ τούτου ὡς ἐλέχθη νοουμένου, ἀνάγκη ἡμᾶς λέγειν ὡς
οὐδενὶ τῶν ἀπίστων, οὓς χοίροις ἀπεικάζομεν, ἐκ τῶν ἀποστολικῶν διδαγμάτων, μαρ-
γαριτῶν δίκην τὰς ψυχὰς καταυγαζόντων, ἡ εἰς Χριστὸν πίστις καὶ ἡ τῆς ἀσεβείας
ἐλευθερία γεγένηται. βλάσφημον δὲ τοῦτο. οὐκ ἄρα δεῖ μαργαρίτας μὲν τὰ μυστι-
κώτερα τῶν μαθημάτων ἐκλαμβάνειν ἐνταῦθα, χοίρους δὲ τοὺς ἀσεβεῖς, οὐδὲ τό „μὴ
βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων“ εἰς τό „μὴ παραβάλητε τοῖς
ἀσεβέσι καὶ ἀπίστοις τὰ μυστικὰ καὶ τελειοποιὰ τῆς εἰς Χριστὸν πίστεως διδάγματα“
παραλαμβάνειν· ἀλλὰ μαργαρίτας μὲν τὰς ἀρετὰς ἐκδέχεσθαι χρή, αἷς ὥςπερ πολυ-
τίμοις μαργαρίταις ἡ ψυχὴ καθωραΐζεται, μὴ παραβαλεῖν δὲ αὐτοὺς τοῖς χοίροις,
τουτέστι μὴ παραβαλεῖν αὐτὰς τὰς ἀρετάς, οἷον ἁγνείαν καὶ σωφροσύνην καὶ δικαιο-
σύνην καὶ ἀλήθειαν, ταύτας δὴ μὴ παραβαλεῖν ταῖς μαχλώσαις ἡδοναῖς (χοίροις γὰρ
ἐοίκασιν αὗται), ἵνα μὴ τὰς ἀρετὰς αὗται καταφαγοῦσαι χοιρώδη βίον καὶ πολυπαθῆ
τὴν ψυχὴν βιοτεύειν παρασκευάσωσιν.

II. Ὅτι ὁ Ὠριγένης, ὃν Κένταυρον καλεῖ, ἔλεγε συναΐδιον εἶναι τῷ μόνῳ σοφῷ
καὶ ἀπροςδεεῖ θεῷ τὸ πᾶν. ἔφασκε γάρ, Εἰ οὐκ ἔστι δημιουργὸς ἄνευ δημιουργη-
μάτων ἢ ποιητὴς ἄνευ ποιημάτων, οὐδὲ παντοκράτωρ ἄνευ τῶν κρατουμένων (τὸν
γὰρ δημιουργὸν διὰ τὰ δημιουργήματα ἀνάγκη καὶ τὸν ποιητὴν διὰ τὰ ποιήματα καὶ
τὸν παντοκράτορα διὰ τὰ κρατούμενα λέγεσθαι), ἀνάγκη ἐξ ἀρχῆς αὐτὰ ὑπὸ τοῦ θεοῦ
γεγενῆσθαι, καὶ μὴ εἶναι χρόνον ὅτε οὐκ ἦν ταῦτα. εἰ γὰρ ἦν χρόνος ὅτε οὐκ ἦν τὰ
ποιήματα, ἐπεὶ τῶν ποιημάτων μὴ ὄντων οὐδὲ ποιητής ἐστιν, ὅρα οἷον ἀσεβὲς ἀκο-
λουθεῖ. ἀλλὰ καὶ ἀλλοιοῦσθαι καὶ μεταβάλλειν τὸν ἄτρεπτον καὶ ἀναλλοίωτον συμ-
302. b. βήσεται θεόν. εἰ γὰρ ὕστερον πεποίηκε τὸ πᾶν, δῆλον ὅτι ἀπὸ τοῦ μὴ ποιεῖν εἰς
τὸ ποιεῖν μετέβαλε. τοῦτο δὲ ἄτοπον μετὰ τῶν προειρημένων. οὐκ ἄρα δυνατὸν λέγειν
μὴ εἶναι ἄναρχον καὶ συναΐδιον τῷ θεῷ τὸ πᾶν.

III. Πρὸς ὃν φησι δι᾽ ἑτέρου προσώπου ὁ ἅγιος ἐρωτῶν, Ἀρά γε σοφίας καὶ
δόξης καὶ συλλήβδην πάσης ἀρετῆς ἀρχὴν καὶ πηγὴν οὐσιωδῶς, ἀλλὰ μὴ ἐπικτήτως ἡγῇ
τὸν θεόν; ὁ δέ, Ναί. Τί δὲ πρὸς τούτοις; οὐχὶ τέλειος πάντῃ δι᾽ ἑαυτὸν καὶ ἀπρος-
δεής; Ἀληθῆ. Ἀμήχανον γὰρ τὸ ἀπροςδεὲς δι᾽ ἕτερον εἶναί τι ἀπροςδεές; Ἀμήχα-
νον. Πᾶν γὰρ τὸ δι᾽ ἕτερον πλῆρες ὂν καὶ ἀτελὲς λεκτέον; Ἀνάγκη. Τὸ γὰρ αὐτὸ
δι᾽ ἑαυτὸ ἑαυτοῦ πλήρωμα ὂν καὶ αὐτὸ ἐν ἑαυτῷ μένον, τέλειον εἶναι τοῦτο μόνον δοξα-
στέον; Ἀληθέστατα λέγεις. Τὸ δὲ μήτε αὐτὸ δι᾽ ἑαυτὸ μήτε αὐτὸ ἑαυτοῦ πλήρωμα
ὂν φαίης ἂν ἀπροςδεές; Οὐδαμῶς. Οὐκ ἄρα ὁ θεὸς τέλειος διά τι νομισθήσεται·
ὃ γὰρ διά τι τέλειόν ἐστιν, αὐτὸ καθ᾽ ἑαυτὸ ἀτελὲς ἀνάγκη τυγχάνειν. Ἀνάγκη. Οὐκ-
οῦν καὶ ὁ θεὸς αὐτὸς δι᾽ ἑαυτὸν τέλειος, ἀλλ᾽ οὐ δι᾽ ἕτερον λογισθήσεται; Ὀρθό-
τατα. Ἕτερον θεὸς κόσμου, καὶ ἕτερον κόσμος θεοῦ; Παντελῶς. Οὐκ ἄρα τέλειον
φατέον καὶ δημιουργὸν καὶ παντοκράτορα διὰ κόσμον τὸν θεόν; Οὔ. Ὅπως δι᾽ ἑαυ-

1) Ex Phot. Biblioth. c. 235. p. 301, *b*. 28. — p. 304, *b*. 20. ed. Bekker. Excerpta ita inscribuntur: p. 301, *b*. 25—27. *Ἀνεγνώσθη ἐκ τοῦ ἁγίου μάρτυρος Μεθοδίου καὶ ἐπισκόπου τοῦ περὶ τῶν γενητῶν ἐκλογὴ κατὰ σύνοψιν.*

τόν, ἀλλὰ μὴ διὰ κόσμον, καὶ ταῦτα τρεπτόν, αὐτὸς καθ' ἑαυτὸν τέλειος εὑρίσκοιτο.
Προςηκόντως. Τί δέ; τὸν πλούσιον διὰ τὸν πλοῦτον λεκτέον πλούσιον; *Ὀρθῶς.* Καὶ
τὸν σοφὸν κατὰ μετοχὴν τῆς οὐσιώδους σοφίας, οὐκ αὐτὸν σοφίαν ὄντα, σοφὸν
προςαγορευτέον; *Ναί.* Τί δέ; καὶ τὸν θεόν, ἕτερον ὄντα κόσμου, διὰ κόσμον ταύτῃ
πλούσιον καὶ εὐεργέτην καὶ δημιουργὸν κλητέον; *Οὐδαμῶς, ἄπαγε.* Οὐκοῦν αὐτὸς
ἑαυτοῦ πλοῦτος καὶ δι' ἑαυτὸν πλούσιος καὶ δυνατὸς τυγχάνει; *Ἔοικεν.* Ἦν ἄρα καὶ
πρὸ κόσμου πάντῃ ἀπροςδεὴς ὢν καὶ πατὴρ καὶ παντοκράτωρ καὶ δημιουργός, ὅπως
αὐτὸς δι' ἑαυτόν, ἀλλὰ μὴ δι' ἕτερον ταῦτα ᾖ; *Ἀνάγκη.* Εἰ γὰρ διὰ κόσμον καὶ
οὐχὶ δι' ἑαυτόν, ἕτερος ὢν κόσμου, παντοκράτωρ γνωρίζοιτο (συγγνώμην ὁ θεός·
ἀναγκάζομαι γὰρ τοῦτο εἰπεῖν), αὐτὸς καθ' ἑαυτὸν ἀτελὴς ἂν ἔσται καὶ προςδεὴς
τούτων, δι' ἃ παντοκράτωρ καὶ δημιουργός ἐστιν. *Ὑπερφυῶς.* Οὐκ ἄρα ἀποδεκτέον
ταύτην τὴν ὀλέθριον ἁμαρτίαν περὶ θεοῦ τῶν λεγόντων παντοκράτορα καὶ δημιουρ-
γὸν διὰ τὰ κρατούμενα καὶ δημιουργούμενα τρεπτά, ἀλλ' οὐ δι' ἑαυτὸν εἶναι τὸν 303.a.
θεόν.

IV. Ὅρα δὲ καὶ ὧδε. εἰ ὕστερον, ἔφης, πεποίηται ὁ κόσμος, μὴ πρότερον ὤν,
μεταβάλλειν ἀνάγκη τὸν ἀπαθῆ καὶ ἀναλλοίωτον θεόν· τὸν γὰρ ποιοῦντα πρότερον
μηδέν, ὕστερον δέ, ἀπὸ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν μεταβάλλειν καὶ ἀλλοιοῦσθαι
ἀνάγκη. *Ἔλεγον γάρ.* Πέπαυται δὲ τοῦ ποιεῖν ποτε τὸν κόσμον ὁ θεός, ἢ οὔ;
Πέπαυται. Οὔπω γὰρ ἦν τετελειωμένος ἄν. *Ἀληθές.* Εἰ οὖν τὸ ποιεῖν ἐκ τοῦ μὴ
ποιεῖν ἀλλοίωσιν τοῦ θεοῦ καταψηφίζεται, οὐχὶ καὶ τὸ μὴ ποιεῖν ἐκ τοῦ ποιεῖν;
Ἀνάγκη. Ἠλλοιῶσθαι δὲ αὐτὸν φαίης μὴ ποιοῦντα σήμερον παρ' ὃ ἦν ὅτε ἐποίει;
Οὐδαμῶς. Οὐδ' ἄρα ὅτ' ἐποίει τὸν κόσμον, ἠλλοιῶσθαι αὐτὸν ἀνάγκη παρ' ὃ ἦν
ὅτε οὐκ ἐποίει· καὶ οὔτε ἀνάγκη συνυπάρχειν αὐτῷ τὸ πᾶν δεῖν λέγειν διὰ τὸ μὴ
ἀναγκάζεσθαι λέγειν ἠλλοιῶσθαι, οὔτε συναΐδιον δι' αὐτὸ τοῦτο.

V. Καί μοι φαθὶ καὶ ὧδε. γενητὸν τὸ μὴ γενέσεως ἔχον ἀρχὴν φαίης ἄν; *Οὐ
δῆτα· εἰ γὰρ μὴ ὑποπίπτει γενέσεως ἀρχῇ, ἐξ ἀνάγκης ἀγένητόν ἐστιν.* Εἰ δὲ γέγο-
νεν, ὑπὸ αἰτίου τινὸς δίδως αὐτὸ γεγονέναι· πάντῃ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένε-
σιν ἔχειν; *Ἀδύνατον.* Κόσμον δὴ οὖν, καὶ ὅσα ἐν αὐτῷ, μῶν ἄλλου τινὸς ἢ θεοῦ
δημιουργοῦντος φήσομεν γεγονέναι ὕστερον, πρότερον οὐκ ὄντα; *Δῆλον ὅτι θεοῦ.*
Ἀδύνατον γὰρ τὸ γενέσεως ἀρχῇ περιορισθὲν συναπέραντον εἶναι τῷ ἀπεράντῳ;
Ἀδύνατον.

VI. Πάλιν δὴ οὖν, ὦ Κένταυρε, ἐξ ἀρχῆς διαλεγώμεθα. θείᾳ ἐπιστήμῃ τὰ ὄντα
φατὲ γεγονέναι, ἢ οὔ; Ὦ βάλε, λέξουσιν, οὐδαμῶς. Ἀλλὰ ἀπὸ τῶν στοιχείων ἢ
ὕλης ἢ στηριγμάτων, ἢ ὅπως αὐτοὶ ταῦτα βούλεσθε ὀνομάζειν (οὐδὲν γὰρ διαφέρει)·
τούτων ἀγενήτως προϋφεστηκότων καὶ πλημμελῶς φερομένων ὁ θεὸς διακρίνας ἐτεχνά-
σατο τὰ πάντα, ὥςπερ ἀγαθὸς ζωγράφος ἀπὸ πολλῶν χρωμάτων μίαν τεχνησάμενος
ἰδέαν; Οὐδὲ τοῦτο. πάντως γὰρ ἀποφεύξονται ὁμολογῆσαι καθ' ἑαυτῶν, ἵνα μὴ τῆς
διακρίσεως καὶ τῆς μεταμορφώσεως τὴν ὕλην συγχωροῦντες ἀρχὴν ἐσχηκυῖαν, ἀναγκα-
σθῶσι τῷ λόγῳ κατὰ πάντα τὸν θεὸν ἦρχθαι τοῦ διοικεῖν λέγειν καὶ κατακοσμεῖν 303.b.
τὴν πρότερον ἄμορφον οὖσαν ὕλην.

VII. Φέρε γάρ, ἐπειδή (σὺν τῷ θεῷ φάναι) ἐνταῦθα τοῦ λόγου γεγόναμεν, ἤτω
τις ἀνδριάς, ἑστὼς ἐπὶ βάσεως, καλός· οὗ θαυμάζοντες οἱ θεώμενοι τὴν εὔρυθμον
καλλονὴν διαφερέσθωσαν πρὸς ἀλλήλους, πῇ μὲν γενητόν, πῇ δὲ καὶ ἀγένητον πειρώ-
μενοι λέγειν. ἐροίμην γὰρ σφᾶς, Δι' ἣν αἰτίαν ἀγένητον αὐτόν φατε; πότερον διὰ
τὸν τεχνίτην, ὅπως μηδαμῶς ἀργήσας τῆς δημιουργίας νομίζοιτο, ἢ δι' αὐτόν; ἂν
μὲν γὰρ διὰ τὸν τεχνίτην, πῶς ἀγένητος ὢν πρὸς τοῦ τεχνίτου δημιουργεῖται; εἰ γὰρ
ὅλως ἐν ἐνδείᾳ τῆς τέχνης καθέστηκε χαλκουργούμενος πρὸς τὸ σχεῖν ὁποῖον ὁ δη-
μιουργὸς ἐθέλοι χαρακτῆρα, ποίῳ τρόπῳ ἀγένητος ἔσται πάσχων τε καὶ δρώμενος;
εἰ δὲ αὖ δι' ἑαυτὸν τέλειος καὶ ἀγένητος λέγοιτο μὴ δεῖσθαι τῆς τέχνης ὁ ἀνδριάς,
κατὰ τὸ ὀλέθριον δόγμα, ἀνάγκη αὐτοματισμὸν ὁμολογεῖν. εἰ δ' οὐδὲ τοῦτον ἴσως
ἐθελήσαντες προςήκασθαι τὸν λόγον πικρότερον ἀποκρινοῦνται, τὸ μὲν βρέτας ἀγέ-
νητον οὐκ εἶναι λέγοντες, γενητὸν δὲ εἶναι ἀεὶ γενέσεως ἀρχὴν οὐκ ἔχον, ὅπως ἀνάρ-
χως λέγοιτο κρατεῖν τοῦ τεχνάσματος ὁ τεχνίτης, Οὐκοῦν, ὦ οὗτοι, λέξομεν αὐτοῖς,
εἰ μὴ χρόνος μήτε αἰὼν εὑρίσκοιτο ἐπάνω, ὅτε οὐκ ἦν τέλειος ὁ ἀνδριάς, τί παρέ-
σχεν αὐτῷ ὁ τεχνίτης ἢ τί ἐνήργησεν εἰς αὐτόν, φατέ. εἰ γὰρ ὁ αὐτὸς ἀνενδεὴς ὢν
καὶ οὐκ ἔχων ἀρχὴν γενέσεως τυγχάνει, ταύτῃ μᾶλλον καθ' ὑμᾶς ὁ δημιουργὸς οὐδέ-
ποτε δημιουργήσας οὔτε δημιουργῶν εὑρεθήσεται, καὶ πάλιν εἰς αὐτὸ ἔοικεν ὁ λόγος
περιδεδραμηκέναι, αὐτοματισμὸν ὁμολογεῖν. ἐὰν γὰρ κἂν τὸ ἀκαριαίτατον τὸν ἀν-
δριάντα κινῆσαι ὁ δημιουργὸς λεχθῇ, ἀρχῇ ὑποπεσεῖται, καθ' ἣν πρότερον αὐτὸν
ἄκοσμον καὶ ἀκίνητον ὄντα ἤρξατο κινεῖν καὶ κοσμεῖν. οὔκουν καὶ ἦν καὶ ἔσται
διηνεκῶς ὁ αὐτὸς ἀεὶ κόσμος· ἀπεικαστέον γὰρ τῷ μὲν θεῷ τὸν τεχνίτην, τὸν δὲ

ἀνδριάντα τῷ κόσμῳ. πῇ δὴ οὖν, ὦ ἠλίθιοι, οἴεσθε τὴν κτίσιν συναπέραντον οὖσαν
τῷ δημιουργῷ μὴ δεῖσθαι τοῦ δημιουργοῦ; τὸ γὰρ συναπέραντον, μηδαμῶς ἀρχὴν γε-
νέσεως ἔχον, καὶ συναγένητον καὶ ἰσοδύναμον ἀνάγκη τυγχάνειν. τὸ δὲ ἀγένητον,
304. a. αὐτοτελὲς καὶ ἄτρεπτον φανθέν, καὶ ἀπροςδεὲς καὶ ἄφθορον ἂν ἔσται· καὶ εἰ τοῦτο
οὕτως ἔχει, οὐκέτι ὁ κόσμος τρεπτὸς καθ' ὑμᾶς.

VIII. Ὅτι ἐκκλησία παρὰ τὸ ἐκκεκλικέναι τὰς ἡδονὰς λέγεσθαί φησιν.

IX. Ὅτι φησὶν ὁ ἅγιος, Δύο δὲ δυνάμεις ἐν τοῖς προωμολογημένοις ἔφαμεν εἶναι
ποιητικάς, τὴν ἐξ οὐκ ὄντων γυμνῷ τῷ βουλήματι χωρὶς μελλησμοῦ ἅμα τῷ θελῆσαι
αὐτουργοῦσαν ὃ βούλεται ποιεῖν· τυγχάνει δὲ ὁ πατήρ· θατέραν δὲ κατακοσμοῦσαν
καὶ ποικίλλουσαν κατὰ μίμησιν τῆς προτέρας τὰ ἤδη γεγονότα· ἔστι δὲ ὁ υἱός, ἡ
παντοδύναμος καὶ κραταιὰ χεὶρ τοῦ πατρός, ἐν ᾗ μετὰ τὸ ποιῆσαι τὴν ὕλην ἐξ οὐκ
ὄντων κατακοσμεῖ.

X. Ὅτι τὸ Ἰὼβ βιβλίον Μωσέως εἶναι ὁ ἅγιός φησι.

Gen. 1, 1. XI. Ὅτι περὶ τοῦ „ἐν ἀρχῇ ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν“ φησίν, Ἀρχὴν
δὲ αὐτὴν τὴν σοφίαν λέγων τις οὐκ ἂν ἁμάρτοι. λέγεται γὰρ παρά τινι τῶν ἐκ τοῦ
Prov. 8, 22. θείου χοροῦ λέγουσα περὶ αὐτῆς τὸν τρόπον τοῦτον „κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ,
εἰς ἔργα αὐτοῦ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με“. ἦν γὰρ ἀκόλουθον καὶ πρεπωδέ-
στερον πάντα ἃ εἰς γένεσιν ἦλθον εἶναι ταύτης νεώτερα, ἐπεὶ καὶ δι' αὐτῆς γεγόνασιν.
Joan. 1, 1. ἐπίστησον γὰρ εἰ μὴ καὶ τό „ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν“
κατὰ τὸν εὐαγγελιστήν „καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν“,
εἰ μὴ τούτοις ὁμαρτεῖ. τὴν μὲν γὰρ ἀρχήν, ἀφ' ἧς ἀνεβλάστησεν ὁ ὀρθότατος λόγος,
τὸν πατέρα καὶ ποιητὴν τῶν ὅλων φατέον, ἐν ᾧ ἦν· τῷ δὲ „οὗτος ἦν ἐν ἀρχῇ πρὸς
τὸν θεόν“ τὸ ἐξουσιαστικὸν τοῦ λόγου, ὃ εἶχε παρὰ τῷ πατρὶ καὶ πρὸ τοῦ τὸν
κόσμον εἰς γένεσιν παρελθεῖν, ἔοικε σημαίνειν, τὴν ἐξουσίαν ἀρχὴν εἰπών. οὐκοῦν
ἀρχὴ μετὰ τὴν ἰδίαν ἄναρχον ἀρχήν, τὸν πατέρα, αὐτὸς τῶν ἄλλων γίνεται, δι' ἧς
ἅπαντα δημιουργεῖται.

XII. Ὅτι Ὠριγένης μετὰ τὸ πολλὰ μυθήσασθαι περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος
ἐπάγει καὶ τοῦτο, Οὔτε οὖν ἀπὸ Ἀδάμ, ὥς φασί τινες, πρότερον οὐκ ὢν ὁ ἄνθρω-
πος τότε πρώτως πλασθεὶς εἰς κόσμον παρῆλθεν, οὔτε αὖ κόσμος πρὸ ἓξ ἡμερῶν
τῆς τοῦ Ἀδὰμ γενέσεως ἤρξατο δημιουργεῖσθαι. εἰ δὲ φιλοφρονοῖτο διαφέρεσθαι πρὸς
ταῦτά τις, πρότερον φρασάτω εἰ μὴ εὐαρίθμητος ἀπὸ τῆς τοῦ κόσμου γενέσεως κατὰ
304. b. τὴν Μωσέως βίβλον τοῖς οὕτως αὐτὴν ἐκλαμβανομένοις ὁ χρόνος ἔσται, τῆς προφη-
Psal. 89, 2. 4. τικῆς καὶ ἐνθάδε βοώσης φωνῆς „ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· ὅτι
χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡμέρα ἡ χθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.“
χιλίων γὰρ ἐτῶν περιοριζομένων εἰς μίαν ἡμέραν ἐν ὀφθαλμοῖς θεοῦ, ἀπὸ τῆς τοῦ
κόσμου γενέσεως μέχρις ἡμῶν, ὡς οἱ περὶ τὴν ἀριθμητικὴν φάσκουσι δεινοί, ἓξ ἡμέ-
ραι συμπεραιοῦνται. ἑξακισχιλιοστὸν ἄρ' ἔτος φασὶν ἀπὸ Ἀδὰμ εἰς δεῦρο συντεί-
νειν· τῇ γὰρ ἑβδομάδι τῷ ἑπτακισχιλιοστῷ ἔτει κρίσιν ἀφίξεσθαί φασιν. οὐκοῦν αἱ
πᾶσαι ἡμέραι δέκα καὶ τρεῖς ἀφ' ἡμῶν ἕως εἰς τὴν ἐν ἀρχῇ, ἐν ᾗ ἐποίησεν ὁ θεὸς
τὸν οὐρανὸν καὶ τὴν γῆν, μετροῦνται. ὧν ὁ θεὸς ἀνώτερον κατὰ τὴν σφῶν αὐτῶν
ἄνοιαν οὐδὲν οὐδαμῶς δημιουργήσας ἐγεγύμνωτο τοῦ πατὴρ καὶ παντοκράτωρ εἶναι.
εἰ δὲ τριςκαίδεκά εἰσιν ἡμέραι ἐν ὀφθαλμοῖς θεοῦ ἀπὸ γενέσεως κόσμου, πῶς φησιν
Eccl. 1, 2. ἡ ἐν τῷ Σειρὰχ σοφία „ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς
ἐξαριθμήσει;“ Ταῦτά φησιν ὁ Ὠριγένης σπουδάζων, καὶ ὅρα οἷα παίζει.

ΜΕΘΟΔΙΟΥ

ΕΚ ΤΩΝ ΚΑΤΑ ΠΟΡΦΥΡΙΟΥ.

I. [1] Ἐπεδήμησεν ὁ υἱὸς τοῦ θεοῦ Χριστὸς ἐπιταγαῖς τοῦ πατρὸς τῇ ὁρατῇ κτί-
σει, ἵνα δὴ τὰ κράτη τῶν τυραννούντων ἀνατρέψας δαιμόνων ἐξέληται τῆς πικρᾶς τὰς
ψυχὰς δουλείας, ἀνθ' ὧν φύσις πᾶσα ταῖς προποσίαις τῆς ἀδικίας γεγοητευμένη
θορύβου τε καὶ ἀταξίας ἐπεπλήρωτο, οὐκ ἔτι τῶν συμφερόντων εἰς ἀνάμνησιν ἀνα-
δραμεῖν οὐδαμῶς δυναμένη. διόπερ καὶ πρὸς τὰ εἴδωλα ῥᾳδίως εἵλκετο, ἅτε ἐπικλύ-

1) Ex Gretsero De sancta cruce T. II. pp. 500. 502. ed. Ingolstad. 1600. Fragmentum ita inscribitur: *Μεθοδίου ἐπισκόπου πρὸς τοὺς λέγοντας „τί ὠφέλησεν ἡμᾶς ὁ υἱὸς τοῦ θεοῦ σαρκωθεὶς ἐπὶ γῆς καὶ γενόμενος ἄνθρωπος; καὶ διὰ τί τῷ τοῦ σταυροῦ σχήματι ἠνέσχετο παθεῖν καὶ οὐκ ἄλλῃ τινὶ τιμωρίᾳ; καὶ τί τὸ χρήσιμον τοῦ σταυροῦ;“*

σαντος πάντα τοῦ κακοῦ καὶ πάσας ἐπινενεμημένου τὰς γενεάς, κατὰ τὴν ἀλλοίωσιν τὴν ἐκ τῆς παρακοῆς προςγεγενημένην ταῖς ἐνσάρκοις ἡμῶν σκηναῖς, ἕως ὁ κύριος Χριστὸς δι' ἧς ἐπεφάνη σαρκὸς τῷ βίῳ ἀμυδρώσας τῶν ἡδονῶν τὰς ἐπιβολάς, αἷς αἱ κάτω δυνάμεις καθ' ἡμῶν ὡπλίζοντο καταδουλῶσαι τὸ διανοητικόν, ἐλεύθερον πάντων τὸν ἄνθρωπον διέδειξε κακῶν. τούτου γὰρ ἕνεκα καὶ σάρκα ἐφόρεσεν ὁ κύριος Ἰησοῦς, καὶ ἄνθρωπος ἐγένετο καὶ προςηλώθη τῷ σταυρῷ οἰκονομούμενος, ὅπως δι' ἧς σαρκὸς οἱ δαίμονες ἀναδεῖξαι θεοὺς ἠλαζονεύσαντο, πρὸς θάνατον τὰς ψυχὰς μεθόδοις ἀπάτης ἀγκιστρευσάμενοι, διὰ ταύτης ἀνατραπέντες κατοπτευθῶσιν οὐκ ὄντες θεοί. κωλύων γὰρ ἐπὶ πλέον ἀρθῆναι τὴν μεγαλαύχησιν αὐτῶν ἄνθρωπος ἐγένετο, ἵνα δὴ δι' οὗ σώματος τὸ λογικὸν γένος τῆς τοῦ ὄντος ἀπαλλοτριώσαντες θεοῦ θρησκείας ἐλυμήναντο, διὰ τούτου ἀῤῥήτοις τέχναις σοφίας τὸν λόγον χωρήσαντος ὀλετῆρες ἐλεγχθῶσιν, ἀλλ' οὐκ εὐεργέται τῶν ψυχῶν.

Οὐκ ἦν μὲν οὖν οὐδὲν θαυμαστὸν τῷ Χριστῷ τοῦ θεοῦ καταπλήξει καὶ δυνάμεως ἀτρέπτου μεγέθει τὰς ἀντιστατικὰς ἀμυδρῶσαι φύσεις τῶν δαιμόνων. ἀλλ' ἐπειδὴ ἄχος αὐτῶν δὴ καὶ σφαδασμὸν τοῦτο προςέφερεν (νικηθῆναι γὰρ ὑπὸ τοῦ κρείττονος μᾶλλον ἂν εἵλοντο), διὰ τοῦτο δι' ἀνθρώπου τὴν ἐπὶ σωτηρίαν πάντων ᾠκονομήσατο ἔκβασιν, ὅπως οἱ μέν, τῆς ζωῆς αὐτοῖς αὐτῆς σωματικῶς καὶ τῆς ἀληθείας ἐνσκηψάσης, οἱ ἄνθρωποι πρὸς μόρφωσιν ἀναδραμεῖν καὶ τὸν φωτισμὸν ἐπίσχωσιν τοῦ λόγου, τὰ τῆς ἁμαρτίας ὑπερβάντες θέλγητρα, οἱ δὲ πρὸς τοῦ ἀσθενεστέρου νικηθέντες καὶ καταπεφρονημένοι οἱ δαίμονες λήξωσι τοῦ θράσους, τῆς κατὰ τὸν Τυφῶνα δεθέντες φλεγμονῆς. διὰ τοῦτο γὰρ μάλιστα εἰςήχθη καὶ ὁ σταυρός, τρόπαιον κατὰ τῆς ἀδικίας καὶ ἔκπληγμα τεθείς, ὥςτε μηκέτι τῇ ὀργῇ ὑπεύθυνον εἶναι ἀπεντεῦθεν τὸν ἄνθρωπον, ἀναπαλαίσαντα μὲν τὸ κατὰ τὴν παρακοὴν ἥττημα, νικήσαντα δὲ τας κάτω δυνάμεις ἐννόμως καὶ ἐλεύθερον ὀφλήματος παντὸς δωρεαῖς ἀναδειχθέντα θεοῦ, ἐπειδὴ οὕτω γε ὁ πρωτόγονος λόγος τοῦ θεοῦ δικαιοσύνης φράξας τὸν ἄνθρωπον ὅπλοις, ἐν ᾧ ἐσκήνωσε, τὰς δουλωσαμένας ἡμᾶς δυνάμεις κατηγωνίσατο διὰ τοῦ σταυροειδοῦς, ὡς εἴρηται, σχήματος, τὸν τῇ φθορᾷ δεδυναστευμένον ἄνθρωπον δείξας ἐλεύθερον χερσὶν ἡπλωμέναις.

Ἔστι γὰρ τοῦτο, εἰ χρὴ ὁριστικῶς εἰπεῖν, τὸ σχῆμα νίκης κραταίωμα, θεοῦ κάθοδος ἐπ' ἄνθρωπον, τρόπαιον κατὰ τῶν ὑλικῶν πνευμάτων, ἀπαλλαγὴ θανάτου, ὑπόθεσις ἀνόδου πρὸς ἀληθινὴν ἡμέραν καὶ διαβάθρα τῶν ἐπειγομένων ἀπολαῦσαι τοῦ ἐκεῖ φωτός, μηχανὴ δι' ἧς οἱ εἰς τὴν οἰκοδομὴν εὐθετοῦντες τῆς ἐκκλησίας κάτωθεν, λίθου τετραγώνου δίκην, ἀνέλκονται ἐναρμοσθησόμενοι τῷ θείῳ λόγῳ. ἐντεῦθεν οἱ τῇδε βασιλεῖς, πάσης πονηρᾶς ἕξεως ἐπὶ σκεδασμῷ τὸ σταυροειδὲς παραλαμβάνεσθαι αἰσθόμενοι σχῆμα, τὰ καλούμενα τῇ Ῥωμαϊκῇ διαλέκτῳ βήξιλλα ἐμηχανήσαντο. ἔνθεν εἴκουσα τούτῳ ἡ θάλασσα τῷ σχήματι πλωτὴν ἑαυτὴν ἀνθρώποις παρέχει. ὅλη γάρ, ὡς εἰπεῖν, τούτῳ ἡ κτίσις πρὸς ἐλευθερίαν ἐνδέδυται τῷ σημείῳ· τά τε γὰρ ὄρνεα ὑψιπετοῦντα τὸ σταυροειδὲς κατὰ τὴν ἔκτασιν τῶν πτερύγων σχῆμα αἰνίσσονται, αὐτός τε ὁ ἄνθρωπος τὰς χεῖρας πετάσας οὐδὲν ἄλλο ὑπάρχων φαίνεται ἢ τοῦτο. ὅθεν αὐτῷ δὴ τούτῳ, ᾧπερ ἐκ κατασκευῆς κεκόσμητο, σχηματισάμενος αὐτὸν ὁ κύριος θεότητι ἐκέρασεν, ἵνα ὄργανον ᾖ λοιπὸν τοῦ θεοῦ ἱερόν, πάσης ἀσυμφωνίας τε καὶ ἀῤῥυθμίας ἀπηλλαγμένον. οὐδὲ γὰρ ἔτι μετὰ τὸ ἁρμοσθῆναι τὸν ἄνθρωπον πρὸς θεοσέβειαν καὶ τὸ τῆς ἀληθείας ἀκήρατον μέλος ἐνηρμοκέναι, δι' οὗ τὴν θεότητα κεχώρηκε τῷ ξύλῳ τῆς ζωῆς καθάπερ χορδαί τε καὶ τόνοι προςηρμοσμένον, εἰς ἀσυμμετρίαν καὶ φθορὰν χωρῆσαι δυνατόν.

II. [1] Οἴονταί τινες καὶ τὸν θεόν, πρὸς τὸ τῆς οἰκείας διαθέσεως μέτρον ἰσάζοντες αὐτόν, τὰ αὐτὰ τοῖς φαύλοις ἢ ἐπαινετέα ἢ ψεκτέα ἡγεῖσθαι, ὥςπερ κανόνι καὶ μέτρῳ χρώμενον ταῖς δόξαις τῶν ἀνθρώπων, οὐ συννοήσαντες διὰ τὴν οὖσαν ἐν αὐτοῖς ἄγνοιαν, ὅτι πᾶσα δήπουθεν ἡ κτίσις ἐνδεής ἐστι τοῦ κάλλους τοῦ θεοῦ. αὐτὸς γὰρ ἐξ ὅλης καὶ πάσης τῆς οὐσίας τε καὶ φύσεως τῷ ἑαυτοῦ τὰ πάντα εἰς τὸ ζῆν ἐφέλκεται λόγῳ. εἴτε γὰρ τὸ ἀγαθὸν θέλει, αὐτὸς ὢν τὸ ἀγαθὸν ἐν ἑαυτῷ μένει· εἴτε τὸ καλὸν ὑπάρχει ἐραστὸν αὐτῷ, αὐτὸς ὢν τὸ μόνον καλὸν εἰς ἑαυτὸν βλέπει, ἐν οὐδενὶ τὰ πρὸς τῶν ἀνθρώπων θαυμαζόμενα τιθέμενος. [2] κάλλιστον γὰρ ταῖς ἀληθείαις καὶ ἐπαινετὸν κλητέον τοῦτο, ὅπερ ἂν αὐτὸς ἡγήσηται ὁ θεὸς καλόν, κἂν ὑπὸ πάντων ἐξουθενῆταί

1) Ex Gretsero, ibid., pp. 502. 504. Inscriptio fragmenti haec est: ***Πρὸς τοὺς ἐπαισχυνομένους ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ.***

2) ***Κάλλιστον .. νομίζουσι.*** Haec ex cod. Rupifucald. Parallelorum SS. Io. Damasceni cum lemmate: ***Τοῦ ἁγίου Μεθοδίου, ἐκ τῶν κατὰ τοῦ Πορφυρίου,*** apud Combefisium et ex eo apud Galland. p. 803, D. E. Cf. Io. Damasc. Opp. ed. Lequien. T. II. p. 778, A. Itaque non dubitavi, hoc fragmentum II. cum reliquis duobus cognati argumenti fragmentis I. et III. ad opus adversus Porphyrium referre. Gallandius haec tria fragmenta ad Methodii nescio quam homiliam de s. cruce perperam retulit.

τε καὶ χλευάζηται, ἀλλ' οὐχ ὅπερ οἱ ἄνθρωποι νομίζουσιν. ὅθεν, εἰ καὶ διὰ τούτου τοῦ σχήματος τῶν θυμοφθόρων ἐλευθερῶσαι τὰς ψυχὰς παθῶν ἐβουλήθη καταισχύνων τὰ πλήθη τῶν δαιμόνων, ἀποδέχεσθαι ἐχρῆν, ἀλλὰ μὴ δυςφημεῖν, ἐλευθεροποιὸν αὐτὸ καὶ λυτήριον τῶν ἐκ τῆς παρακοῆς κατασκευασθέντων ἡμῖν δεσμῶν δοθέν. ἔπαθε γὰρ σαρκὶ τῷ σταυρῷ προςπαγεὶς ὁ λόγος, ἵνα ἁπλώσῃ ἀπονεναρκωμένον πλάνῃ τὸν ἄνθρωπον πρὸς τὸ ἄνω τε καὶ θεῖον μέγεθος, τῷ θείῳ ἐξισώσας τῆς ζωῆς αὐτὸν οὗ πρόσθεν ἀπήλαστο, ὅτι τούτῳ τὰ πάθη τῷ σχήματι ἤμβλυνται, πάθος παθῶν διὰ τοῦ παθεῖν γενόμενος καὶ θάνατος διὰ τοῦ θανεῖν θανάτου, οὐ χειρωθεὶς ὑπὸ θανάτου, οὐδὲ ἀλγυνθεὶς ὑπὸ πάθους. οὔτε γὰρ πάθος ὅλως αὐτὸν ἐξέστησεν οὔτε θάνατος ἐλυμήνατο, ἀλλ' ἦν ἐν τῷ παθητῷ μένων ἀπαθὴς καὶ ἐν τῷ θνητῷ ἀθάνατος, πᾶν ὅσον ἀὴρ καὶ μέσον καὶ ἄνω κατειληφὼς καὶ τὸ θνητὸν θεότητι κεράσας ἀθανάτῳ, ἡττήθη τε τελέως ὁ θάνατος εἰς ἀφθαρσίας ἐκτύπωμα ἀνασταυρωθείσης τῆς σαρκός.

III. [1] ... ἐπειδή γε δύναμις αὐτῷ τοῦτο ἦν· δυνάμεως γὰρ τὸ συστέλλεσθαι μὲν ἐν τοῖς ὀλίγοις καὶ βραχύνεσθαι, χεῖσθαι δὲ ἐν τοῖς μεγάλοις καὶ μεγεθύνεσθαι. εἰ δὲ τὸ συνεκτείνεσθαι μὲν τοῖς μεγάλοις καὶ συνεξισάζεσθαι δυνατὸν αὐτῷ, τὸ δὲ βραχύνεσθαι ἐν τοῖς μικροῖς καὶ συστέλλεσθαι ἀδύνατον, οὐκ ἦν δύναμις. δυνάμει γὰρ ἐὰν τόδε μὲν δυνατὸν εἶναι φῄς, τὸ δὲ ἀδύνατον, τὸ εἶναι αὐτὴν δύναμιν παραγράφῃ, ἀσθενοῦσαν περὶ ἃ μὴ δύναται. οὐ μὴν δέ, ἀλλ' οὐδὲ ὑπεροχήν τινα ἔτι θεότητος ἕξει πρὸς τὰ μεταβαλλόμενα καὶ τὰ ἐρχόμενα τῶν ζώων χαμαί, ἃ ἐφ' ὧν μὲν ἂν δύνωνταί τι δρᾶσαι ἐνεργοῦσιν, ἐφ' ὧν δ' ἂν μὴ δύνωνται φθίνουσι. διόπερ ταύτῃ μᾶλλον κεχώρηται ἐν ἀνθρώπῳ ὁ υἱὸς τοῦ θεοῦ, ὅτι μὴ ἦν αὐτῷ τοῦτο ἀδύνατον· ὅτι δυνάμει καὶ ἔπαθεν ἀπαθὴς μένων, καὶ ἔθανεν ἀθανασίαν τῷ θνητῷ χαριζόμενος. σῶμα μὲν γὰρ ὑπὸ σώματος τυπτόμενον ἢ τεμνόμενον τοσοῦτον τύπτεται ἢ τέμνεται, ὅσον ἂν τὸ τύπτον τύπτῃ καὶ τὸ τέμνον τέμνῃ. κατὰ ἀντιτύπησιν γὰρ τοῦ ὑποκειμένου τῷ τύπτοντι ἡ πληγὴ γίνεται, ἐν ἴσῳ πάθει τῶν ἑκατέρων ὄντων, καὶ τοῦ δρῶντος καὶ τοῦ δρωμένου. ἀμέλει ἐὰν μὴ τὸ τεμνόμενον μετὰ ὀλίγης ἕξεως ἀντιτονήσῃ τῷ τέμνοντι, τὸ τέμνον τέμνειν οὐ δυνήσεται. τῇ γὰρ φορᾷ ξίφους οὐκ ἀντιπαραμείναντος τοῦ ὑποκειμένου σώματος, ἀλλὰ συνείξαντος μᾶλλον, ἄπρακτος γίνεται ἡ ἐνέργεια, οἷον καθάπερ καὶ ἐπὶ τῶν λεπτομερεστέρων σωμάτων, πυρός, ἀέρος· ἐκλύεται γὰρ ἐν τοῖς τοιούτοις ἀνενέργητος ἡ τῶν στερεωτέρων ὁρμὴ σωμάτων. εἰ δὲ πῦρ ἢ ἀέρα λίθος ἢ σίδηρος ἢ ξύλον ἢ ἄλλο, οἷς οἱ ἄνθρωποι χρώμενοι καθ' ἑαυτῶν ἀλληλοφονοῦσι, τρῶσαί τε καὶ διελεῖν οὐ δύνανται, παρὰ τὸ τῆς εἰκτικῆς τε αὐτὸ καὶ λεπτομερεστέρας φύσεως τυγχάνειν, πῶς οὐ μᾶλλον ἄτρωτός γε ἔμεινεν ἡ σοφία καὶ ἀπαθής, οὐδὲν πρὸς οὐδενὸς κακυνομένη, κἂν τεμνομένῳ συνῇν καὶ προσηλωμένῳ τῷ σώματι, βελτίων καὶ καθαρωτέρα φύσεως πάσης μετὰ τὸν γεννησάμενον αὐτὴν θεὸν ὑπάρχουσα;

IV. [2] *Μετάνοια τότε ἁμαρτήματος παντὸς γίνεται ἀπαλειπτική*, ὅταν ἐπὶ τῷ γενομένῳ ψυχῆς σφάλματι ἀναβολὴν μὴ δέξηται, μηδὲ παραπέμψῃ τὸ πάθος εἰς χρονικὸν διάστημα· οὕτω γὰρ οὐχ ἕξει καταλεῖψαι ἴχνος ἐν ἡμῖν τὸ κακόν, ἅτε ἅμα τῷ ἐπιβῆναι ἀποσπασθὲν δίκην φυτοῦ ἀρτισυστάτου.

V. [3] Ἡμέτερον μὲν ὄντως ἐστὶ κακὸν ἡ πρὸς τὸν θεὸν ἀνομοιότης τε καὶ ἄγνοια· ἀγαθὸν δὲ ἔμπαλιν πηλίκον ἡ πρὸς αὐτὸν ἐξομοίωσις; φαίνεται γοῦν οἰκεῖον μὲν ἀληθῶς ἀγαθὸν ἡ περὶ τὸ ἄφθαρτόν τε καὶ θεῖον ἐπιστροφὴ καὶ πίστις, κακὸν δὲ ἡ περὶ αὐτὸ ἄγνοια καὶ ῥαθυμία, εἴ γε τὰ ἐν ἡμῖν καὶ ἐξ ἡμῶν φυόμενα, ταῦτα ἡμέτερα τυγχάνουσι, κακοποιητικὰ ὄντα πονηρίᾳ.

1) Ex Allatii Diatr. de Methodiorum scriptis, p. 349 sq. Fragmentum ita inscribitur: *Τοῦ αὐτοῦ Μεθοδίου, πῶς ὁ τοῦ θεοῦ υἱὸς ὁ Χριστὸς ἐν βραχεῖ τε καὶ περιωρισμένῳ χρόνῳ διαστολαῖς σώματι ἐκεχώρητο; καὶ πῶς ἀπαθὴς ὢν ἐγένετο ὑπὸ πάθος;*

2) Ex cod. Rupifucald. Parallelorum SS. Io. Damasceni apud Combefisium et ex eo apud Galland. p. 803, E. 804, A. Cf. Io. Damasc. Opp. ed. Lequien. T. II. p. 784, B., ubi lemna: *τοῦ ἁγίου Μεθοδίου, κατὰ Πορφυρίου.*

3) Indidem apud Combefisium et ex eo apud Galland. p. 804, A. B. Cf. Io. Damasc. Opp. ed. Lequien. T. II. p. 785, E., ubi lemma: *Μεθοδίου, ἐκ τοῦ κατὰ Πορφυρίου.*

ΜΕΘΟΔΙΟΥ

ΕΚ ΤΟΥ ΠΕΡΙ ΜΑΡΤΥΡΩΝ ΛΟΓΟΥ.

[1] *Οὕτω γὰρ θαυμαστὸν καὶ περισπούδαστόν ἐστι τὸ μαρτύριον, ὅτι αὐτὸς ὁ κύριος,
ὁ υἱὸς τοῦ θεοῦ, τιμῶν αὐτὸ ἐμαρτύρησεν, „οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα* Phil. 2, 6.
θεῷ,“ ἵνα καὶ τούτῳ τὸν ἄνθρωπον τῷ χαρίσματι εἰς ὃν κατέβη στέψῃ.

ΜΕΘΟΔΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΠΑΤΑΡΩΝ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

Ed. Pant. p. 18

Εἰς τὸν Συμεῶνα καὶ εἰς τὴν Ἄννην, τῇ ἡμέρᾳ τῆς ἀπαντήσεως, καὶ εἰς τὴν ἁγίαν θεοτόκον.

I. *Πάλαι ἱκανῶς, ὡς οἷόν τε, διὰ βραχέων τὰ περὶ παρθενίας ἐν τοῖς περὶ ἁγνείας
συμποσίοις κατεστρωκότων ἡμῶν, σήμερον αὐτὴν τὴν τῆς παρθενίας ὁλόῤῥιζον δόξαν
καὶ ἀμαράντινον στέφανον εἰς εὐφροσύνην ὁ χρόνος ἐν μέσῳ προήγαγε τοῖς τῆς ἐκκλη-* 20
*σίας τροφίμοις. σήμερον γὰρ τὸ βουλευτήριον τῶν θείων χρησμῶν ἐξανοίγεται, καὶ
τὰ τῆς παρούσης ἐνδόξου ἡμέρας σύμβολα καὶ ἀποτελέσματα παρὰ τῶν ἱεροκηρύκων τῷ
ἐκκλησιαστικῷ συλλόγῳ ἐπαναγινώσκεται. σήμερον ἡ περαίωσις τῆς ἀρχαίας βουλῆς
καὶ ἀληθινῆς διὰ τῶν ἔργων ἐνδόξως τῷ κόσμῳ ἐμφανίζεται. σήμερον ἄτερ διακαλύμ-
ματος ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου καὶ τῆς θείας καὶ ἀληθινῆς αὐτοῦ* 2 Cor. 3, 18.
*κιβωτοῦ κατοπτριζόμεθα. σήμερον τὴν καραδοκηθεῖσαν οὐράνιον χαρὰν ταῖς γενεαῖς
ἐπ᾽ ὤμων φέρουσα ἡ ἁγιωτάτη πανήγυρις τῷ γένει τῶν ἀνθρώπων ἀποδίδωσι. „παρ-* 22
ῆλθε τὰ παλαιά, καὶ ἤνθησε τὰ νέα καὶ οὐ παλαιούμενα.“ οὐκέτι νόμου αὐστηρὸν 2 Cor. 5, 17; Esai. 43, 19.
*δόγμα προεδρεύει, ἀλλὰ χάρις δεσπότου βασιλεύει, σωτηρίῳ μακροθυμίᾳ πάντας πρὸς
ἑαυτὴν ἐπιστρέφουσα. οὐ πάλιν Ὀζᾶν τις ἀοράτως μαστίζεται, προσψαῦσαι τοῖς ἀψαύ-* 2 Reg. 6, 6.
στοις κατατολμῶν. θεὸς γὰρ προτρέπεται, καὶ τίς ἔτι δειλιάσει; „δεῦτε πρός με πάντες Matth. 11, 28.
*οἱ κοπιῶντες καὶ πεφορτισμένοι“ βοᾷ, καὶ τίς οὐ προσδραμεῖται; καὶ μηδεὶς Ἰουδαίων
ἀντιλεγέτω τῇ ἀληθείᾳ, πρὸς τὴν προτύπωσιν βλέπων τοῦ οἴκου Ἀβεδαρᾶ. εἰς τὰ ἴδια* 2 Reg. 6, 10.
ἦλθεν ὁ κύριος ἐμφανῶς, καὶ ὑπὲρ τῆς ἐμψύχου κιβωτοῦ, ὡς ἐπὶ ἱλαστηρίου, ἐπὶ γῆς Joan. 1, 11.
*πομπεύει. ταύτης προσψαύσας τελώνης δίκαιος ἀναδείκνυται. ταύτῃ προσπελάσασα
πόρνη σώφρων ἀναπλάττεται. ταύτης θίξας λεπρὸς ἀνωδύνως ἀναχαλκεύεται. οὐδένα* 24
*ἀπωθεῖται, οὐδένα βδελύσσεται. μεταδιδοῖ τῶν ὑγιεινῶν, οὐ μεταλαμβάνουσα τῶν
νοσερῶν· ὁ γὰρ τῆς φιλανθρωπίας κύριος ἐπαναπαύεται αὐτῇ. ταῦτα τῆς νέας χάριτος
τὰ δωρήματα. τοῦτο πρόσφατον γέγονεν ὑπὸ τὸν ἥλιον, οὐ πάλαι γεγονός, οὐδ᾽ αὖ
μετέπειτα γενησόμενον. ὃ προώρισε δι᾽ οἶκτον τὸν πρὸς ἡμᾶς, ἦλθε, καὶ ἐπλήρωσε
διὰ φιλανθρωπίαν τὴν αὐτῷ πρέπουσαν. εἰκότως γοῦν καὶ ἀνέκραγεν ἡ ἱερὰ σάλπιγξ* 26
„τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά.“ καὶ τί ἐννοήσω ἢ τί λαλήσω 2 Cor. 5, 17.
*ἐπάξιον τῆς ἡμέρας, τοῖς ἀνεφίκτοις ἐπεκτεινόμενος; φέρει γὰρ ἀεὶ τῆς ἁγίας παρθένου
ἡ μνήμη κατὰ παντὸς λόγου τὰ νικητήρια. διά τοι τοῦτο δυσωπῆσαν ἡμῶν τὴν ἀσθέ-
νειαν τὸ μέγεθος τῶν ἐγκωμίων, ἐπὶ τὸν δυνατὸν ὕμνον καταφεύγωμεν, καὶ τὴν ἀνί-
κητον ἧτταν ἐγκαυχησάμενοι τῷ φιλεόρτῳ Χριστοῦ ποιμνίῳ γεγηθότες συγχορεύσωμεν.
σὺ δέ μοι, ὦ θειότατον καὶ ἱερώτατον ἀκροατήριον, τὸ σιγηλὸν ἄσκει, ὅπως διὰ τῶν
πορθμῶν τῶν ἀκοῶν γαληνῶς ταῖς διανοίαις ἐγκαθορμισθῇ τῆς ἀληθείας τὰ ἀγώγιμα.
ἑορτὴν ἄγομεν οὐχ Ἑλληνικῆς εἰκαιομυθίας, γελωτοποιὸν καὶ ἐμβρόντητον θεῶν ἑστία-* 28
σιν φέρουσαν, ἀλλὰ τῆς ἀστέκτου δόξης τοῦ ἐπὶ πάντων θεοῦ συγκατάβασιν ἐκπαι- Rom. 9, 5.
δεύουσαν.

II. *Φέρε τοίνυν, σεμνολόγε κηρύκων καὶ μέγιστε προφητῶν Ἡσαΐα, τὰ τῆς ἐνδόξου
πανηγύρεως φιλοσόφει τῇ ἐκκλησίᾳ μυστήρια, καὶ δαψιλῶς ἐμφορηθῆναι τῶν ἀναφαι-
ρέτων ἀγαθῶν πρότρεπε τοὺς καλλίστους δαιτυμόνας, ὅπως τῷ παρὰ σοὶ ἐσόπτρῳ τὴν
παρ᾽ ἡμῖν ἀλήθειαν ἀντιζεύξας, ὡς ἀψευδὴς ὑποφήτης, χεῖρα ἐπὶ χεῖρα κροτήσῃς τῷ
τέλει τῶν προῤῥήσεων. „ἐγένετο“ φησί „τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς,* Esai. 6, 1—9.
εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. καὶ πλήρης ὁ οἶκος 30

1) Apud Theodoretum Dial. 1. *Ἄτρεπτ.*, Opp. ed. Sirmond. T. IV, p. 37.

τῆς δόξης αὐτοῦ, καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ
πτέρυγες τῷ ἑνί. καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον, ἅγιος, ἅγιος, ἅγιος
κύριος Σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ
τῆς φωνῆς ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. καὶ εἶπα, ὢ τάλας ἐγώ, ὅτι
κατανένυγμαι· ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν μέσῳ λαοῦ ἀκάθαρτα
χείλη ἔχοντος οἰκῶ, καὶ τὸν βασιλέα κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. καὶ
32 ἀπεστάλη πρός με ἓν τῶν Σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λα-
βίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν, ἰδοὺ
ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου
περικαθαριεῖ. καὶ ἤκουσα τῆς φωνῆς κυρίου λέγοντος, τίνα ἀποστείλω; καὶ τίς πορεύ-
σεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδοὺ ἐγώ, ἀπόστειλόν με. καὶ εἶπε, πορεύου,
καὶ εἰπὸν τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψητε,
καὶ οὐ μὴ ἴδητε.“ ταῦτα τοῦ προφήτου διὰ τοῦ πνεύματος τὰ προκηρύγματα. σὺ δέ
34 μοι, ἀγαπητέ, σκόπει τῶν εἰρημένων τὴν δύναμιν, ἵνα συνήσῃς τῶν μυστηρίων τὴν
ἔκβασιν καὶ μάθῃς τίς καὶ ποταπὴ ἡμῶν ἡ συνάθροισις καὶ προχρηματίσαντος τοῦ
προφήτου τὸ θαῦμα δεῦρο ὕπιθι καὶ πρόσβαινε θερμότατα καὶ φαιδρότατα καὶ προ-
θυμότατα τῇ ὀξυωπίᾳ τῆς διανοίας ἐπὶ τὴν εὐκλεεστάτην Βηθλεέμ, καὶ ἀνατύπωσαι
σεαυτῷ ἐμφανῆ εἰκόνα, τῇ ἐκβάσει τῶν πραγμάτων τὴν προφητείαν συγκρίνων· οὐ γὰρ
Prov. 8, 9. δεήσῃ μακρῶν λόγων εἰς ἐφόδιον γνώσεως τοῖς ἐκεῖσε ἔργοις ἐνατενίζων. πάντα γὰρ
ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. ἰδοὺ γὰρ αὐτόθι, ὡς θρόνος
36 ὑψηλὸς καὶ ἐπηρμένος τῇ δόξῃ τοῦ κτίσαντος, ἡ παρθενομήτωρ εὐτρεπίζεται φανερώ-
τατα τῷ βασιλεῖ κυρίῳ Σαβαώθ. ἐπὶ τοῦτον κατανόησον τὸν νῦν πρὸς σὲ διὰ σαρκὸς
ἐπιδημήσαντα κύριον. ἐπὶ τοῦτον (τὸν παρθενικόν φημι θρόνον) προσκύνησον, τὸν
πρὸς σὲ τὴν νέαν ταύτην καὶ πανύμνητον πορείαν στειλάμενον. περίβλεψαι δὲ τοῖς τῆς
πίστεως ὄμμασι, καὶ εὑρήσεις περὶ τοῦτον καὶ τὸ βασιλικὸν τῶν Σεραφὶμ ἱεράτευμα.
ἕπεσθαι γὰρ φιλεῖ πως τῇ βασιλέως παρουσίᾳ καὶ ἡ τούτου δορυφορία. ὅθεν καὶ
ἀνυμνηκέναι τὸ τηνικαῦτα λέγονται οὐ μόνον τὸ τρισυπόστατον τῆς θείας ἑνάδος, ἀλλὰ
δὴ καὶ τὴν καταντήσασαν τὰ νῦν ἐπὶ γῆς διὰ τῆς θεοφανείας τοῦ ἑνὸς τῆς ἁγίας τριά-
38 δος πασιπροσκύνητον δόξαν ἐν τῷ λέγειν „πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.“
Ephes. 1, 5. συμπαρεῖναι γὰρ πεπιστεύκαμεν τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι υἱῷ κατὰ τὴν εὐδοκίαν
καὶ τὸν ἀδιάστατον αὐτοῦ πατέρα κατὰ τὴν θεότητα, σὺν τῷ ὁμοουσίῳ αὐτοῦ πνεύ-
2 Cor. 5, 19. ματι. „θεός“ γάρ φησιν ὁ ἱεροφάντης Παῦλος „ἦν ἐν τῷ Χριστῷ κόσμον ἑαυτῷ κα-
ταλλάσσων, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν,“ τὸν πατέρα ἐν τῷ υἱῷ
διὰ τὸ ἓν θέλημα ἐμφαίνων.

III. *Κατανοήσας δέ*, ὦ φιλέορτε, περὶ τὴν Βηθλεὲμ τὰ οὕτως ἔνδοξα καὶ διὰ σὲ
τελούμενα, συνασμένιζε τοῖς ἐπουρανίοις μεγαλοφυῶς τὴν περὶ σὲ ἑορτάζουσι σωτηρίαν.
40 χόρευε πρὸ προσώπου τοῦ παρθενικοῦ θρόνου, ὡς πάλαι Δαβὶδ πρὸ προσώπου τῆς
2 Reg. 6, 14. κιβωτοῦ. ἀνευφήμησον τὸν ἁπανταχοῦ πάντοτε παρόντα, καὶ ἐκ Θεμάν, ὥς φησιν ὁ
Hab. 3, 3. προφήτης, ἐπιφανῆναι κατὰ σάρκα τῷ γένει τῶν ἀνθρώπων εὐδοκήσαντα κύριον.
Exod. 15, 2. λέγε Μωσαϊκῶς „οὗτός μου θεός, καὶ δοξάσω αὐτόν, θεὸς τοῦ πατρός μου, καὶ
ὑψώσω αὐτόν.“ ἐχόμενοι δὲ τῶν εὐχαριστηρίων ἐξετάσωμεν χρησιμώτατα τίς ἡ ἐν
Βηθλεὲμ ἐξεγείρασα πρόφασις τὸν βασιλέα τῆς δόξης. τὸ μὲν γὰρ ἐν Βηθλεὲμ
σωματικῶς γεννηθῆναι ἡ περὶ ἡμᾶς εὐσπλαγχνία ἐξεβιάσατο τὸν ἀβίαστον· τὸ δὲ ὑπο-
42 τίτθιον τυγχάνοντα τὸν ἐν χρόνῳ ἄχρονον, καὶ τοῖς σπαργάνοις ἐγκατεχόμενον ἀκα-
τόχως, μέτοικόν τε καὶ μετανάστην γενέσθαι ποία ἄρα γεγένηται ἀνάγκη; εἰ δὲ βούλει
γνῶναι καὶ τοῦτο, ὦ θειότατόν μοι καὶ θεόπνευστον σύστημα, ἄκουε Μωυσέως δια-
Exod. 34, 19; πρυσίως κηρύττοντος τῷ λαῷ, καὶ εἰς γνῶσιν τῆς ὑπερφυοῦς γεννήσεως ἐγκεντρίζοντος
Luc. 2, 23. αὐτοὺς καὶ λέγοντος „πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται.“ ὢ
Rom. 11, 33. τοῦ θαύματος. ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ. ἔπρεπε γὰρ τῷ κυ-
ρίῳ νόμου καὶ προφητῶν κατὰ νόμον ἅπαντα τὸν ἴδιον διαπράξασθαι, καὶ μὴ ἀθε-
44 τητὴν εἶναι νόμου, ἀλλὰ πληρωτήν, συνάψαι τε ἐντεῦθεν τῇ τοῦ νόμου περαιώσει τὴν
τῆς χάριτος αὐτοῦ ἀρχήν. διὰ τοῦτο ἡ ὑπερτέρα νόμου μήτηρ τῷ νόμῳ ὑποκύπτει, καὶ
ἡ εὐαγὴς τὸν κατὰ τῶν ἀναγῶν φυλάττει ὁρισμὸν τὸν τετταράκοντα ἡμερῶν, καὶ γίνε-
ται νόμου ὑπήκοος ὁ τοῦ νόμου ἐλευθερωτής, καὶ προσφορὰ προσάγεται ὑπὲρ τοῦ
Luc. 2, 24. ἡμᾶς ἁγιάσαντος ζεῦγος ὀρνέων ἀκεραίων, εἰς μαρτύριον τῶν ἀμωμήτως προσιόντων.
ὅτι δὲ ἀμόλυντος ὁ τόκος καὶ καθαρσίων ἀνεύθυνος, μαρτυρεῖ μου τῷ λόγῳ Ἡσαΐας
Esai. 66, 7. διαῤῥήδην τῇ ὑφ' ἡλίῳ κηρύττων „πρὶν ἢ τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἢ ἐλθεῖν τὸν
46 πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄῤῥεν. τίς ἤκουσε τοιοῦτον, ἢ τίς ἑώρακεν οὕ-
τως;“ ἐκπέφευγε τοίνυν ἡ παναγία παρθενομήτωρ τὰ γυναικεῖα, καὶ πρὶν ἢ τεκεῖν,
εἴτουν ἄνευ συνουσίας συλλαβεῖν, πνεύματος ἁγίου προνυμφεύσαντος καὶ ἁγιάσαντος
τέτοκε τὸν πρωτότοκον καὶ μονογενῆ τοῦ πατρὸς υἱόν, τὸν ἄνω μονογενῶς ἄτερ μη-

τρὸς ἐκ τῆς πατρικῆς οὐσίας ἐκλάμψαντα, καὶ τὴν παρθενίαν τῆς φυσικῆς ἐνάδος ἀμέ-
ριστον καὶ ἀδιάστατον φυλάξαντα, καὶ κάτω ἐκ παρθενικῆς παστάδος νυμφικῶς ἑνώ-
σαντα ἑαυτῷ τὸν Ἀδὰμ ἀτρέπτως, καὶ ἀδιάσπαστον καὶ ἀκήρατον τὴν μητρικὴν ἁγνείαν
διατηρήσαντα, τὸν ἄνω ἀῤῥεύστως γεννηθέντα καὶ κάτω ἀφράστως τεχθέντα. ἀλλ᾽ ἐπὶ
τὸ προκείμενον ἐπανάξωμεν τὸν λόγον. 48

IV. *Προφήτης* τοιγαροῦν ἐκ Ναζαρὲθ ἀνήγαγε τὴν παρθένον ἀποκυῆσαι ἐν Βηθλεὲμ
τὸ σωτήριον κύημα, καὶ προφήτης ἐξήγαγεν ἐμφανίσαι τῷ κόσμῳ τῆς ζωῆς τὴν ἐλπίδα.
ὅθεν ἀπάρυσα ἐκ σταθμῶν Βηθλεὲμ ἡ κιβωτὸς τοῦ θεοῦ (αὐτῷ γὰρ ἀπετίννυε τῷ
νόμῳ τῆς τεσσαρακοντάδος τὴν οὐ κατὰ χρέος, ἀλλὰ κατὰ χάριν ὀφειλήν) ἐπὶ τὰ ὄρη
κατέπαυσε τῆς Σιών, καὶ ἀναλαβοῦσα τοῖς ἀχράντοις κόλποις, ὡς ἐπὶ θρόνου ὑψηλοῦ
καὶ τὴν ἀνθρωπείαν ὑπερβαίνοντος φύσιν, τὸν βασιλέα τῶν ἁπάντων τῷ θεῷ καὶ πα-
τρί, τὸν σύνθρονον αὐτοῦ καὶ ἀνεκφοίτητον υἱόν, ἐνεφάνιζεν ἐκεῖ μετὰ τῆς ἐξ αὐτῆς 50
προςλήψεως ἀχράντου. ἄνεισιν ἐπὶ τὸ ἱερὸν ἡ ἱερὰ μήτηρ ἐμφανίσαι τῷ νόμῳ ξένον
θαῦμα καὶ τὸν ζητούμενον τόκον, τὸν διανοίξαντα μήτραν παρθενίας καὶ κλεῖθρα παρ-
θενίας μὴ διαῤῥήξαντα, τὸν ἀνώτερον νόμου καὶ πληρωτὴν νόμου, τὸν προγενέστερον
καὶ μεταγενέστερον, τὸν ἐξ αὐτῆς σαρκωθέντα ὑπὲρ νόμον φύσεως· διότι πᾶσα μήτρα
ἐκ συναφείας πρῶτον διανοιγομένη καὶ ἐνσπειρομένη ἀρχὴν τοῦ τίκτειν λαμβάνει, καὶ
τελεσφόροις ὠδῖσι τὸν λογικὸν καὶ κατάλληλον τῆς φύσεως καρπὸν τῇ τοῦ δημιουρ-
γοῦντος σοφίᾳ εἰς τοὐμφανὲς προφέρει, κατὰ τό „αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πλη- Gen. 1, 22.
ρώσατε τὴν γῆν“ τοῦ θεοῦ λέγοντος, ἡ δὲ ταύτης γαστήρ, οὔτε μὲν προδιανοιγεῖσα, 52
οὔτε δὲ προενσπερματισθεῖσα, ὑπερφυῆ τε καὶ συμφυῆ καρπὸν ἐβλάστησε, καθ᾽ ἕνωσιν
ἀδιάσπαστον ἀλωβήτως εἰς ἐπίτασιν θαύματος ἐν ταὐτότητι διαμείνασα τῆς παρθενίας.
ἄνεισι τοιγαροῦν εἰς τὸ ἱερὸν ἡ τοῦ ἱεροῦ ὑψηλοτέρα, δισσὸν κλέος περικειμένη, παρ-
θενίας φημὶ ἀχράντου καὶ παιδοποιίας ἀφράστου, εὐλογίαν νόμου καὶ ἁγιασμὸν χάρι-
τος. διό φησιν ὁ βλέπων „καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ Σεραφὶμ εἱστή-
κεισαν κύκλῳ αὐτοῦ, καὶ ἐνέκραγεν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον, ἅγιος, ἅγιος,
ἅγιος κύριος Σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.“ τοῦτο δὴ τοῦτο καὶ ὁ 54
μακάριος προφήτης Ἀμβακοὺμ ἀστείως ἐμελῴδησε φάσκων „ἐν μέσῳ δύο ζώων γνω- Esai. 6, 3.
σθήσῃ· ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ.“
ὅρα μοι τηλαυγῶς τοῦ πνεύματος τὴν ἀκρίβειαν· γνῶσίν φησιν, ἐπίγνωσιν, ἀνάδειξιν.
ἅτινα δηλοῖ, τὸ μέν „ἐν μέσῳ δύο ζώων γνωσθήσῃ“ τήν τε κατὰ νόμον ἐν τοῖς ἀδύ- Hab. 3, 2.
τοις ὑπεράνωθεν τοῦ ἱλαστηρίου τῆς κιβωτοῦ μεταξὺ τῶν τυπικῶν Χερουβὶμ ἐπισκίασιν
τῆς θείας αὐτοῦ δόξης, ὥς φησι πρὸς Μωυσῆν „ἐντεῦθέν σοι γνωσθήσομαι,“ τήν τε Exod. 25, 22.
καταντήσασαν τὰ νῦν διὰ τὴν κατὰ σάρκα πανύμνητον αὐτοῦ τοῦ σωτῆρος θεοφάνειαν 56
ἀγγελικὴν συνέλευσιν, εἰ καὶ πρὸς ἡμῶν ἀθεώρητος, καθὼς προδεδήλωκεν Ἡσαΐας· τὸ
δέ „ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ“ τὴν πανένδοξον, ὡς προείρηται, κατὰ σάρκα
ἐπίγνωσιν τοῦ ἀοράτου σωτῆρος ἡμῶν θεοῦ, ὥς πού φησιν ὁ μέγας ἱερομύστης Παῦ-
λος „ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενό- Gal. 4, 4—5.
μενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱο-
θεσίαν ἀπολάβωμεν.“ τὸ δὲ ἐπαγόμενον „ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ“
ποίας ἂν καὶ δέοιτο ἀντιφράσεως τῷ εὔσκοπον πρὸς τὸ ἑορταζόμενον ἀπευθύνοντι τὸ 58
ὄμμα; ἀναδειχθήσῃ, γάρ φησιν, ὡς ἐπὶ πίνακι βασιλικῷ, ὑπὸ τῆς τεκούσης σε ἀχράντου
μητρὸς ἐν τῷ ναῷ, ἐν τῇ τῆς σαρκώσεώς σου εὐπρεπείᾳ. ταῦτα δὲ ἀνακεφαλαιούμενος
ὁ προφήτης πρὸς τὸ σαφέστερον, ἀνακέκραγε λέγων „κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· εὐ- Psal. 10, 5.
λαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.“ Psal. 95, 9.

V. *Φρικτὸν* γὰρ ὄντως τὸ περὶ σὲ μυστήριον, μῆτερ παρθένε καὶ νοητὲ θρόνε,
δεδοξασμένε καὶ θεοῦ ἐπάξιε. προήγαγες γὰρ θαῦμα ἐπουρανίοις καὶ ἐπιγείοις ἐξαί-
σιον. καὶ παράδειγμα τούτων καὶ ἀῤῥαγὴς ἔλεγχος τὸ κατὰ τὸ καινὸν τῆς ὑπερφυοῦς
σου λοχείας ἀγγέλους ἐπὶ γῆς ᾄδειν „δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν 60
ἀνθρώποις εὐδοκία,“ τῷ τριπλασιασμῷ τῆς ᾠδῆς τὸν τριπλασιασμὸν τῆς ἁγιότητος εἰς- Luc. 2, 14.
άγοντας. μακαρία σὺ ἐν γενεαῖς γυναικῶν, θεομακάριστε, ὅτι διὰ σοῦ ἐπληρώθη ἡ γῆ
τῆς θείας δόξης τοῦ θεοῦ, ὡς καὶ ἐν ψαλμοῖς ᾄδεται „εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραήλ,
καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ· γένοιτο, γένοιτο.“ „καὶ ἐπήρθη“ Ps. 71, 18. 19.
φησί „τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον.“ ὃ σημαίνει τοῦ ναοῦ τὸ καταπέ- Esai. 6, 4.
τασμα, τὸ συσκιάζον κατὰ πρόσωπον τῆς προτυπωσάσης σε κιβωτοῦ διαθήκης, ἵνα μοι
φανερωθῇ τἀληθές, καὶ διὰ τῶν προηγησαμένων τύπων τε καὶ ὑποδειγμάτων παιδα- 62
γωγηθῶ αἰδοῖ καὶ τρόμῳ τιμᾶν καὶ προςκυνεῖν τὸ περὶ σὲ μυστήριον, χαλιναγωγηθῶ
τε αὖ διὰ τῆς νομικῆς σκιαγραφίας τῆς τολμηρᾶς καὶ ἀναιδοῦς ἀσκαρδαμύκτως ἀν-
τοφθαλμῆσαι ἀντωπίας τὸν τὰ πάντα ἐν ἀκαταληψίᾳ ὑπεριδρυμένον. εἰ γὰρ τῇ εἰκόνι
τῆς σῆς ἁγιότητος τοσαύτη πρὸς τοῦ θεοῦ ἀπενεμήθη τιμή, ὡς μηδενὶ βάσιμον ἢ πρό-
χειρον εἰς κατανόησιν εἶναι τὴν ταύτης εἴσοδον ἢ μόνῃ τῇ ἱερατικῇ εὐκοσμίᾳ, τοῦ

καταπετάσματος διορίζοντος καὶ πυλωροῦντος ὡς βασιλίδι τὰ προπύλαια, τί ἄρα καὶ
64 ποταπὸν τὸ παρ' ἡμῶν τῶν ἐλαχίστων ἐποφειλόμενόν σοι σέβας τῇ ὄντως βασιλίδι, τῇ
ὄντως ἐμψύχῳ κιβωτῷ τοῦ νομοδότου θεοῦ, τῇ ὄντως χωρητῷ οὐρανῷ τοῦ ἀχωρήτου
θεοῦ γενομένῃ; σοῦ γὰρ τῆς παναγίας ὡς φωταυγοῦς ἡμέρας ἐπιφανείσης τῷ κόσμῳ
καὶ τὸν τῆς δικαιοσύνης ἥλιον προαγαγούσης ἐκποδὼν μὲν γέγονε τὰ τοῦ σκότους στυ-
γηρά, φροῦδος δὲ καὶ ὁ τύραννος κατέστη, καὶ διόλωλε μὲν θάνατος, κατεπόθη δὲ καὶ
ὁ Ἅιδης, καὶ πᾶσα ἡ ἔχθρα κατελύθη πρὸ προσώπου τῆς εἰρήνης, νόσοι δὲ φθοροποιοὶ
ἄπωθεν ἔστησαν τῆς σωτηρίας προκυψάσης, καὶ φωτὸς ἀνάπλεως γέγονεν ἡ ὑπ' οὐρα-
Cant.2,16.17. νὸν τῆς ἀκραιφνοῦς ἀληθείας. ἅτινα προοιμιάζων ἐν τοῖς Ἄισμασιν ἔλεγεν ὁ Σολομὼν
66 „ἀδελφιδός μου ἐμοί, κἀγὼ αὐτῷ, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις, ἕως οὗ ἡ ἡμέρα δια-
Psal. 83, 8. πνεύσῃ καὶ κινηθῶσιν αἱ σκιαί.“ ἐπεὶ οὖν „ὤφθη ὁ θεὸς τῶν θεῶν ἐν Σιών“ καί
Psal. 95, 6. „ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ ἐν Ἱερουσαλὴμ ἐξεφάνθη“ καί „φῶς ἀνέτειλε τῷ
Psal. 96, 11. δικαίῳ καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη“ κατὰ τὸν μακάριον Δαβίδ, ὁ τῶν τε-
λουμένων τελειωτὴς καὶ δεσπότης τὸν τοῦ νόμου διδακτικὸν καὶ λειτουργικὸν συνεκά-
λεσεν εἰς λειτουργίαν καὶ μαρτυρίαν διὰ τοῦ πνεύματος τοῦ ἁγίου τῶν πραττομένων.

VI. Ὅθεν ἀπεκδυσάμενος τὸ ἄτονον τῆς ἡλικίας ὁ πρεσβύτης Συμεών, καὶ τὸ εὔτο-
68 νον τῆς ἐλπίδος ἐπενδυσάμενος, ἀπολαβεῖν ἔσπευδεν εἰς πρόσωπον τοῦ νόμου τὸν τοῦ
νόμου πάροχον, τὸν αὐθέντην διδάσκαλον, τὸν θεὸν τοῦ Ἀβραάμ, τὸν σκεπαστὴν τοῦ
Ἰσαάκ, τὸν ἅγιον τοῦ Ἰσραήλ, τὸν μυσταγωγὸν τοῦ Μωυσῆ, τὸν τὴν θείαν ἐναν-
Exod. 33, 23. θρώπησιν ὡς ὀπίσθια γνωρίσαι αὐτῷ ὑποσχόμενον, τὸν ἐν πτωχείᾳ πλούσιον, τὸν ἐν
νηπιότητι προαιώνιον, τὸν ἐν ὁράσει ἀόρατον, τὸν ἐν περιλήψει ἀπερίληπτον, τὸν ἐν
σμικρότητι ὑπερμεγέθη, τὸν ἐν ναῷ καὶ ἐν ὑψίστοις, τὸν ἐπὶ θρόνου βασιλικοῦ καὶ ἐπ'
ὀχήματος Χερουβικοῦ, τὸν κάτω καὶ ἄνω ἀδιαστάτως, τὸν ἐν μορφῇ δούλου καὶ ἐν μορφῇ
θεοῦ πατρός, τὸν ὑπήκοον καὶ βασιλέα τῶν ἁπάντων. ὅλος γέγονε τῆς ἐφέσεως, ὅλος
70 γέγονε τῆς ἐλπίδος, ὅλος γέγονε τῆς χαρᾶς· οὐκέτι ἦν ἑαυτοῦ, ἀλλὰ τοῦ ἐλπισθέντος.
τὸ πνεῦμα τὸ ἅγιον εὐηγγελίσατο, καὶ ἡ φύσις ἀνεζωπύρησε· καὶ πρὶν ἢ κατειληφέναι τὸν
ναόν, τοῖς τῆς διανοίας ὀφθαλμοῖς ἀναπτερούμενος, ὡς ἔχων ἤδη τὸν πεποθημένον, ἐγεγή-
θει. ἀγόμενος δὲ οὕτω καὶ μετεωροπορῶν τοῖς διαβήμασιν ὠκυτάτως τὸν πάλαι ἱερὸν
καταλαμβάνει σηκόν, καὶ οὐ προσχὼν τῷ τοῦ ἱεροῦ πρυτάνει τὰς ἱερὰς ὠλένας ἐφή-
πλωσε, τοιάδε λέγων ἅμα καὶ ᾄδων, ἃ καὶ τῇ ἀσπαστῇ τελετῇ προσῆκε· σὲ ἐπιποθῶ,
δέσποτα θεὲ πατέρων καὶ κύριε τοῦ ἐλέους, τὸν καταξιώσαντα τῇ ἰδίᾳ δόξῃ καὶ ἀρετῇ,
72 ὡς πάντων προνοητικῇ, αἰδοῖ τῆς πρὸς ἡμᾶς συγκαταβάσεως, καθάπερ σπονδηφόρῳ
μεσιτείᾳ, εἰς φιλικὴν ὁμηρεῦσαι συμφωνίαν τοὺς ἐπουρανίους πρὸς τοὺς γηγενεῖς. σὲ
ἐπιζητῶ τὸν αὐτουργὸν τῶν ἁπάντων, σὲ καραδοκῶ τὸν περιέχοντα λόγῳ τα πάντα, σὲ
ἀπεκδέχομαι τὸν ζωῆς καὶ θανάτου δεσπόζοντα, σὲ ἀναμένω τὸν νομοδότην καὶ τοῦ
νόμου διάδοχον, σὲ πεινῶ τὸν ζωοποιὸν τῶν νενεκρωμένων, σὲ διψῶ τὴν ἀνάψυξιν
τῶν κεκμηκότων, σὲ ἐπιθυμῶ τὸν κτίστην καὶ λυτρωτὴν τοῦ κόσμου. σὺ ἡμῶν θεός,
καὶ σὲ προσκυνοῦμεν. σὺ ἡμῶν ναὸς ἅγιος, καὶ ἐν σοὶ προσευξόμεθα· σὺ θεσμῶν
74 θεσμοθέτης, καὶ σοὶ πειθαρχοῦμεν. σὺ θεὸς πρῶτος· ἔμπροσθέν σου οὐκ ἐγεννήθη
Esai. 43, 10. θεὸς ἄλλος ἐκ θεοῦ καὶ πατρός, καὶ μετὰ σὲ οὐκ ἔσται ἄλλος υἱὸς τῷ πατρὶ ὁμοούσιος
Sap. 15, 3. καὶ ὁμότιμος. καὶ τὸ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι σου τὸ κρά-
Psal. 117, 21; τος ῥίζα ἀθανασίας. σὺ εἶ ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν λίθος ἀκρογωνιαῖος, πολυ-
Esai. 28, 16; 1 Petr. 2, 6. τελής τε καὶ ἔντιμος τῇ Σιὼν προαναγορευθείς. ὑποβέβληται γάρ σοι τὰ πάντα ὡς
αἰτίῳ, ὡς παραγαγόντι τὰ ὅλα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι καὶ σύστασιν εὐπαγῆ τοῖς
ἀστάτοις παρασχόντι, ὡς συνοχῇ καὶ φρουρᾷ τῶν παρενηνεγμένων, ὡς φύσεων δια-
76 φόρων δημιουργῷ, ὡς οἰακίζοντι παλάμῃ παναλκεστάτῃ καὶ πανσοφωτάτῃ τὰ σύμπαντα,
Act. 17, 28. ὡς εὐταξίας ἁπάσης ῥυθμῷ, ὡς συμφωνίας καὶ εἰρήνης ἀῤῥαγεῖ συνδέσμῳ. ἐν σοὶ γὰρ
Exod. 15, 2. ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. διὰ τοῦτο, κύριε ὁ θεός μου, δοξάσω σε, ὑμνήσω
Esai. 25, 1. τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν, ἐξομολό-
Psal. 103, 1. γησιν καὶ μεγαλοπρέπειαν ἐνδυσάμενος. τί γὰρ περιφανέστερον βασιλεῖ περιανθούσης
Esai. 42, 7; πορφυρίδος καὶ ἐπιλάμποντος διαδήματος; ἢ τί μεγαλοπρεπέστερον θεῷ φιλανθρώπῳ
Luc. 1, 79. φιλανθρώπου ἐνανθρωπήσεως, ταῖς παμφανοτάταις ἐξαυγείαις τοὺς ἐν σκότει καὶ σκιᾷ
78 θανάτου καθημένους καταλαμπούσης; καὶ μὴν εἰκότως καὶ προανευφήμησέ σε τὸν βα-
1 Tim. 1, 17. σιλέα τῶν αἰώνων ὁ πρόσκαιρος βασιλεὺς καὶ οἰκέτης φάσκων „ὡραῖος κάλλει παρὰ
Psal. 44, 3. τοὺς υἱοὺς τῶν ἀνθρώπων,“ ὁ ἐν ἀνθρώποις θεὸς καὶ ἄνθρωπος. περιεζώσω γὰρ διὰ
Esai. 11, 5. τῆς θείας σου σαρκώσεως δικαιοσύνῃ μὲν τὴν ὀσφῦν, ἐνηλείψω δὲ καὶ ἀληθείᾳ τὰς
πλευράς, αὐτόχρημα δικαιοσύνη καὶ ἀλήθεια ὑπάρχων καὶ ἀγαλλίαμα τῶν ἁπάντων.
τοιγαροῦν εὐφρανθήτω ὁ οὐρανὸς σήμερον ἅμα ἐμοί, ὅτι ἠλέησεν ὁ θεὸς τὸν λαὸν
Esai. 45, 8. αὐτοῦ· ῥανάτωσαν δὴ καὶ αἱ νεφέλαι δικαιοσύνην τῷ κόσμῳ· σαλπισάτω καὶ τὰ θε-
μέλια τῆς γῆς εἰρήνην τοῖς ἐν Ἅιδου (πάρεστι γὰρ ἡ ἀνάστασις τῶν κεκοιμημένων)·

ἀνατειλάτω καὶ ἡ γῆ ἔλεος τοῖς κατοικοῦσιν αὐτήν. πεπλήρωμαι γὰρ τῇ παρακλήσει 80
καὶ ὑπερπερισσεύομαι τῇ χαρᾷ, ὅτι εἶδόν σε τὸν σωτῆρα τῶν ἀνθρώπων. 2 Cor. 7, 4.
VII. Χορεύοντος δὲ οὕτω τοῦ πρεσβύτου καὶ γανυμένου τῇ θείᾳ εὐφρασίᾳ, τὰ κε-
χρηματισμένα τυπικῶς τῷ προφήτῃ Ἡσαΐᾳ περιφανῶς ἡ ἱερὰ θεομήτωρ ἐξετέλει, καὶ Esai. 6, 6.
δὴ λαβομένη τὸν ἐκ τοῦ ἀχράντου καὶ παναμώμου αὐτῆς θυσιαστηρίου σαρκωθέντα
ζωοποιὸν καὶ ἀνέκφραστον ἄνθρακα, ὡς λαβίδι, τῇ συζεύξει τῶν ἁγίων αὐτῆς χειρῶν,
τῷ δικαίῳ προέτεινε, τοιαῦτα (ἐμοὶ δοκεῖ) λέγουσά τε ἅμα καὶ παρακελεύουσα· ἀπό-
λαβε, πρεσβύτα τίμιε καὶ ἱερέων ἄριστε, ἀπόλαβε τὸν κύριον καὶ ἀπόλαυε τῆς οὐ χη- 82
ρευσάσης σου ἐλπίδος. ὑπόδεξαι θησαυρὸν ἀνέκλειπον καὶ πλοῦτον ἀναφαίρετον, μεγα-
λοφυέστατε. ἐναγκάλισαι κράτος ἀνεκδιήγητον καὶ δύναμιν ἀνεξερεύνητον ἐρείδουσάν
σε, σοφώτατε. περίλαβε μέγεθος ἀπεριόριστον καὶ ἰσχὺν ἀνείκαστον, ἱεροκόρε. περι-
πλάκηθι αὐτῇ τῇ αὐτοζωῇ καὶ ζῆθι, αἰδεσιμώτατε. περίπτυξαι τὴν ἀφθαρσίαν καὶ
ἀνακαινοποιήθητι, δικαιότατε. οὐ τολμηρὸν τὸ ἐγχείρημα· μὴ ὄκλαζε, ὁσιώτατε.
ἐμφορήθητι τοῦ ποθουμένου καὶ κατατρύφησον τοῦ ἐπιδιδομένου, μᾶλλον δὲ ἑαυτὸν
ἐπιδιδόντος, ἱεροπρεπέστατε. ἐναγλαΐσθητι τῷ διὰ τοῦ ἀκηλιδώτου ἐσόπτρου τῆς σαρ- 84
κὸς περιστίλβοντι ἡλίῳ τῆς δικαιοσύνης, εὐλαβέστατε. μὴ δειλία τὴν γαληνότητα, μηδὲ
καταπλαγῇς τὴν ἡμερότητα, μακαριώτατε. μὴ πτήξῃς τὸ εὐμενές, μηδὲ πτοηθῇς τὸ
προσηνές, ἐπιεικέστατε. εὐθύμως προσκολλήθητι, καὶ μὴ ἀναβάλλου πρὸς τὸ εὐήκοον.
οὐ θρασύτητος τὸ λαλούμενον, οὐδὲ τὸ προτεινόμενον· μὴ ἀφηνίαζε, ἀστικώτατε. οὐ
καταφλέγει τὸ πῦρ τῆς τοῦ κυρίου μου χάριτος, ἀλλὰ φωτίζει, δικαιότατε. βάτος σε Exod. 3, 2.
πεισάτω ἡ τὸν τύπον μου περιστησαμένη πρὸς ὑπόστασιν τοῦ ἀνυποστάτου πυρός, νο-
μομαθέστατε. δροσοσυρίζουσα κάμινος πειθέτω σε, παιδοτρίβα, τοῦ μυστηρίου τὴν 86
οἰκονομίαν. πρὸς ἐπὶ τούτοις ἡ ἐμὴ γαστήρ σε διδαξάτω, ἐν ᾗ ἐχωρήθη ὁ ἀχώρητος, Dan. 3, 21.
ἐξ ἧς καὶ ἐσαρκώθη ὁ ἄσαρκος λόγος. οὐ πάλιν σάλπιγγες ἐκδειματοῦσι τοὺς προς- Exod. 19, 16.
ιόντας, οὐδ᾽ αὖ ὄρος καπνιζόμενον δέος ἐμποιεῖ τοῖς προσπελάζουσιν, οὔτε μὴν νόμος 2 Reg. 6, 6.
κολάζει ἀφειδῶς τὸν θιγόντα τολμηρῶς. φιλανθρωπίας γὰρ τὰ παρόντα, συγκατα-
βάσεως τὰ τελούμενα, ἀγαθότητος τὰ φαινόμενα. εὐχαρίστως ἀπόλαβε τὸν πρὸς σὲ
ἐλθόντα θεόν· αὐτὸς γὰρ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθα-
ριεῖ. ἐν σοὶ προτυπωθήτω ἡ τοῦ κόσμου κάθαρσις, ἐν σοὶ καὶ διὰ σοῦ προμηνυθήτω
τοῖς ἔθνεσιν ἡ κατὰ χάριν δικαίωσις. σὺ ἄξιος τῆς ζωοποιοῦ ἀπαρχῆς. ἀπήλαυσας 88
νόμου; ἀπόλαυσαι καὶ τῆς χάριτος. κέκμηκας τῷ γράμματι; ἀνακαινίσθητι ἐν τῷ
πνεύματι. ἀπέκδυσαι τὴν παλαιότητα καὶ ἔνδυσαι τὴν καινότητα. ταῦτα γάρ σε ἠγνοη-
κέναι οὐ δοκῶ.
VIII. Ἐπὶ τούτοις πᾶσι παῤῥησιασάμενος ὁ δίκαιος, καὶ τῇ προτροπῇ εἴξας τῆς
διακονησαμένης θεῷ πρὸς ἀνθρώπους θεομήτορος, ὑπεδέξατο μὲν ταῖς γηραλέαις ἀγκά-
λαις τὸν ἐν νηπιότητι παλαιὸν τῶν ἡμερῶν, εὐλόγησε δὲ τὸν θεὸν καὶ εἶπε „νῦν ἀπο- Dan. 7, 13.
λύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί Luc. 2, 29-32.
μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀπο- 90
κάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.“ ἀπέλαβον τὴν παρὰ σοῦ ἄλυπον χαράν·
ἀπόλαβέ με χαιρόμενον καὶ ἀνευφημοῦντα τὰ ἐλέη σου, κύριε. ἀπέδωκάς μοι τὴν εὐ-
θυμίαν· ἀποδίδωμί σοι εὐθύμως τὰ εὐχαριστήρια. ἔγνων ἀγάπης θεοῦ δύναμιν· δι᾽
ἐμὲ γὰρ ὁ ἐκ σοῦ θεὸς ἀνερμηνεύτως καὶ ἀῤῥεύστως γεννηθεὶς ἄνθρωπος γέγονεν.
ἔγνων τῆς σῆς περὶ ἡμᾶς κηδεμονίας τὸ ἀνέκφραστον μέγεθος, ὅτι τὰ σὰ θεῖα σπλάγχνα
ἐξαπέστειλας εἰς βοήθειαν ἡμῶν. ἔγνων ὃ ἐδιδάχθην ὑπὸ Σολομῶντος „κραταιά“ Cant. 8, 6.
λέγοντος „ὡς θάνατος ἡ ἀγάπη.“ διὰ ταύτης γὰρ συντριβήσεται τοῦ θανάτου τὸ 92
κέντρον· διὰ ταύτης νεκροὶ ζωὴν ὄψονται· διὰ ταύτης θάνατος μαθήσεται θάνατον,
παυσάμενος τῆς καθ᾽ ἡμῶν ἐπικρατείας· διὰ ταύτης καὶ ὁ ἀρχέκακος ὄφις αἰχμάλωτος
γενήσεται καὶ ὑποβρύχιος. ἐγνώρισας ἡμῖν, κύριε, τὸ σωτήριόν σου, ἀναστήσας ἡμῖν Psal. 97, 2.
φυτὸν εἰρήνης, καὶ οὐκέτι ἐσόμεθα πλανώμενοι. ἐγνώρισας ἡμῖν, κύριε, ὅτι οὐκ εἰς
τέλος ὑπερεῖδες τοὺς δούλους σου, ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργα χειρῶν σου. κατοι-
κτειρήσας γὰρ ἡμῶν τὴν ἐλεεινότητα δαψιλῶς ἐξέχεας ἐφ᾽ ἡμᾶς τὴν ἔμφυτον καὶ ἀνεξ-
άντλητόν σου ἀγαθότητα, διὰ τοῦ μονογενοῦς καὶ ἀπαραλλάκτου καὶ ὁμοουσίου παι- 94
δός σου τὴν λύτρωσιν ἡμῶν ποιησάμενος, ἀνάξιον κρίνας τῆς σῆς μεγαλοσύνης καὶ
χρηστότητος οἰκέτῃ τὴν τῶν σῶν οἰκετῶν καταπιστεῦσαι σωτηρίαν καὶ εὐεργεσίαν, ἢ
λειτουργῷ ἐγχειρῆσαι τὴν τῶν προσκεκρουκότων καταλλαγήν. ἀλλὰ διὰ τοῦ ὁμοουσίου
φωτὸς φῶς τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις ἐδωρήσω, ἵνα ἐν τῷ σῷ φωτὶ Esai. 9, 2; 42, 71.
ἴδωσι φῶς γνώσεως· καὶ διὰ τοῦ δεσπότου καὶ δημιουργοῦ εὐδόκησας ἀναπλάσαι ἡμᾶς Psal. 35, 10.
εἰς ἀφθαρσίαν, καὶ διὰ τοῦ ἀφορίσαντος ἐκ παραδείσου τρυφῆς τὴν εἰς παράδεισον
αὖθις ἐπανάζευξιν ἐχαρίσω· καὶ διὰ τοῦ ἔχοντος ἐξουσίαν ἀφιέναι ἁμαρτίας τὸ καθ᾽ 96
ἡμῶν χειρόγραφον ἐξήλειψας· καὶ διὰ τοῦ συνθρόνου καὶ ἀνεκφοιτήτου τῆς θείας σου Marc. 2, 10.
φύσεως τὴν πρὸς σὲ καταλλαγὴν καὶ προσαγωγὴν ἐν πεποιθήσει ἐφιλοτιμήσω, ὅπως Coloss. 2, 14.

διὰ δεσπότου ἀβασιλεύτου καὶ θεοῦ ἀληθινοῦ καὶ ἐξουσιαστοῦ ὁ τῶν τοσούτων καὶ
τηλικούτων ἀγαθῶν θεσμὸς ὑπογραφόμενος ἀναμφίβολα τοῖς ἐλεουμένοις καταστήσῃ τῆς
Esai. 63, 9. *χάριτος τὰ δίκαια. περὶ ὅτου καὶ ὁ προφήτης προεμήνυσε λέγων „οὐ πρέσβυς, οὐκ*
98 *ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν αὐτοὺς παρὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ φείδεσθαι*
αὐτῶν, καὶ ἀνέλαβε καὶ ὕψωσεν αὐτούς." καὶ ταῦτα πάντα οὐκ ἐξ ἔργων ἡμῶν τῶν
Tit. 3, 5. *ἐν δικαιοσύνῃ, οὐδ' ὅτι ἡμεῖς σε ἠγαπήσαμεν (ὁ γὰρ γηγενὴς ἡμῶν προπάτωρ καὶ τὴν*
ἐν παραδείσῳ ἀοίδιμον τρυφὴν καὶ διαγωγὴν τιμηθείς, τὴν θείαν καὶ σωτήριόν σου
ἐκφαυλίσας ἐντολήν, ἀποδόκιμος ζωηροῦ χώρου ἐκρίθη, καὶ τὸ πᾶν αὐτοῦ σπέρμα ἀκιδ-
νότατον κατέστησε, τοῖς νόθοις μοσχεύμασι τῆς ἁμαρτίας συμφυράσας), ἀλλὰ δι' ἑαυτὸν
καὶ τὴν περὶ τὸ πλάσμα σου ἄφατον ἀγάπην ἐκραταίωσας ἐφ' ἡμᾶς τὸ ἔλεός σου,
κύριε, κατῳκτείρησάς τε τὴν ἀπαγωγὴν ἡμῶν καὶ ἑαυτὸν ἐδυσώπησας ἐπὶ τῇ καταφθορᾷ
1 Joan. 4, 19. *ἡμῶν, τοῦ δοῦναι ἡμᾶς εἰς οἰκτιρμούς. ὅθεν ἑορταὶ ἡμῖν λοιπὸν συγκεκρότηνται τοῖς*
100 *Ἀδαμιαίοις, ὅτι ὁ πλαστουργὸς τοῦ Ἀδὰμ ἑκοντὶ νέος Ἀδὰμ γέγονε· καὶ ἡ λαμπρό-*
Psal. 105, 46. *της κυρίου τοῦ θεοῦ ἡμῶν μεθ' ἡμῶν κατεγένετο, ὥστε ἰδεῖν θεὸν πρόσωπον πρὸς*
πρόσωπον καὶ σωθῆναι. τούνεκα, ὦ δέσποτα, τὴν παρὰ σοῦ ἀπόλυσιν ἐπιζητῶ. εἶδον
τὸ σωτήριόν σου· ἀπολυθῶ τοῦ γραμματοκύφου ζυγοῦ. εἶδον βασιλέα ἀΐδιον καὶ ἀδιά-
δοχον· ἀπολυθῶ τοῦ δουλικοῦ καὶ ἀχθοφόρου κλοιοῦ. εἶδον φύσει δεσπότην ἀδέσποτον
καὶ ἐλευθερωτήν· τύχοιμι τοῦ ἐλευθερικοῦ αὐτοῦ δεσμοῦ. λῦσόν με τοῦ ζυγοῦ τῆς
2 Cor. 3, 6. *κατακρίσεως καὶ ὑπόζευξον τῷ ζυγῷ τῆς δικαιώσεως· λῦσόν με τοῦ ζυγοῦ τῆς ἀρᾶς*
102 *καὶ τοῦ ἀποκτείνοντος γράμματος καὶ ἔνειρον τῷ ἀριθμῷ τῆς εὐλογίας τῶν εἰς υἱοθε-*
σίαν εἰςποιουμένων τῇ χάριτι τοῦ ἀληθινοῦ καὶ ὁμοδόξου καὶ ὁμοδυνάμου τούτου υἱοῦ
σου.

IX. *Ἔστωσαν δέ μοι, φησί, τὰ θεῖα εὐχαριστήρια πρὸς τὸ παρὸν ἄχρι τῶν βρα-*
χυτάτων τούτων. τί δὲ πρὸς σὲ φθέγξομαι, ὦ μῆτερ παρθένε καὶ παρθένε μῆτερ; ἧς
γὰρ τὸ ἔργον οὐκ ἀνθρώπινον, ταύτης καὶ ὁ ἔπαινος ὑπὲρ ἄνθρωπον. διὸ τῆς ἀπο-
ρίας τὸ σκυθρωπὸν ἐκ τῶν τοῦ πνεύματος περὶ σὲ καταλαμπρυνῶ γερῶν, καὶ τὰ σὰ
σοι προςκομίζων ἐκ λειμώνων ἀθανάτων τὴν ἱεράν σου καὶ θεοστεφῆ ἀνυμνήσω κάραν.
πατρικοῖς σε ὕμνοις προςφθέγξομαι, θύγατερ Δαβὶδ καὶ μῆτερ τοῦ κυρίου καὶ θεοῦ
104 *Δαβίδ. αἰσχρὸν γὰρ ἅμα καὶ ἀνεύφημον ἀλλοτρίοις κόσμοις κοσμῆσαι τὴν τῇ οἰκείᾳ*
δόξῃ διαφέρουσαν. δέχου τοίνυν, εὐμενεστάτη, δῶρα τίμια καὶ σοὶ μόνῃ ἁρμόδια, ὦ
πασῶν γενεῶν ὑψηλοτέρα καὶ πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργημάτων τιμιω-
τέρα φανεῖσα. μακαρία ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ τρισμακάριστος ὁ οἶκος Δαβίδ, ἐν ᾧ
Psal. 45, 6. 5. *ἐβλάστησας. „ὁ θεὸς ἐν μέσῳ σου, καὶ οὐ σαλευθήσῃ· ἡγίασε γὰρ τὸ σκήνωμα αὐ-*
τοῦ ὁ ὕψιστος." ἐν σοὶ γὰρ διαθῆκαι καὶ ὁρκωμοσίαι θεοῦ πρὸς τοὺς πατέρας ἡμῶν
τέλος εὐκλεέστατον ἐδέξαντο, ὅτι διὰ σοῦ γέγονε κύριος ὁ θεὸς τῶν δυνάμεων μεθ'
106 *ἡμῶν, τὸν σὸν προδιαγράφουσα θεοπρεπῆ χαρακτῆρα θεὸν ἔφερεν ἀφλέκτως ἡ ἄφαυ-*
Exod. 3, 2. *στος βάτος, ἐμφανιζόμενον τῷ προφήτῃ ὡς ὁραθῆναι ηὐδόκησε. στερέμνιος δ' αὖ*
Exod. 17, 6. *πέτρα καὶ ἀκρότομος τὴν παγκόσμιον ἐκ σοῦ πηγάσασαν χάριν καὶ ἀνάψυξιν προεξει-*
κονίζουσα παραμύθιον ἴαμα ἐκλείποντι λαῷ ἐκ λαγόνων ξηρῶν ἐν ἐρήμῳ δαψιλῶς
Num. 17, 8. *προήγαγεν. οὐ μὴν δὲ ἀλλὰ καὶ τοῦ ἱερέως ἡ ῥάβδος οὐκ ἀδόκιμον σύσσημον παρ-*
Hebr. 9, 4. *έσχετο τῆς ὑπερφυοῦς σου λοχείας, ἀγεώργητον καρπὸν ἐξανθήσασα, ἱερατείας ἐνδελε-*
Exod. 25, 8. *χοῦς ἀῤῥαβῶνα. τί δέ; καὶ ὁ μέγας Μωυσῆς οὐ κομιδῇ παρέστησε, διὰ τοὺς περὶ σὲ*
108 *δυςκαταλήπτους τύπους ἐγχρονίσας τῷ ὄρει, ἄγνωστα περὶ τῆς ἁγνῆς ἐκδιδάσκεσθαι*
μυστήρια; πῆξαι γὰρ κατὰ σύμβολον καὶ πρὸς ἀφομοίωσιν κιβωτὸν καὶ ταύτην προς-
ταχθείς, οὐ παρέργως ἐχρήσατο τοῖς προστεταγμένοις, εἰ καὶ τραγῳδούμενα συμβέ-
Exod. 32, 1. *βηκεν ἐπὶ τῇ καταβάσει, ἀλλ' εἰς πέντε ἡμισυπήχεις ταύτην συντελέσας νομοδόχον*
ἀνέδειξε τοῖς Χερουβὶμ συγκαλυπτομένην, ἐκφαντικώτατά σε τὴν θεοτόκον προσημαίνου-
σαν, τὴν ἀφθόρως ἐγκυμονήσασαν καὶ ἀφράστως ἀποκυήσασαν τὴν τῆς ἀφθαρσίας
σύστασιν ἐπὶ τέλει τῶν πέντε ἡμίσεος τοῦ κόσμου κύκλων. διὰ σὲ καὶ τὴν ἐκ σοῦ
110 *ἄχραντον τοῦ θεοῦ λόγου σάρκωσιν, τὴν εἰς ἀεὶ ἀτρέπτως τε καὶ ἀμερίστως ἐν αὐτῷ*
Hebr. 9, 4. *διαμένουσαν, καὶ ἡ χρυσῆ στάμνος, ὡς τύπος ἀψευδέστατος, τὸ πρὸς ἡμέραν τρεπόμε-*
νον καὶ ἀλλοιούμενον μάννα ἄτρεπτον καὶ διαιωνίζον ἔνδον αὐτῆς διεφύλαττε. τῆς
4 Reg. 2, 11. *σῆς ἁγνείας καὶ ὁ προφήτης Ἠλίας προθεωρὸς καὶ ζηλωτὴς ὑπάρχων διὰ τοῦ πνεύμα-*
Eccl. 48, 1. *τος, πυρφόρου πολιτείας ἀνεδήσατο στέφανον, κρείττων θανάτου ἀναδειχθεὶς θείᾳ*
4 Reg. 2. *ψήφῳ ἄχρι τῆς δεῦρο. σὲ καὶ ὁ τούτου διάδοχος Ἐλισσαῖος παρὰ σοφοῦ διδασκάλου*
μυηθείς, καὶ ὡς παροῦσαν τὴν μήπω οὖσαν προδιατυπῶν, ὑπερφυῶς τοῖς τεκμηρίοις
ibid. 20. *τῶν ἀληθινῶν τὰς ἐπικουρίας ἐποιεῖτο τῶν δεομένων, πῇ μὲν δι' ὑδρίας καινῆς καὶ*
112 *τοὺς νοστίμους ἐχούσης ἅλας τὰ φθοροποιὰ ὕδατα ἰώμενος, εἰς ἔνδειξιν τοῦ ἀνασφή-*
4 Reg. 4, 41. *λαντος κόσμου διὰ τοῦ ἐπὶ σοὶ μυστηρίου, πῇ δὲ ἀλεύρῳ ἀζύμῳ, λοχείας ἀσπόρου*
ἀντιτύπῳ, θανάτου πικρίαν ἀναστέλλων ἀπὸ τῶν ἐδωδίμων, ἄλλοτε δὲ τοῖς ὑπερφυέσι
4 Reg. 5, 10. *τὰ κατὰ φύσιν ὑπερνικῶν ἐν τῷ Ἰορδάνῃ, καὶ διὰ τούτων τὴν κατάδυσιν τοῦ κυρίου*

ἡμῶν εἰς ᾍδην καὶ παράδοξον ἀνάῤῥυσιν τῶν ἐν φθορᾷ κατεχομένων προϊστορῶν.
πάντα γὰρ εἰκόν τε καὶ ὑπέκυπτον τῇ σῇ θείᾳ εἰκόνι ἐκνικώμενα.

X. Καὶ τί ἔτι περιπλέκων μηκύνω τὸν λόγον, τοῖς ποικίλοις προγράμμοις ἐπαφή-
σας τοῦ λόγου τὰς ἡνίας, καὶ μάλιστα πρὸ ὀφθαλμῶν ἐστηλωμένης τῆς ἐπὶ σοὶ ἀτρε- 114
κείας, ἢ καὶ κατατρυφῆσαι ἄμεινον καὶ ἐπικερδέστερον; τοιγαροῦν χαίρειν φράσας
τοῖς τῶν ἁγίων κατὰ πᾶσαν γενεὰν πνευματικοῖς διηγήμασι καὶ τερατουργήμασιν, ἐπὶ
σὲ μετάγω τοὺς τῆς εὐωχίας οἴακας, παντομνημόνευτε. εὐλογημένη σύ, παντευλόγητε
καὶ πᾶσι ποθητέ. ἐπ' εὐλογίαις κυρίου τὸ θεοχαριτώτατόν σου ὄνομα, θεογεννῆτορ
καὶ δᾳδοῦχε τῶν πιστῶν, ἡ περιγραφή, ἵν' οὕτως εἴπω, τοῦ ἀπεριγράπτου, ἡ ῥίζα τοῦ Esai. 11, 1.
ὡραιοτάτου ἄνθους, ἡ μήτηρ τοῦ πλάσαντος, ἡ τιτθὴ τοῦ τρέφοντος, ἡ περιοχὴ τοῦ
περιέχοντος, ἡ φέρουσα τὸν φέροντα ῥήματι τὰ πάντα, ἡ πύλη τῆς ἐν σαρκὶ ἀνατολῆς Hebr. 1, 3.
τοῦ θεοῦ, ἡ λαβὶς τοῦ καθαρτικοῦ ἄνθρακος, ὁ βραχὺς κόλπος τοῦ πάντων κόλπου, Ezech. 43, 41.
ὁ πόκος τῆς ἀκαταλήπτου δρόσου, ὁ τῆς ἐπιθυμίας Δαβὶδ ζωοδόχος λάκκος τῆς Βηθ- 116
λεὲμ ἀφ' οὗ πόμα ἀθανασίας ἐξέβλυσε, τὸ ἱλαστήριον ἐξ οὗ θεὸς ἐγνώσθη ἀνθρώποις Esai. 6, 6. Jud. 6, 37.
ἀνθρωπομόρφως, τὸ ἄσπιλον ἔνδυμα τοῦ ἀναβαλλομένου φῶς ὡς ἱμάτιον, ἡ δανείσασα 2 Reg. 23, 15.
θεῷ τῷ ἀνενδεεῖ σάρκα ἥνπερ οὐκ εἶχεν, ἵνα ᾖ ὁ παντοδύναμος ὅπερ ηὐδόκησε. τί Exod. 25, 17. Psal. 103, 2.
τούτου περιφανέστερον; τί τούτου ὑψηλότερον; ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν, οὗ Jer. 23, 24.
τὰ σύμπαντα κτήματα, σοῦ γεγένηται ἐπιδεής· σὺ γὰρ ἐδάνεισας θεῷ θείαν σάρκωσιν,
ἣν οὐκ εἶχε. σὺ ἐθωράκισας τὸν δυνατὸν τὴν εὐπρεπῆ τοῦ σώματος πανтευχίαν, δι' 118
ἧς αὐτὸς μὲν ὀφθῆναι χωρητὸς ἐμοὶ δεδύνηται, ἐγὼ δὲ εὐπροσίτως ἀντωπῆσαι αὐτῷ
ἐνίσχυσα, δι' ἧς καὶ πάντα τοῦ πονηροῦ τὰ πεπυρωμένα βέλη σβεσθήσεται. εὖ γε, εὖ γε Ephes. 6, 16.
μήτηρ θεοῦ καὶ δούλη· εὖ γε, εὖ γε ἡ ὑπόχρεων ἔχουσα τὸν πάντων δανειστήν. πάντες
μὲν θεῷ ἐποφείλομεν, σοὶ δὲ ἐποφείλεται. ὁ γὰρ εἰπὼν „τίμα τὸν πατέρα σου καὶ Exod. 20, 12.
τὴν μητέρα“ πολλῷ μᾶλλον αὐτὸς ἐν τούτοις ἐξετάζεσθαι ἑλόμενος φυλάξειε τὴν χάριν
καὶ τὸ ἴδιον δόγμα τῇ διακονησαμένῃ τὴν αὐθαίρετον γέννησιν, καὶ δοξάσειε θεοπρε-
πῶς ἣν ἐπεγράψατο ἀπάτωρ ὡς ἄνανδρον μητέρα. ἔσται τοίνυν ταῦτα οὕτως, ἔσται. 120
οὐ γὰρ κομψοεπείας ἀκάρπου οἱ προσαχθέντες σοι παρ' ἡμῶν ὕμνοι, παναγιώτατον
καὶ ἀξιάγαστον τοῦ θεοῦ ἐνδιαίτημα, οὐδ' αὖ κοσμικῆς λογολεσχίας καὶ ψευδαρεσκείας
λαρυγγίσματα ὁ πνευματικός σου ὕμνος, θεοεπαίνετε καὶ θεὸν ἔχουσα ὑπομάζιον, τὸν
τοῖς βροτοῖς ἀρχὴν τοῦ εἶναι διὰ γεννήσεως παρέχοντα, ἀλλ' ἐναργοῦς ἀληθείας. ἐπι-
λείψει γὰρ ἡμῖν ὁ χρόνος καὶ ταῖς μετέπειτα γενεαῖς τὸν κατ' ἀξίαν σοι ἀποδοῦναι
μακαρισμὸν τῇ μητρὶ τοῦ βασιλέως τῶν αἰώνων, ὥς πού φησιν ὁ ἀοίδιμος προφήτης, 1 Tim. 1, 17.
τὰ τῆς σῆς ἀκαταληψίας ἡμᾶς ἐκπαιδεύων, „ὡς μέγας ὁ οἶκος τοῦ θεοῦ καὶ εὐμήκης ὁ 122
τόπος τῆς κτήσεως αὐτοῦ· μέγας, καὶ οὐκ ἔχει τελευτήν· ὑψηλὸς καὶ ἀμέτρητος.“ Baruch. 3, 24. 25.
ὄντως γάρ, ὄντως προφητικὸς χρησμὸς καὶ ἀψευδὴς λόγος οὗτος τῆς περὶ σὲ μεγα-
λειότητος· διότι καὶ μόνη συμμερίσασθαι θεῷ τὰ τοῦ θεοῦ κατηξίωσαι, θεὸν γεννή-
σασα σαρκὶ μόνη τὸν ἐκ θεοῦ πατρὸς μονογενῶς καὶ συναϊδίως γεννηθέντα. φιλαλή-
θεις οἶδε λόγοι πίστεως ἀκραιφνοῦς ἀντεχομένων.

XI. Ἀπολάβωμεν δὲ λοιπόν, ὦ φιλομαθέστατοι, τὸν θεοδόχον πρεσβύτην καὶ
εὐσεβῆ διδάσκαλον, ὧδέ που διανήξαντα σωτηρίως ἐκ τοῦ παρθενικοῦ πελάγους, καὶ
διαναπαύσωμεν ἐμπεφορημένον ἅμα τῆς θείας ἐφέσεως καὶ ἐμπορευσάμενον ἡμῖν τὴν 124
πανόλβιον θεολογίαν, καὶ ἴωμεν ἡμεῖς πρὸς τὰ ἑξῆς τοῦ λόγου, ἀπλανῶς πρὸς τὸν
προκείμενον σκοπὸν ἀπευθύνοντες σὺν ὁδηγίᾳ τοῦ κρείττονος τὴν τρίβον, ὅπως μὴ
πάντῃ ὦμεν ἄκαρποι καὶ ἀσυντελεῖς πρὸς τὰ δέοντα. ἐπεὶ οὖν συνεκλήθησαν πρὸς
τὰ ἱερῶς τελούμενα ἱερωσύνη τε καὶ προφητεία, καὶ παρειστήκει τῷ ἐνδόξῳ καὶ παρ-
θενικῷ θρόνῳ ξυνωρὶς θεοκλήτων δικαίων, Συμεῶνός φημι καὶ Ἄννης, ἑκατέρων τῶν
λαῶν ἐναργεστάτας φερόντων τὰς εἰκόνας (ὁ μὲν πρεσβύτης τοῦ Ἰσραὴλ καὶ τοῦ γηρά-
σαντος νόμου, ἡ δὲ χήρα τῆς ἐξ ἐθνῶν χήρας τὸ τηνικαῦτα ἐκκλησίας)· ὁ μὲν οὖν 126
πρεσβύτης προσωποποιούμενος τὸν νόμον τὴν ἀπόλυσιν ἐξεζήτει, ἡ δὲ τῆς ἐκκλησίας
προσωποποιὸς τὴν ἀνθομολόγησιν προσεκόμιζε, καὶ τοῖς ἀπεκδεχομένοις λύτρωσιν ἐν Luc. 2, 38.
Ἱερουσαλὴμ τὰ περὶ αὐτοῦ ἐλάλει, καθὼς γέγραπται εὖ μάλα ἁρμοδίως καὶ ὑπερφυῶς
τὰ παρ' ἑκατέροις λαλούμενα καὶ τῇ ἱερᾷ τελετῇ σύμφημα. ἔδει μὲν γάρ, ἔδει σαφῶς
τὸν μὲν πρεσβύτην ἐπιστάμενον τὸ φάσκον τοῦ νόμου διάταγμα „αὐτοῦ ἀκούετε“ καί Deut. 18, 15. 19.
„πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ αὐτοῦ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς“ ἀπόλυσιν
ἐπιζητῆσαι εἰρηνικὴν τῆς νομικῆς παιδαγωγίας (ὕβρις γὰρ ἅμα καὶ προπέτεια βασιλέως 128
παρόντος καὶ δημηγοροῦντος ὑπασπιστὴν κατάντικρυς ἀντιφθέγγεσθαι, καὶ τούτῳ ἐπι-
κλῖναι τοὺς ὑπηκόους τὰ ὦτα)· ἔδει δὲ καὶ τὴν χήραν τυχοῦσαν τῶν ὑπὲρ λόγον τὰ
εὐχαριστήρια ἑορτάσαι τῷ θεῷ, ὥστε συνῳδὰ τῷ νόμῳ τὰ ὧδε τελούμενα. ἐπιζητῆσαι
δὲ λοιπὸν τῶν ἀναγκαίων καθέστηκε, πῶς, τῶν προφητικῶν προτυπώσεων, καθὼς ἀπο-
δέδεικται, ἐπὶ τῶν ἐξαιρέτων τούτων ἑορτασμάτων ἀραρότως ἐχόντων τὴν ἀναφοράν,
πνοῦ τὸν οἶκον ἐμπεπλῆσθαι λέλεκται, καὶ τοῦτο οὐ παρενθέτως, ἀλλ' ἐνσημάντρως Esai. 6, 4.

130 ἀπὸ τῆς τρισαγίας φωνῆς φάσκων ὁ εἰσηγητής, ἧς ἐκέκραγον οἱ τῶν ἐπουρανίων μύσται.
ἀναλαβὼν δ' οὖν, ὦ φιλήκοε, τῆς ἱστορίας τὸ ἐπαγόμενον, εὑρήσεις τὴν αἰτίαν.
Esai. 6, 9. „ἀκοῇ“ γάρ φησιν „ἀκούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ
Act. 28, 26. ἴδητε.“ ἐπεὶ τοίνυν εἶδον ἀγνώμονες Ἰουδαίων παῖδες τέρατα ἔνδοξα, ἃ ἔθετο ὁ θεὸς
Psal. 45, 9. ἐπὶ τῆς γῆς κατὰ τὸν μελῳδὸν Δαβίδ, ἐθεάσαντο δὲ καὶ σημεῖον ἐκ βάθους καὶ ἐξ
Esai. 7, 11. ὕψους κατὰ σύνοδον ἀσύγχυτον καὶ ἀδιαίρετον, ὃν τρόπον προανεφώνησεν Ἡσαΐας (τί
τοῦτο; μητέρα ὑπὲρ φύσιν, καὶ τόκον ὑπὲρ λόγον, μητέρα ἐπίγειον καὶ υἱὸν οὐράνιον,
καινήν φημι θεανδρίαν, καὶ λόχον ἀπειρόγαμον· ὧν τί καὶ γένοιτ' ἂν ἐνδοξότερον
132 καὶ περιβοητότερον ἀμφὶ τὴν κτίσιν;), καὶ ταῦτα θεασάμενοι ὡς μὴ θεασάμενοι διε-
τέθησαν, μύσαντες καὶ ὑπτιούμενοι πρὸς τὴν αἴνεσιν· διὰ τοῦτο ἐπλήσθη ὁ οἶκος τῆς
καυχήσεως αὐτῶν καπνοῦ.

XII. *Καὶ ἐπείπερ ἤκουσαν* καὶ αὖθις πρὸς τῇ θέᾳ τῶν ὑπὲρ θέαν, πρεσβύτου δι-
καιοτάτου, ἀνδρὸς ἀξιοπίστου, ἀνδρὸς ἀξιοζηλώτου, ἀνδρὸς πνευματοφόρου, ἀνδρὸς
νομοδιδασκάλου, ἱερωσύνῃ τετιμημένου, προφητείᾳ λελαμπρυσμένου, τῇ τοῦ Χριστοῦ
ἐλπίδι τὸ ζῆν παρεκτείναντος καὶ θανάτου ὀφειλὴν ὑπερτιθεμένου, χορεύοντος, ἀνευ-
φημοῦντος, συμμεταμορφουμένου τῇ θυμηδίᾳ, ὅλου ἐξεστηκότος θεῷ τὴν καλὴν ἔκστα-
134 σιν, ἠλλοιωμένου εἰς ἄγγελον τὴν καλὴν ἀλλοίωσιν, τῇ ἀμετρίᾳ τῆς χαρᾶς τὰ εὐχαρι-
Luc. 2, 32. στήρια ἀναμέλποντος, „φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ“ ἀνα-
κηρύττοντος, καὶ οὐχ εἵλαντο ἀκοῦσαι τὰ ἀκουστὰ καὶ τοῖς ἐπουρανίοις προσκυνητά·
διὰ τοῦτο ἐπλήσθη ὁ οἶκος τῆς καυχήσεως αὐτῶν καπνοῦ. καπνὸς δὲ ὀργῆς σημεῖον
Psal. 17, 9. καὶ τεκμήριον, ὡς γέγραπται „ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου
Eccl. 22, 7. αὐτοῦ καταφλεγήσεται“ καὶ ἐν ἑτέρῳ „ἐν ἔθνει ἀπειθεῖ ἐκκαυθήσεται πῦρ.“ ὅπερ δὴ
Matth. 23, 38. σημαίνων ὁ κύριος ἐν τοῖς σεβασμίοις εὐαγγελίοις ἔλεγε τοῖς Ἰουδαίοις „ἰδοὺ ἀφίεται
136 ὁ οἶκος ὑμῶν ἔρημος,“ πῇ δέ „πέμψας τὰ στρατεύματα αὐτοῦ ὁ βασιλεὺς ἀπώλεσε
τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν ἐν πυρί.“ ταῦτα τῆς Ἰουδαϊκῆς
Matth. 22, 7. ἀπειθείας πρὸς τὴν τριαδικὴν δοξολογίαν ἐναντιώτατα τὰ ἔπαθλα. ἐπεὶ γὰρ ἡγιάσθη
τὰ πέρατα τῆς ὑπ' οὐρανὸν καὶ τῆς δόξης κυρίου πλήρης γέγονεν ὁ μέγιστος οἶκος τῆς
Esai. 6, 3. 4. ἐκκλησίας διὰ τοῦ τρισαγίου κηρύγματος, ὡς ὕδωρ πολὺ κατακαλύπτον θαλάσσας,
ἀπέβη μὲν αὐτοῖς τὰ ᾀδόμενα, συνεβεβαιώθη δὲ τῷ τέλει καὶ ἡ τῆς προφητείας ἀρχή,
ἐπισημηναμένου, καθάπερ λέλεκται, διὰ τοῦ πνεύματος τοῦ κήρυκος τῆς ἀληθείας ἐν
138 ὑποδείγματι τὴν μέλλουσαν κακίστην τούτων καταστροφήν, ἐν οἷς φησι „τοῦ ἐνιαυτοῦ
Esai. 6, 1. οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς εἶδον τὸν κύριον,“ ὡς τοῦ ἀποστάτου Ὀζίου εἰς παρά-
δειγμα παντὸς τοῦ ἀποστατικοῦ σώματος, οἷά τε κεφαλὴ τούτου τυγχάνοντος, ἐκλαμ-
2 Paralip. 26, 19. βανομένου· ὃς καὶ δίκην τίσας τῆς αὐθαδείας ἰσόῤῥοπον, ἐγκολαπτὸν ὡς χαλκῷ ἀν-
δριάντι τῷ μετώπῳ ἀπηνέγκατο τὴν θείαν ἀπόφασιν, βδελυρίᾳ λέπρας τῆς βδελυρωτά-
της ἀσεβείας τὰς ἀμοιβὰς πᾶσιν ἐπιδεικνύμενος. θεοσόφως τοιγαροῦν τῇ παρεξαγωγῇ
τῆς ἀχαρίστου συναγωγῆς τὴν ἀντεισαγωγὴν ἐποιήσατο τῆς εὐχαρίστου χήρας Ἄννης ὁ τῶν
τελεσθέντων προγνώστης, ἧς καὶ τὸ ὄνομα προδηλωτικὸν τῆς κατὰ χάριν Χριστοῦ τοῦ
140 θεοῦ δεδικαιωμένης ἐκκλησίας ἐν τῷ βαπτίσματι· Ἄννα γὰρ χάρις ἑρμηνεύεται.

XIII. *Ἀλλ' αὐτοῦ* που τοῖς προσόρμοις καταπαύσωμεν τὴν σταυροφόρον ὁλκάδα τοῦ
λόγου, διὰ τὸ σύμμετρον τὰ ἱστία χαλάσαντες, καὶ μικρά τινα ὡς οἷόν τε χαιρετίσαν-
Psal. 47, 2; Matth. 5, 35. τες τὴν πόλιν τοῦ βασιλέως τοῦ μεγάλου ἅμα τῷ ἐκκλησιαστικῷ λαῷ, ὡς τῷ πνεύματι
συμπαρόντες καὶ συνεορτάζοντες τοῖς ἐκεῖσε τιμιωτάτοις πατράσι καὶ ἀδελφοῖς. χαί-
ροις, ἡ πόλις τοῦ μεγάλου βασιλέως, ἐν ᾗ τῆς σωτηρίας ἡμῶν ἐτελεσιουργήθη μυστή-
Esai. 1, 26. ρια. χαίροις, ὁ ἐπίγειος οὐρανός, Σιὼν πόλις πιστὴ τοῦ λοιποῦ τῷ κυρίῳ. χαίροις
142 καὶ φωτίζου, Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς τὸ ἀΐδιον, φῶς τὸ ἀέναον, φῶς τὸ
Esai. 60, 1. ὑπέρτατον, φῶς τὸ ἄϋλον, φῶς τὸ ὁμοούσιον τοῦ θεοῦ καὶ πατρός, φῶς τὸ ἐν τῷ
πνεύματι καὶ ἐν ᾧ ὁ πατήρ, φῶς τὸ φωτίσαν τοὺς αἰῶνας, φῶς τὸ φωτίσαν τὰ ὑπερ-
κόσμια καὶ τὰ ἐγκόσμια, Χριστὸς ὁ ἀληθινὸς ἡμῶν θεός. χαίροις, πόλις ἁγία καὶ
ἐκλελεγμένη τῷ κυρίῳ, ἑόρταζε ἐν εὐφροσύνῃ τὰς ἑορτάς σου, αἳ οὐ μὴ προσθῶσι διελθεῖν
Ps. 131, 15, 16. εἰς παλαίωσιν. χαίροις, πόλις ἡ πανευδαίμων, ὅτι δεδοξασμένα ἐλαλήθη περὶ σοῦ. οἱ
Psal. 86, 3. γὰρ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, καὶ
144 οἱ πτωχοί σου χορτασθήσονται ἄρτων. χαίροις καὶ εὐφραίνου, Ἱερουσαλήμ, ὅτι ἐβα-
Esai. 12, 6. σίλευσε κύριος ἐν μέσῳ σου. οὗτος κύριος ὁ γυμνῇ καὶ ἀΰλῳ τῇ θεότητι ἐπιβὰς τῇ
ἡμετέρᾳ φύσει καὶ ἐκ τῆς παρθενικῆς νηδύος ἀφράστως σαρκωθείς, οὗτος κύριος ὁ
μηδενὸς ἑτέρου ἐν μεθέξει γενόμενος πλὴν τοῦ φυράματος Ἀδάμ, τοῦ ὑπὸ τοῦ ὄφεως
Hebr. 2, 16. σκελισθέντος. οὐ γὰρ ἀγγέλων ἐπιλαμβανόμενος ὁ κύριος, τῶν μὴ ἀποπεπτωκότων τῆς
ἐξ ἀρχῆθεν ἀποκληρωθείσης αὐτοῖς ἀοιδίμου τάξεως καὶ καταστάσεως, συγκατάβασιν
ἐνεδείξατο ὁ ἀεὶ ἐν τῷ πατρὶ ὢν θεὸς λόγος, οὐδὲ τοὺς ἀποπεπτωκότας τοῦ φωτὸς
ἀλάστορας δαίμονας ἀνακαλούμενος ἢ καὶ ἀνακαλεσόμενος, κατὰ τοὺς ἀσεβεστάτους τοῦ
146 πονηροῦ συνηγόρους, τῷ κόσμῳ ἐπεφοίτησεν, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος,

κατὰ τὸν θειότατον Παῦλον, καὶ δι᾽ αὐτοῦ παντὸς τοῦ ἀνθρωπείου φύλου, ἄνθρωπος
ἀμεταβλήτως γέγονεν ὁ δημιουργὸς καὶ πλαστουργὸς τῶν ἁπάντων, ὅπως διὰ τῆς αὐτοῦ
πρὸς ἡμᾶς κοινωνίας καὶ ἡμῶν πρὸς αὐτὸν συναφείας ὑπολωφήσῃ τῆς ἐν ἡμῖν ἁμαρτίας
ἡ εἴςδυσις, ἐξατονήσασα κατὰ βραχὺ καὶ ἐκδαπανηθεῖσα ὡς κηρὸς τῷ θείῳ πυρί, ὃ
ἐλθὼν ὁ σωτὴρ ἔβαλεν ἐπὶ τὴν γῆν ἡμῶν. χαίροις τοίνυν καὶ σύ, ἐκκλησία καθολικὴ
ἡ ἐν πάσῃ τῇ ὑπ᾽ οὐρανόν. σκίρτησον σὺν ἡμῖν, μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, τὰς Luc. 12, 49.
τρικυμίας τοῦ ἐχθροῦ, ὅτι εὐδόκησεν ὁ πατὴρ δοῦναί σοι τὴν βασιλείαν καὶ ἐπὶ τρα- 148
χήλου τῶν ἐχθρῶν σου ἐπιβῆναι. χαῖρε καὶ εὐφραίνου, ἡ πάλαι στεῖρα καὶ ἄγονος Ibid. 32. Esai. 54, 1.
πρὸς εὐσέβειαν, νυνὶ δὲ πολλὰ τὰ τῆς πίστεως ἔχουσα τέκνα. χαίροις καὶ σύ, λαὸς
τοῦ θεοῦ, λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν· 1 Petr. 2, 9.
ἐξάγγελλε τὰς ἀρετὰς τοῦ ἐκ σκότους σε καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς·
ὑπὲρ ἐλέους δὲ δόξαζε αὐτόν.

XIV. *Χαίροις εἰς ἀεί*, ἡ ἄληκτος ἡμῶν χαρά· ἐπὶ σὲ γὰρ πάλιν ἀνατρέχομεν. σὺ
τῆς ἑορτῆς ἡμῶν ἀρχή, σὺ μεσότης, σὺ τέλος, ὁ πολύτιμος μαργαρίτης τῆς βασιλείας,
τὸ ὄντως οὖθαρ πάσης ἁγιστείας, τὸ ἔμψυχον θυσιαστήριον τοῦ ἄρτου τῆς ζωῆς. χαί- 150
ροις, ἀγάπης θεοῦ θησαυρέ· χαίροις, φιλανθρωπίας υἱοῦ πηγή· χαίροις, πνεύματος
ἁγίου κατάσκιον ὄρος. ἤστραψας, γλυκύδωρε γεννῆτορ φωτὸς ἡλιακοῦ, πυρσοῖς ἀκαρ- Hab. 3, 3.
τερήτοις ἀγάπης ὑπερζεούσης, τὸ πρὸ ἀρχῆς συλληφθὲν ἐν τῷ τέλει τεκοῦσα, φανερώ-
σασα τὸ κρυπτὸν μυστήριον καὶ ἀλάλητον, τὸν ἀοράτου πατρὸς υἱόν, εἰρήνης βραβευ-
τήν, πάσης γενόμενον ἥττονα βραχύτητος παραδόξως. διὰ τοῦτο ἐκλιπαροῦμέν σε τὴν
ἀμείνω πάντων καὶ μητρῴαις ἐπαυχοῦσαν τιμαῖς καὶ παῤῥησίαις· μνήμην ἀδιάλειπτον
ἡμῶν ποιοῦ, παναγία θεοτόκε, τῶν εἰς σὲ κατακαλλυνομένων καὶ ὕμνοις θεοπρεπέσι 152
γεραιρόντων σου τὴν ἀείζωον καὶ ἀνεξάλειπτον μνήμην. καὶ σὺ δὲ αὐτός, ὦ πρεσβῦτα
τίμιε Συμεών, τῆς εὐσεβοῦς ἡμῶν θρησκείας προδοχεῦ καὶ τῆς τῶν πιστῶν ἀναστάσεως
ἐξηγητά, συμπρεσβευτὴς ἡμῶν γενοῦ πρὸς τὸν σωτῆρα θεόν, ὃν ἀγκάλαις ὑποδέξασθαι
κατηξιώθης. συνᾴδομεν γάρ σοι καὶ ἡμεῖς Χριστῷ τῷ τῆς ζωῆς καὶ θανάτου ἐξου-
σιαστῇ, σὺ εἶ φῶς, λέγοντες, ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ, θεὸς ἀληθινὸς ἐκ θεοῦ
ἀληθινοῦ, εἷς κύριος πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν πανύμνητον ἐνανθρώπησιν,
ἐξ ἑαυτοῦ μὲν καὶ οὐ κατὰ χάριν θεός, δι᾽ ἡμᾶς δὲ καὶ τέλειος ἄνθρωπος, ἐξ ἑαυτοῦ 154
μὲν φύσει ἀβασίλευτος παμβασιλεύς, δι᾽ ἡμᾶς δὲ καὶ τὴν ἡμετέραν σωτηρίαν καὶ ἐν
δούλου μορφῇ ἀχράντως καὶ ἀμιάντως· ἀφθαρσία γὰρ ὤν, λῦσαι φθορὰν προῆλθες,
ἵνα ἄφθαρτα πάντα τεύχοις, ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος, μεγαλοσύνη τε καὶ
μεγαλοπρέπεια σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

[1] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΕΘΟΔΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΒΑΙΑ.

I. *Εὐλογητὸς ὁ θεός*· ἐκ θαυμάτων ἐπὶ θαύματα τοῦ κυρίου βαδίσωμεν, ἀδελφοί,
καὶ φθάσωμεν ὡς ἐκ δυνάμεως εἰς δύναμιν. καθάπερ γὰρ ἐν ἁλύσει χρυσῇ κρικίοις Psal. 83, 8.
ἀλληλενδέτοις συμβεβλημένῃ ἓν τοῦ ἑνὸς κατέχεται, καὶ τῶν συμβεβλημένων ἕκαστον
συνάπτεται θάτερον θατέρῳ καὶ παραπέμπεται, οὕτω καὶ τὰ τῶν ἁγίων εὐαγγελίων
θαύματα ἐξ ἀλλήλων εἰς ἄλληλα ποδηγοῦσι τὴν φιλέορτον τοῦ θεοῦ ἐκκλησίαν καὶ
εὐφραίνουσιν, οὐ τῇ ἀπολλυμένῃ βρώσει, ἀλλὰ τῇ μενούσῃ εἰς ζωὴν αἰώνιον. φέρε Joan. 6, 27.
τοίνυν καὶ ἡμεῖς, ἀγαπητοί, ἐν ἑτοιμασίᾳ καρδίας καὶ ὠσὶν εὐηκόοις ἀκούσωμεν τί
λαλήσει ἐν ἡμῖν κύριος ὁ θεὸς ἔν τε προφήταις καὶ εὐαγγελίοις περὶ τῆς θειοτάτης
ταύτης ἑορτῆς. λαλήσει δὲ πάντως εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους Psal. 84, 9.
αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ᾽ αὐτόν. σήμερον προφητικαὶ σάλπιγγες
τὴν οἰκουμένην ἀνεπτέρωσαν καὶ τὰς ἁπανταχῇ τοῦ θεοῦ ἐκκλησίας ἐφαίδρυναν καὶ

1) Confer Io. Chrysost. Opp. ed. Paris. II. T. VIII, p. 908 — p. 913. Montefalconius recte fecit, quod hanc orationem in spurias reiecit, sed temere ille eandem Graeculo nescio cui tamquam infacetum opusculum adscripsit p. 908. Tu vide Prolegomena §. VI et attende orationis locum cap. 5, ubi sententia exploditur, a nonnullis Origeni adscripta, qua Christi *βασιλεία* temporis finibus circumscripta esse dicitur. Conf. Petav. Dogm. Theol. T. VI, p. 139 sq. ed. Antverp. Nihil obstant illa: *ἐξεμπλάριον* c. 2, *πραιτώριον* c. 7. Conf. p. 103 *βήξιλλα*. In voce *πραιτώριον* c. 7 Jo. 18, 28. 33 et 19, 9 respicitur. Ex locutionibus Methodio tritis, ut hoc exemplo defungar, est *ἄδυτον φῶς* c. 3. Conf. Sympos. p. 146. 178 Allat.

κατέτερψαν, καὶ ἐκ τοῦ σκάμματος τῶν ἁγίων νηστειῶν καὶ τῆς κατὰ τῶν παθῶν
παλαίστρας παραλαβοῦσαι τοὺς πιστούς, τὸν ἐπινίκιον ὕμνον καὶ τὸ καινὸν σύνθημα
τῆς εἰρήνης ᾄδειν τῷ νικοποιῷ Χριστῷ ἐδίδαξαν. δεῦτε οὖν ἅπαντες, ἀγαλλιασώ-
Psal. 94, 1. μεθα τῷ κυρίῳ· δεῦτε ἅπαντα τὰ ἔθνη, κροτήσωμεν χεῖρας καὶ ἀλαλάξωμεν τῷ
Psal. 46, 1. θεῷ τῷ σωτῆρι ἡμῶν ἐν φωνῇ ἀγαλλιάσεως. μηδεὶς ἄμοιρος ἔστω τῆς χαρᾶς, μη-
δεὶς ὑστερείτω τῆς κλήσεως, ὅτι ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν·
Luc. 19, 27. μηδεὶς ἀγνωμονείτω τὴν ὑπάντησιν τοῦ βασιλέως, ἵνα μὴ ἔξωθεν τοῦ νυμφῶνος ἀπο-
κλεισθῇ· μηδεὶς σκυθρωπὸς πρὸς τὴν ὑποδοχὴν εὑρεθῇ ἐν ἡμῖν, ἵνα μὴ τοῖς πονηροῖς
πολίταις συγκατακριθῇ. πολίτας δὲ πονηρούς φημι τοὺς μὴ θελήσαντας δέξασθαι
τὸν κύριον ἑαυτῶν βασιλέα ἐφ' ἑαυτούς. πάντες φαιδρῶς συνδράμωμεν, πάντες προ-
Psal. 61, 8. θύμως ὑποδεξώμεθα καὶ ὑπερκοσμίως ἑορτάσωμεν. ἀντὶ ἱματίων τὰς καρδίας ἡμῶν
Psal. 117, 26; ἐκχέωμεν ἐνώπιον αὐτοῦ, ἐν ψαλμοῖς καὶ ὕμνοις τὰς εὐχαριστίας ἀνατείνωμεν αὐτῷ,
Matth. 21, 9. cet. καὶ τό „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου“ ἀκαταπαύστως βοήσωμεν. οἱ
Gen. 27, 29. γὰρ εὐλογοῦντες αὐτὸν εὐλόγηνται, καὶ οἱ καταρώμενοι αὐτὸν κατήρανται. πάλιν
ἐρῶ, καὶ προτρεπόμενος ἐπὶ τὸ ἀγαθὸν οὐ παύσομαι· δεῦτε, ἀγαπητοί, εὐλογήσω-
μεν τὸν εὐλογημένον, ἵνα εὐλογηθῶμεν ὑπ' αὐτοῦ. πᾶσαν ἡλικίαν καὶ ἀξίαν ἐπὶ τὸ
Psal. 148, 11. 12. αὐτὸ συνεκάλεσεν ὁ λόγος πρὸς τὴν τοῦ κυρίου αἴνεσιν, „βασιλεῖς τῆς γῆς καὶ πάν-
τας λαούς, ἄρχοντας καὶ πάντας κριτὰς γῆς, νεανίσκους καὶ παρθένους.“ καὶ τὸ
καινοπρεπὲς τοῦ θαύματος, ὅτι τῇ νέᾳ καὶ ἀπειροκάκῳ τῶν νηπίων καὶ θηλαζόντων
ἡλικίᾳ τὰ πρεσβεῖα συνεχώρησε τοῦ ἐξάρξαι τῷ κυρίῳ ἐν ἐξομολογήσει τὸ θεοδί-
Exod. 15, 1. δακτον ᾆσμα, καθὰ πάλαι Μωυσῆς τῷ ἐξ Αἰγύπτου λαῷ τό „εὐλογημένος ὁ ἐρχό-
μενος ἐν ὀνόματι κυρίου.“

II. *Σήμερον χαρᾷ χαίρει ὁ μακάριος Δαβίδ*, σεσυλημένος τὴν κιθάραν ὑπὸ νη-
2 Reg. 6, 14. πίων, οἷς καὶ συγχορεύων τῷ πνεύματι καὶ συνευωχούμενος, καθάπερ τὸ πρὶν πρὸ
Psal. 117, 26. προσώπου τῆς κιβωτοῦ τοῦ θεοῦ, συμμουσουργεῖ καὶ συμψελλίζει ἡδέως τό „εὐλογη-
μένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.“ πρὸς ὃν ἐροῦμεν· λέγε ἡμῖν, ὦ προφῆτα,
τίς οὗτος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου; οὐκ ἐμόν, φησί, τὸ διδασκαλεῖον σήμε-
Psal. 8, 3. ρον· νηπίοις γὰρ ἀφιέρωται παρὰ τοῦ καταρτίσαντος ἐκ στόματος νηπίων καὶ θηλα-
ζόντων αἶνον, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν, ὅπως καὶ διὰ τοῦ θαύματος τού-
Malach. 4, 6; τοῦ ἐπιστραφῶσι πατέρων καρδίαι ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων.
Luc. 1, 17. λέγετε, ὦ παῖδες, πόθεν ὑμῖν ἡ καλὴ αὕτη καὶ ἐπίχαρις ἅμιλλα καὶ ᾠδή; τίς ὁ
διδάξας; τίς ὁ σοφίσας; τίς ὁ συναθροίσας; ποῖαι δέλτοι; τίνες οἱ παιδαγωγοί;
Luc. 10, 24. συγκοινωνήσατε ἡμῖν, φασί, τῆς εὐωχίας καὶ μελῳδίας, καὶ μαθήσεσθε τὰ Μωυσῇ
Galat. 2, 9. καὶ τοῖς λοιποῖς προφήταις ἐν ἐπιθυμίαις. ἐπεὶ οὖν προετράπημεν καὶ δεξιὰς ἡμῖν
ἔδωκαν οἱ παῖδες κοινωνίας, δεῦρο, ἀγαπητοί, καὶ ἡμεῖς ζηλώσωμεν τὴν θεοπρεπῆ
Psal. 67, 4. 33. χορείαν, καὶ μετὰ τῶν ἀποστόλων ὁδοποιήσωμεν τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν
Matth. 21, 5. τοῦ οὐρανοῦ κατ' ἀνατολάς, καὶ ἐφ' ὑποζύγιον ὡς εὐδόκησεν ἐποχουμένῳ ἐπὶ τῆς
γῆς. μετὰ τῶν νηπίων κλάδη ἄρωμεν καὶ τοῖς θαλλοῖς κροτήσωμεν, ὅπως ἐπιπνεύσῃ
καὶ ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν θεοδίδακτον ἀναμέλψωμεν εὐτάκτως ᾠδήν
Ibid. 9. „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.“ σήμερον
Gen. 49, 10. καὶ ὁ πατριάρχης ἐν πνεύματι ἑορτάζει Ἰακώβ, ὁρῶν τὴν προφητείαν αὐτοῦ εἰς ἔργον
ἀχθεῖσαν καὶ τὸν δεσμεύοντα πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ ἐπιβεβηκότα ἐπὶ πῶλον
νέον, καὶ μετὰ τῶν πιστῶν προσκυνεῖ τῷ πατρί. σήμερον πῶλος ἑτοιμάζεται, τὸ
τῶν ἀλογίστων ἐθνῶν τὸ πρὶν ἄλογον ἐξεμπλάριον, εἰς ἐπίδειξιν ὑποταγῆς τοῦ ἐξ
ἐθνῶν νέου λαοῦ, καὶ νήπια καταμηνύουσι τὴν τούτων πρὸς θεογνωσίαν νηπιότητα
Psal. 148, 9. [καὶ τὴν μετὰ ταῦτα πρὸς θεοσέβειαν τελειότητα]. σήμερον ὁ βασιλεὺς τῆς δόξης ἐπὶ
γῆς προφητικῶς δοξάζεται καὶ συγκοινωνοὺς τῆς ἐπουρανίου εὐωχίας τοὺς γηγενεῖς
ἀναδείκνυσιν, ἵνα δείξῃ ὅτι αὐτός ἐστι κύριος ἀμφοτέρων, ὡς ἑκατέρωθεν συμφώνως
Esai. 6, 3. ἀνυμνούμενος. διὰ τοῦτο οἱ μὲν ἄνω τὴν ἐπὶ γῆς σωτηρίαν καταμηνύοντες ἔψαλλον
„ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ,“ οἱ δὲ κάτω
Matth. 21, 9. τῇ ἐπουρανίῳ εὐφροσύνῃ συμπανηγυρίζοντες ἔκραζον „ὡσαννὰ ἐν τοῖς ὑψίστοις· ὡσαννὰ
Ezech. 3, 22. τῷ υἱῷ Δαβίδ.“ καὶ οἱ μὲν ἄνω ἐδοξολόγουν „εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου
αὐτοῦ,“ οἱ δὲ κάτω ἐθεολόγουν „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.“

Luc. 19, 37. 38. III. *Τούτων δὲ οὕτως τελουμένων καὶ τῶν μαθητῶν χορευόντων περὶ πασῶν ὧν εἶδον*
δυνάμεων καὶ λεγόντων „εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι κυρίου· ἐν οὐρανῷ
Matth. 21, 10. εἰρήνη καὶ δόξα ἐν ὑψίστοις“ ἡ πόλις ἐσείετο λέγουσα „τίς ἐστιν οὗτος;“ πεπωρω-
μένον φθόνον κατὰ τῆς τοῦ δεσπότου δόξης κινοῦσα. πόλιν δὲ ἀκούων τὴν παλαιὰν
τῆς συναγωγῆς ἄτακτον πληθὺν ἐπιγίνωσκε. διερωτῶσιν οἱ ἀγνώμονες „τίς ἐστιν
οὗτος;“ ὡς μήπω ἑωρακότες τὸν εὐεργέτην καὶ περιβόητον τοῖς θεοπρεπέσι θαύμα-
Joan. 1, 5. σιν. οὐ γὰρ κατέλαβεν ἡ σκοτία τὸ ἐν αὐτῇ ἐπιλάμψαν ἄδυτον φῶς. ὅθεν εὐθυβό-
Esai. 42, 18—20. λως πρὸς αὐτοὺς ἀνακέκραγεν Ἡσαΐας ὁ προφήτης λέγων „οἱ κωφοὶ ἀκούσατε, καὶ

οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. καὶ τίς τυφλός, ἀλλ' ἢ οἱ παῖδές μου; καὶ κωφοί, ἀλλ'
ἢ οἱ κυριεύοντες αὐτῶν; καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ. εἴδετε πολλάκις,
καὶ οὐκ ἐφυλάξασθε· ἠνεῳγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε.“ ὁρᾶτε, ἀγαπητοί,
ἀκρίβειαν λόγου, ὅπως τὸ προθεωρητικὸν θεῖον πνεῦμα διὰ τῶν ἁγίων ὡς παρόντα
τὰ μέλλοντα ἐκήρυττεν· εἶδον γὰρ οἱ ἀχάριστοι καὶ ἐψηλάφησαν διὰ τῶν θαυμάτων
τὸν θαυματουργὸν θεόν, καὶ τῇ ἀπιστίᾳ ἐνέμειναν. εἶδον τυφλὸν ἐκ γενετῆς τὸν Joan. 9,1 sqq.
φωταγωγήσαντα θεὸν κηρύττοντα· εἶδον σύγχρονον καὶ σύζυγον τῇ ἀσθενείᾳ παρά- 5, 5. 11, 44.
λυτον προστάγματι διαζευχθέντα τῆς κακουχίας· ἐθεάσαντο Λάζαρον φυγάδα θανά-
του γεγονότα· ἤκουσαν τὸν ἐν θαλάττῃ περίπατον, τὴν ἀγεώργητον οἰνοδοσίαν, τὴν Matth. 14, 26.
ἄμοχθον ἀρτοφαγίαν, τὴν τῶν δαιμόνων ἀπελασίαν, τὴν τῶν καμνόντων εὐρωστίαν· Joan. 2, 7. 6, 11.
αἱ πλατεῖαι αὐτῶν τὰς δυνάμεις ἐκήρυττον· αἱ ὁδοὶ αὐτῶν τὰς ἰάσεις τοῖς ὁδοιπο- Luc. 8, 29. cet.
ροῦσι κατήγγελλον· πᾶσα ἡ Ἰουδαία ἐπληρώθη τῶν εὐεργεσιῶν· καὶ νῦν ἀκούοντες
θεοῦ αἶνον πυνθάνονται „τίς ἐστιν οὗτος;“ ὢ τῆς ἀνοίας τῶν ψευδωνύμων διδασκά-
λων· ὢ τῶν ἀπειθῶν πατέρων· ὢ τῶν ἀφρόνων πρεσβυτέρων· ὢ σπέρμα Χαναὰν Dan. 3, 56.
τοῦ ἀναιδοῦς, καὶ οὐχὶ Ἰούδα τοῦ εὐλαβοῦς. τὰ τέκνα ἐπέγνωσαν τὸν κτίστην, καὶ
οἱ ἀπειθεῖς πατέρες ἔλεγον „τίς ἐστιν οὗτος;“ ἡ νέα καὶ ἀδαὴς ἡλικία τὸν θεὸν
ἀνύμνησε, καὶ οἱ πεπαλαιωμένοι ἡμερῶν κακῶν ἐπυνθάνοντο „τίς ἐστιν οὗτος;“ Dan. 13, 52.
θηλάζοντες θεολογοῦσι, καὶ πρεσβύτεροι βλασφημοῦσι· παῖδες εὐσεβῶς ἱερουργοῦσιν
αἶνον, καὶ ἀνίεροι ἱερεῖς δυσσεβῶς ἀγανακτοῦσιν. Matth. 21, 15.

IV. Οἱ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἐπιστρέψατε τὰς καρδίας ὑμῶν ἐπὶ τὰ Luc. 1, 17.
τέκνα ὑμῶν, μάθετε μυστήρια θεοῦ· αὐτὸ τὸ τελούμενον μαρτυρεῖ ὅτι θεός ἐστιν ὁ
οὕτως ἀνυμνούμενος ὑπὸ ἀδιδάκτων γλωσσῶν. „ἐρευνᾶτε τὰς γραφάς,“ καθὼς Joan. 5, 39.
ἠκούσατε παρὰ τοῦ δεσπότου, „ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ αὐτοῦ,“ καὶ
οὐκ ἀγνοεῖτε τὸ θαῦμα. ἀκούσατε, οἱ ἀχαριτώτατοι καὶ ἀχάριστοι, τί εὐαγγελίζεται
ὑμῖν ὁ προφήτης Ζαχαρίας· φησὶ γάρ „χαῖρε σφόδρα, θύγατερ Σιών· ἰδοὺ ὁ βα- Zach. 9, 9.
σιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων· αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ πῶλον
ὄνου.“ διὰ τί τὴν χαρὰν ἀποσείεσθε; διὰ τί ἡλίου λάμποντος τὸ σκότος ἀγαπᾶτε;
διὰ τί πρὸς τὴν ἀπολέμητον εἰρήνην μελετᾶτε πόλεμον; εἰ τοίνυν υἱοὶ Σιών ἐστε,
συγχορεύσατε τοῖς τέκνοις ὑμῶν· χαρᾶς ἀφορμὴ ἔστω ὑμῖν ἡ τῶν τέκνων θεοσέβεια.
μάθετε παρ' αὐτῶν τίς ὁ διδάξας, τίς ὁ συναθροίσας, πόθεν τὰ διδάγματα, τίς ἡ
καινὴ θεολογία καὶ παλαιὰ προφητεία. εἰ δὲ ἀνθρώπων μὲν οὐδεὶς οὐδὲν τούτων
ἐδίδαξεν, αὐτόματον δὲ τὸν αἶνον ἀναμέλπουσι, γνῶτε θεοῦ εἶναι τὸ ἔργον, ὡς ἐν
τῷ νόμῳ γέγραπται „ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.“ διπλα- Psal. 8, 3.
σιάσατε οὖν τὴν χαράν, ὅτι τοιούτων παίδων γεγόνατε πατέρες, οἵτινες καὶ τὰ τοῖς
πρεσβυτέροις ἀγνοηθέντα θεοδιδάκτως ἀνευφήμησαν. ἐπιστρέψατε τὰς καρδίας ὑμῶν Luc. 1, 17.
ἐπὶ τὰ τέκνα ὑμῶν, καὶ μὴ μύσατε τοὺς ὀφθαλμοὺς ὑμῶν πρὸς τὴν ἀλήθειαν. εἰ δὲ
οἱ αὐτοί ἐστε καὶ ἀκούοντες οὐκ ἀκούετε καὶ βλέποντες οὐ βλέπετε καὶ μάτην δια- Esai. 6, 10.
φέρεσθε πρὸς τὰ νήπια, αὐτοὶ ὑμῶν κριταὶ ἔσονται κατὰ τὸν τοῦ σωτῆρος λόγον. Matth. 13, 13. 12, 27.
καλῶς γοῦν καὶ τοῦτο μετὰ τῶν ἄλλων προανεφώνησε περὶ ὑμῶν ὁ προφήτης Ἡσαΐας Esai. 29, 22—24.
λέγων „οὐ νῦν αἰσχυνθήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ· ἀλλ' ὅταν ἴδωσι
τὰ τέκνα αὐτῶν τὰ ἔργα μου [ποιοῦντα], δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου καὶ ἁγιάσουσι
τὸν ἅγιον τοῦ Ἰακὼβ καὶ τὸν θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται. καὶ γνώσονται οἱ τῷ
πνεύματι πλανώμενοι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσ-
σαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.“ ὁρᾷς, ὦ ἀνόητε Ἰουδαῖε, πῶς ἐκ
προοιμίων τοῦ λόγου αἰσχύνην ὑμῖν προκαταγγέλλει ὁ προφήτης διὰ τὴν ἀπείθειαν
ὑμῶν; μάθετε κἂν παρ' αὐτοῦ πῶς θεοδίδακτον κηρύσσει τὴν τῶν τέκνων ὑμῶν ὑμνῳ-
δίαν, ὡς καὶ ὁ μακάριος Δαβὶδ προανεφώνησε λέγων „ἐκ στόματος νηπίων καὶ θη- Psal. 8, 3.
λαζόντων κατηρτίσω αἶνον.“ ἢ τοίνυν τὴν ὁσιότητα τῶν παίδων οἰκειώσασθε ὡς
χρεών, ἢ μετὰ τῆς εὐσεβείας τοὺς παῖδας ἡμῖν χαρίσασθε. ἡμεῖς τούτοις συγχο-
ρεύσωμεν καὶ συνεορτάσωμεν, καὶ τῇ καινῇ γλώσσῃ τὸ θεοδίδακτον ᾆσμα συμψάλ-
λωμεν.

V. Ποτὲ μὲν γὰρ Συμεὼν ὁ πρεσβύτης ὑπήντησε τῷ σωτῆρι, καὶ ταῖς ἀγκάλαις Luc. 2, 29.
ὑπεδέξατο τὸν τῶν αἰώνων ποιητὴν ὡς βρέφος, καὶ κύριον καὶ θεὸν ἐκήρυττε· νῦν
δὲ ἀντὶ πρεσβυτέρων ἀγνωμόνων οἱ παῖδες τῷ σωτῆρι ὑπήντησαν, ὡς Συμεών, καὶ
τὰ κλάδη ἀντὶ ἀγκαλῶν ὑπέστρωσαν, καὶ κύριον τὸν θεὸν εὐλόγησαν τὸν ἐπὶ πώλου
ὡς ἐπὶ τῶν Χερουβὶμ καθεζόμενον „ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμε-
νος ἐν ὀνόματι κυρίου.“ μεθ' ὧν βοήσωμεν καὶ ἡμεῖς· εὐλογημένος ὁ ἐλθὼν θεὸς
βασιλεὺς τῆς δόξης, ὁ πτωχεύσας ἐν τοῖς ἰδίοις αὐτοῦ ἀπτωχεύτως δι' ἡμᾶς, ἵνα 2 Cor. 8, 9.
ἡμᾶς πλουτίσῃ τῇ αὐτοῦ ἀγαθότητι· εὐλογημένος ὁ ἐλθὼν ἐν ταπεινώσει, καὶ πάλιν
ἐρχόμενος ἐν δόξῃ, πρῶτον ἐπὶ πώλου πραῢς καὶ ὑπὸ νηπίων ἀνευφημούμενος, ὅπως
πληρωθῇ τὸ γεγραμμένον „ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ θεός, αἱ πορεῖαι τοῦ Psal. 67, 25.

θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν ἁγίῳ," δεύτερον φοβερὸς ἐπὶ τῶν νεφελῶν, ὑπὸ ἀγγέλων καὶ
δυνάμεων δορυφορούμενος. ὢ τῆς μελιῤῥύτου τῶν παίδων γλώττης· ὢ τῆς ἀκαπηλεύτου
διδασκαλίας τῶν θεαρέστων. Δαβὶδ προφητεύσας ὑπὸ τὸ γράμμα ἐκάλυψε τὸ νόημα·
παῖδες τὸν θησαυρὸν ἀνοίξαντες ἐπὶ γλώττης τὸν πλοῦτον προςήνεγκαν, καὶ λόγῳ κε-
χαριτωμένῳ διαπρυσίως πάντας ἐπὶ τὴν ἀπόλαυσιν συνεκάλεσαν. ἀντλήσωμεν τοιγαροῦν
καὶ ἡμεῖς σὺν αὐτοῖς τὸν ἀναφαίρετον πλοῦτον· ἀπλήστοις κόλποις καὶ ταμιείοις ἐνα-
ποθώμεθα τὰ θεῖα χαρίσματα· βοήσωμεν ἀπέραντα „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό-
ματι κυρίου" θεὸς ἀληθινὸς ἐν ὀνόματι θεοῦ ἀληθινοῦ, παντοκράτωρ ἐκ τοῦ παντο-
κράτορος, υἱὸς ἐν ὀνόματι πατρός, βασιλεὺς ἀληθινὸς ἐξ ἀληθινοῦ βασιλέως, συναΐδιον
καὶ προαιώνιον τὴν βασιλείαν ἔχων, ὡς ὁ γεννήσας αὐτόν. κοινὴ γὰρ ἡ βασιλεία, καὶ
οὐκ ἔξωθεν τὴν ταύτης τιμὴν τῷ υἱῷ ὁ λόγος προςκληροῖ, οὐδὲ ἀρξαμένην οὐδὲ προς-
γινομένην, ἄπαγε, ἀλλὰ φυσικὴν καὶ ἰδιόκτητον ἀληθῶς. μία γὰρ ἡ βασιλεία πα-
τρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ὥςπερ καὶ μία οὐσία καὶ μία κυριότης. ὅθεν
καὶ μιᾷ προςκυνήσει λατρεύομεν μίαν τριςυπόστατον θεότητα, ἄναρχον, ἄκτιστον,
ἀπέραντον καὶ ἀδιάδοχον. οὔτε γὰρ ὁ πατὴρ παυθήσεταί ποτε τοῦ εἶναι πατήρ, οὔτε
ὁ υἱὸς τοῦ εἶναι υἱὸς καὶ βασιλεύς, οὔτε δὲ τὸ πνεῦμα τὸ ἅγιον τοῦ εἶναι τοῦτο ὅπερ
ἐστὶ τῇ ὑποστάσει. οὐδὲν γὰρ τῆς τριάδος ἐλαττωθήσεται ἢ παυθήσεταί ποτε ἢ τῆς
ἀϊδιότητος ἢ τῆς κοινότητος καὶ βασιλείας. οὐ γὰρ ὅτι ἄνθρωπος γέγονε δι' ἡμᾶς ὁ
υἱὸς τοῦ θεοῦ καὶ τὸν καθ' ἡμῶν τύραννον κατέβαλεν, ἐν τῇ σαρκὶ ταύτῃ πραγμα-
τευσάμενος τὴν κατὰ τοῦ δυσμενοῦς αὐτῆς ἐχθροῦ νίκην, διὰ τοῦτο βασιλεὺς ἐχρημά-
τισεν· ἀλλ' ὅτι κύριος καὶ θεὸς ἀεί, διὰ τοῦτο καὶ βασιλεύς, ὡς ὁ γεννήσας αὐτόν,
νυνί τε καὶ μετὰ τῆς προςλήψεως καὶ εἰς τὸ διηνεκές. μὴ βλασφήμει τὴν τοῦ Χριστοῦ
βασιλείαν, αἱρετικέ, ἵνα μὴ τὸν γεννήσαντα ἀτιμάσῃς. εἰ πιστὸς εἶ, πιστῶς πρόςελθε
1 Petr. 2, 16. Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχων τῆς κακίας τὴν ἐλευθε-
ρίαν. εἰ δοῦλος εἶ, ἐντρόμως τῷ δεσπότῃ ὑποτάγηθι. ὁ γὰρ λογομάχος οὐκ εὐγνώ-
Joan. 5, 23. μων δοῦλος, ἀλλὰ προδήλως δυσμενής. γέγραπται γάρ „ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ
τὸν πατέρα τὸν πέμψαντα αὐτόν."

VI. Ἡμεῖς δέ, ἀγαπητοί, ὅθεν ἐξέβημεν ἐπανέλθωμεν τῷ λόγῳ, βοῶντες „εὐλογημέ-
νος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου," ὁ ποιμὴν ὁ καλὸς καὶ ἀγαθός, θεῖναι τὴν ψυχὴν
αὐτοῦ ἑκουσίως ὑπὲρ τῶν προβάτων αὐτοῦ, ἵν', ὥςπερ τοὺς πρόβατα σιτουμένους λύκους
προβάτῳ ἁλίσκουσιν οἱ λυκόθηρες, οὕτω τοῖς νοητοῖς καὶ ψυχοφθόροις λύκοις ἑαυτὸν
1 Petri 5, 4. ὡς ἄνθρωπον προθεὶς ὁ ἀρχιποιμὴν θήραμα ποιήσῃ τοὺς θηρεύσαντας τῷ πάλαι θη-
ρευθέντι ὑπ' αὐτῶν Ἀδάμ. „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου" θεὸς κατὰ
τοῦ διαβόλου, οὐ φανερῶς διὰ τῆς ἀπροςβλέπτου δυνάμεως, ἀλλὰ διὰ τῆς ἀσθενείας
Matth. 12, 29. τῆς σαρκὸς δῆσαι τὸν καθ' ἡμῶν ἰσχυρόν. „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ-
ρίου," ὁ βασιλεὺς κατὰ τοῦ τυράννου, οὐ διὰ τῆς παντοκρατορικῆς δυνάμεως καὶ σοφίας,
1 Cor. 1, 21. ἀλλὰ διὰ τῆς νομισθείσης τοῦ σταυροῦ μωρίας τοῦ ἐν κακίᾳ φρονίμου ὄφεως τὰ σκῦλα
διαρπάσαι. „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου," ὁ ἀληθινὸς κατὰ τοῦ ψεύ-
Esai. 9, 6. στου, ὁ σωτὴρ κατὰ τοῦ λυμεῶνος, ὁ εἰρηνάρχης κατὰ τοῦ πολεμήτορος, ὁ φιλάν-
θρωπος κατὰ τοῦ μισανθρώπου. „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου" κύ-
ριος ἐλεῆσαι τὸ πλάσμα τὸ ἴδιον. „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου"
κύριος σῶσαι τὸν πλανηθέντα ἄνθρωπον, καταλῦσαι τὴν πλάνην, φωταγωγῆσαι τοὺς ἐν
σκότει, καταργῆσαι εἰδώλων ἀπάτην, ἀντειςάξαι θεογνωσίαν σωτήριον, ἁγιάσαι κό-
σμον, ἀπελάσαι τὸ μύσος καὶ ἄγος τῆς τῶν ματαίων θεῶν θεραπείας. „εὐλογημένος
ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου," εἷς ὑπὲρ πολλῶν, ῥύσασθαι πτωχὸν γένος ἀνθρώπων
Psal. 34, 10. ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.
„εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου" ἐπιχέαι οἶνον καὶ ἔλαιον ἐπὶ τὸν ἐμπε-
Luc. 10, 34. σόντα εἰς τοὺς λῃστὰς καὶ παρεωραμένον. „εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ-
Esai. 63, 9. ρίου" σῶσαι ἡμᾶς δι' ἑαυτοῦ, ὥς φησιν ὁ προφήτης „οὐ πρέσβυς οὐδὲ ἄγγελος, ἀλλ'
αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς." διὰ τοῦτο καὶ ἡμεῖς εὐλογοῦμέν σε, κύριε, τὸν σὺν
πατρὶ καὶ ἁγίῳ πνεύματι πρὸ αἰώνων καὶ εἰς αἰῶνας αἰώνων εὐλογημένον, πρὸ μὲν
τῶν αἰώνων καὶ μέχρι τῆς δεῦρο ἀσώματον, τὰ νῦν δὲ καὶ εἰς αἰῶνας μετὰ τῆς θείας
καὶ ἀμεταβόλου καὶ ἀμερίστου σου σαρκώσεως.

Matth. 21, 14—16. VII. Ἴδωμεν καὶ τὰ ἑξῆς, τί λέγει ὁ θειότατος εὐαγγελιστής. „εἰςελθόντος" γάρ
φησι „τοῦ κυρίου εἰς τὸ ἱερὸν προςῆλθον αὐτῷ χωλοὶ καὶ τυφλοί, καὶ ἐθεράπευσεν
αὐτούς. ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας
κράζοντας καὶ λέγοντας· ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ-
ρίου, οὐκ ἤνεγκαν τὴν τούτου τιμήν. ὅθεν προςελθόντες αὐτῷ εἶπον· οὐκ ἀκούεις τί
οὗτοι λέγουσιν;" οὐ βαρύνῃ δοξαζόμενος ὡς θεός; οὐκ ἄχθῃ ἀκούων παρὰ τῶν ἀκά-
Esai. 42, 8. κων τὰ τῷ θεῷ καὶ μόνῳ πρέποντα; οὐ πάλαι δεδήλωκεν ὁ θεὸς διὰ τοῦ προφήτου
Joan. 10, 33. „τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω;" καὶ πῶς σύ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν θεόν;

ἀλλὰ τί πρὸς ταῦτα ὁ μακρόθυμος, ὁ πολὺς ἐν ἐλέει καὶ βραδὺς εἰς ὀργήν; ἀνέχε- Joel. 2, 13.
ται τῶν μεμηνότων, ἀναστέλλει τῇ ἀπολογίᾳ τὴν φλεγμονήν, ἀνθυπομνήσκει γραφάς, Jac. 1, 19.
προφέρει μαρτυρίας τῶν τελουμένων, καὶ οὐκ ἀπαναίνεται πρὸς τὴν πεῦσιν. διὸ καί
φησιν· οὐδέποτε καὶ ὑμεῖς ἠκούσατέ μου διὰ τοῦ προφήτου λέγοντος „τότε γνώσε- Esai. 52, 6.
σθε ὅτι ὁ λαλῶν αὐτὸς πάρειμι;“ οὐδ᾽ αὖ πάλιν „ἐκ στόματος νηπίων καὶ θηλα- Psal. 8, 3.
ζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικη-
τήν;“ οἵτινές ἐστε ὑμεῖς, οἱ νόμῳ προσανέχοντες καὶ προφήτας ἀναγινώσκοντες, Joan. 5, 39.
κἀμὲ τὸν ἐν νόμῳ καὶ προφήταις κηρυττόμενον ἀθετοῦντες. δοκεῖτε μὲν γὰρ ἐν
σχήματι εὐλαβείας διεκδικεῖν τὴν τοῦ θεοῦ δόξαν, μὴ συνιέντες ὅτιπερ ὁ ἐμὲ ἀθετῶν Joan. 15, 23.
καὶ τὸν πατέρα μου ἀθετεῖ· ἐγὼ γὰρ παρὰ τοῦ θεοῦ ἐξῆλθον καὶ ἐλήλυθα εἰς τὸν Joan. 16, 28.
κόσμον, καὶ ἡ ἐμὴ δόξα καὶ τοῦ πατρός μού ἐστι δόξα. ἐλεγχθέντες δὲ οὕτως οἱ
ἀνόητοι ὑπὸ τοῦ σωτῆρος ἡμῶν θεοῦ, ἐπαύσαντο μὲν τῆς ἀντιλογίας, φιμωθέντες τῇ
ἀληθείᾳ· ἕτερον δὲ ἐπισπασάμενοι ἀνοίας λογισμόν, συμβούλιον κατ᾽ αὐτοῦ ἐποιοῦντο.
ἡμεῖς δὲ ψάλλωμεν „μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συν- Psal. 145, 5.
έσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.“ ταῦτα γὰρ ἅπαντα γέγονεν, ἵνα ὁ αἴρων τὴν Joan. 1, 29.
ἁμαρτίαν τοῦ κόσμου ἀμνὸς καὶ υἱὸς τοῦ θεοῦ ἑκουσίως ὑπὲρ ἡμῶν ἐπὶ τὸ σωτή-
ριον πάθος ἔλθῃ καὶ ἐπὶ τὸ πραιτώριον γνωρισθῇ, καὶ οἱ ἐξωνούμενοι τὸν ἐξωνού- Joan. 18, 28. 33.
μενον τῷ ζωοποιῷ αὐτοῦ αἵματι τὸν κόσμον συμφωνήσωσι τριάκοντα ἀργυρίοις, καὶ Matth. 26, 15.
τὸ πάσχα τυθῇ ὑπὲρ ἡμῶν Χριστός, ὅπως οἱ τῷ τιμίῳ αὐτοῦ αἵματι ῥαντιζόμενοι 1 Cor. 5, 7.
καὶ τὰ χείλη ὡς φλιὰς σφραγιζόμενοι ἐκφύγωσι τοῦ ὀλοθρεύοντος τὰ βέλη, καὶ Exod. 11, 7.
οὕτως ὁ παθὼν σαρκὶ Χριστὸς καὶ ἀναστὰς τριήμερος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύ-
ματι ὁμοτίμως καὶ ὁμοδόξως παρὰ πάσης κτίσεως συμπροσκυνηθῇ, ὅτι αὐτῷ κάμψει
πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, δόξαν αὐτῷ ἀναπέμποντες εἰς Phil. 2, 10.
τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΜΕΘΟΔΙΟΥ

ΕΚ ΤΗΣ ΕΙΣ ΤΟ ΙΩΒ ΒΙΒΛΙΟΝ ΕΡΜΗΝΕΙΑΣ.

I.

[1] Ἴσως δέ, ἐπεὶ οἱ φίλοι τοῦ Ἰὼβ ᾤοντο τὴν αἰτίαν κατειληφέναι, δι᾽ ἣν ταῦτα
ἔπασχε, πρὸς ἐκείνους ἀποτεινόμενος ὁ δίκαιος τὴν περὶ τῶν κριμάτων τοῦ θεοῦ
σοφίαν ἄληπτον εἶναι ὁμολογεῖ, οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ παντὶ ἀνθρώπῳ, καὶ τὴν
ἐπιστήμην τῆς βουλῆς τοῦ θεοῦ μὴ ἱκανὸν εἶναι παραδέξασθαι τὸν περίγειον τόπον
ἀποφαίνεται. φαίη δ᾽ ἄν τις σοφίαν ἐνταῦθα τὴν τελείαν εὐσέβειαν εἰρῆσθαι, πρᾶγ-
μα θεῖον, ὑπὸ μόνου τοῦ θεοῦ τοῖς ἀνθρώποις δωρούμενον. ὁ δὲ νοῦς τῶν ῥητῶν
οὗτος· μεγάλα, φησίν, ὁ θεὸς τοῖς ἀνθρώποις ἐδωρήσατο, ἐν τῇ φύσει κατασπείρας
αὐτῶν τὸ ἐρευνητικὸν καὶ σοφὸν καὶ τεχνικόν, ὅπερ λαβόντες οἱ ἄνθρωποι γῆν τε
μεταλλεύουσι καὶ γεωργοῦσι. τὴν δὲ κατὰ θεοσέβειαν σοφίαν οὐκ ἐν τόπῳ τινὶ
ἔστιν εὑρεῖν· οὐκ οἴκοθεν ταύτην ἄνθρωπος ἀναλαβεῖν δύναται, οὐκ ἄλλοις παρα-
δοῦναι. ὅθεν καὶ οἱ Ἑλλήνων σοφοὶ ἰδίᾳ δυνάμει τὴν θεοσέβειαν ζητήσαντες ἠστό-
χησαν. τὸ γὰρ πρᾶγμα, ὡς ἔφημεν, οὐκ ἀνθρώποις ἐστὶν ἐφικτόν, ἀλλὰ τῆς θείας
δωρεᾶς τε καὶ χάριτος. διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ὁ θεὸς τὰ μὲν δι᾽ ὀπτασιῶν, τὰ δὲ
δι᾽ ἀγγέλων ἐπιφοιτήσεως, τὰ δὲ διὰ τῶν θεοφορουμένων ἁγίων προφητῶν τὴν θεο-
σέβειαν τοὺς ἀνθρώπους ἐξεπαίδευσε. καὶ ἡ θεωρητικὴ δὲ σοφία θεοῦ δῶρον, ἐξ ἧς
κινούμεθα περὶ τὰς τέχνας καὶ τὰ ἐπιτηδεύματα, καὶ ἣν πάντες κοινῶς ἔχομεν, ἄδι-
κοί τε καὶ δίκαιοι· ᾗ γὰρ ζῶα γεγόναμεν λογικά, ταύτην εἰλήφαμεν. ταύτῃ τοι καὶ
ἐν τοῖς ἔμπροσθεν ἐλέγετο „πότερον οὐχ ὁ κύριος ὁ διδάσκων σύνεσιν καὶ ἐπιστή- Job. 21, 22; 22, 2.
μην;“ ὡς τοῦ κτήματος θεοδωρήτου τυγχάνοντος.

1) Ex Nicetae Catena in Job. c. XIX, p. 429 ed. Londin. a. 1637. Hoc fragmentum et reliqua ex eadem Catena sumta inscribuntur: *Μεθοδίου*. In Catena in Job. codicis olim Palatini 230, nunc Vaticani item insunt Methodii fragmenta. Vid. Monum. Viror. Illustr. P. I, p. 70. Methodius Sidae, cuius in Catenis mss. in Job. multae expositiones leguntur, a Patarensi non diversus esse videtur. Vid. Allat. Diatr. de Methodior. script. p. 352, Colomes. Opp. p. 704 sq. et Fabric. Biblioth. Gr. ed. Harles. T. VII, p. 266.

II.

[1] Ἐπισήμηναι ὅτι κύριος ἀρχῆθεν ἀνθρώποις οὐ λαλεῖ· ἀλλ' ἐπὰν παρασκευάση-
ται ψυχὴ διὰ πλειόνων καὶ ἐγγυμνάσηται καὶ ἀναβῇ εἰς ὕψος, καθ' ὅσον δυνατὸν
ἀνθρωπίνῃ φύσει, τότε λαλεῖ καὶ τοὺς αὐτοῦ λόγους ἀποκαλύπτει εἰς τοσοῦτον ἀνα-
βεβηκόσιν. ἐπειδὴ δὲ ἡ λαῖλαψ χειμῶνός ἐστι ποιητική, ἐν δὲ χειμῶνι περιστάσεων
ὁ Ἰὼβ περὶ τὴν πίστιν οὐκ ἐναυάγησεν, ἀλλὰ καὶ διέλαμψε, διὰ τοῦτο ὁ χρηματίζων
Job. 38, 1. αὐτῷ πρὸς σύμβολον τοῦ καταλαβόντος αὐτὸν χειμῶνος διὰ λαίλαπος χρηματίζει·
διὰ δὲ τὸ μεταβαλεῖν αὐτοῦ τὰ πράγματα ἀπὸ χειμῶνος εἰς εὐδίαν οὐ μόνον διὰ
Ibid. 40, 1. λαίλαπος, ἀλλὰ καὶ διὰ νεφῶν λαλεῖ.

III.

[2] Πολλοὶ καταβέβηκαν εἰς ἄβυσσον, οὐχ ὥστε περιπατεῖν ἐν αὐτῇ, ἀλλ' ὥστε δέ-
σμιοι εἶναι. Ἰησοῦς μόνος ἐν ἀβύσσῳ περιεπάτησεν ὡς ἐλεύθερος, ὅπου ἴχνη περι-
πατούντων οὐκ ἔνι. εἵλετο γὰρ θάνατον, οὐχ ὑπεύθυνος ὤν, ἵνα τοὺς ὑποκειμένους
Esai. 49, 9. θανάτῳ λυτρώσηται, λέγων τοῖς ἐν δεσμοῖς· ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· ἀνα-
καλύφθητε, ᾧ καὶ τὰ ἑξῆς συμφωνοῦσιν.

IV.

[3] Ὁρᾷς, ἐπὶ τέλει τῶν ἄθλων ἀναγορεύει τὸν ἀθλητὴν λαμπρῷ τῷ κηρύγματι,
Job. 40, 3, sec. LXX. καὶ γυμνοῖ τῆς πληγῆς τὸ ἀπόῤῥητον „οἴει με ἄλλως σοι κεχρηματικέναι“ λέγων „ἢ
ἵνα ἀναφανῇς δίκαιος;“ τοῦτο τῶν τραυμάτων τὸ φάρμακον, τοῦτο τῆς ὑπομονῆς ἡ
ἀντίδοσις. τὰ γὰρ ἑξῆς ἴσως μικρά, κἂν μεγάλα τισὶ δοκῇ, καὶ μικρῶν ἕνεκεν οἰκο-
νομηθέντα, εἰ καὶ διπλασίω τῶν ἀφῃρημένων ἀντιλαμβάνει.

V.

[4] Μεθόδιος δέ „πνεῦμα θεῖον,“ πᾶσιν ἀνθρώποις ὑπὸ θεοῦ δοθέν, περὶ οὗ καὶ
Sap. 12, 1. Σολομὼν ἔφασκε „τὸ γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσι,“ τὸ συνειδὸς ἐκλαμ-
βάνει, ὃ καὶ καταγινώσκει τῆς ψυχῆς ἁμαρτανούσης.

VI.

[5] Ἐμοὶ φιλονεικεῖς καὶ πρὸς ἐμὲ ἵστασαι καὶ τοῖς ἐμοῖς ἀθληταῖς ἀνταγωνίζῃ.
Job. 38, 4. ποῦ δὲ ἦς, ὅτε ἐγὼ τὴν γῆν εἰργαζόμην; τίς ἦς τότε; ἤδη, φησί, πεπτώκεις; καὶ γὰρ
Gen. 1, 2. ἐν ἀρχῇ τῆς κοσμοποιίας σκότος ἦν, φησίν, ἐπάνω τῆς ἀβύσσου, σκότος τοῦτο οὐ
